σμάτων τοῦ πνεύματος[24] ἐπιτυχόντες, μήπω δὲ διὰ τῆς πληρεστάτης καὶ ἐνεργοῦς ἀγάπης τοῦ Πνεύματος, τῆς ἄκρας τῶν παθῶν ἐλευθερίας ἀξιωθέντες, οὐδέπω τοῦ ἀσφαλοῦς ἥψαντο· ἀλλ᾽ ἐν κινδύνῳ ἔτι καὶ ἀγῶνι καὶ φόβῳ τὰ καθ᾽ ἑαυτοὺς ἕστηκε, διὰ τὰ πνευματικὰ δήπου τῆς πονηρίας[25]. Τοῦτο γὰρ τὸ μέτρον μηκέτι ὑπὸ πτῶσιν ὄν, μηδὲ πάθος, ὑπέδειξε τοιοῦτον ὑπάρχον, ὡς γλώσσας Ἀγγέλων καὶ προφητείαν, πᾶσαν τε τὴν γνῶσιν καὶ τὰ τῶν ἰαμάτων χαρίσματα μηδὲν εἶναι πρὸς ἐκεῖνο παραβαλλόμενα[26].

ζ΄. Διὰ τοῦτο τῆς τελειότητος ὑπέφηνε τὸν σκοπόν[27]· ἵν᾽ ἕκαστος πτωχὸν ἑαυτὸν ὑπὸ τοῦ τηλικούτου πλούτου διαγινώσκων, θερμῷ τῷ πνεύματι καὶ συντόνῳ, πρὸς τὸ ἔσχατον κατεπείγηται καὶ τὸν πνευματικὸν οὕτω τρέχῃ δρόμον, ἄχρις ἂν καταλάβοι, καθὼς εἴ-

τα τοῦ [Ἁγίου] Πνεύματος, ποὺ ἀνέφερε [πρὶν ὁ Ἀπόστολος] καὶ δὲν ἀξιώθηκαν ἀκόμη [νὰ τύχουν] τῆς τελείας ἐκ τῶν παθῶν ἐλευθερίας, διὰ τῆς πλήρους καὶ ἐνεργοῦς ἀγάπης τοῦ [Ἁγίου] Πνεύματος, δὲν ἔχουν κἂν ἐγγίσει τὴν ἀσφάλεια· ἀλλὰ αὐτά, [ὅσα ἀφοροῦν τὴν πνευματική τους κατάστασι], εὑρίσκονται ἀκόμη σὲ κίνδυνο καὶ ἀγῶνα καὶ φόβο, λόγῳ βεβαίως [καὶ τοῦ πολέμου] τῶν πονηρῶν πνευμάτων. Διότι αὐτὸ τὸ μέτρο [ἡ τελεία δηλαδὴ ἀγάπη], δὲν ὑπόκειται οὔτε σὲ πτῶσι, οὔτε σὲ πάθος, [ἀλλὰ] ὅπως τὴν ὑπέδειξε [ὁ Ἀπόστολος], εἶναι τέτοια, ὥστε «οἱ γλῶσσες τῶν Ἀγγέλων καὶ τῆς προφητείας [τὸ χάρισμα] καὶ ὅλη ἡ γνῶσι καὶ τὰ χαρίσματα τῶν ἰαμάτων», νὰ εἶναι μηδέν, ὅταν παραβάλλωνται μὲ ἐκεῖνο [τὸ μέτρο τῆς ἀγάπης].

7. Γι᾽ αὐτὸ [τὸν λόγο ὁ Κύριος], παρουσίαζε τὸν σκοπὸ τῆς τελειότητος· ὥστε ὁ καθένας, ὅταν ἀντιλαμβάνεται πόσο πτωχὸς εἶναι ὁ ἑαυτός του, σὲ σχέσι μὲ ἕνα τόσο μεγάλο πλοῦτο, μὲ θερμὸ πνεῦμα καὶ ἔντονη [διάθεσι] νὰ ἐπείγεται [νὰ φθάσῃ] πρὸς [αὐτὸ] τὸ ἔσχατο [τέρμα], καὶ ἔτσι νὰ τρέχῃ [διανύοντας] τὸν πνευματικὸ δρόμο, ἕως ὅτου καταλήξῃ, ὅπως ἔχει λεχθῆ [ἀπὸ τὸν Ἀπό-

ρηται· οὕτω τρέχετε, ἵνα καταλάβητε[28].

η΄. Τὸ ἀπαρνήσασθαι ἑαυτόν[29]*, τοῦτο νόμιζε εἶναι· τὸ ἔκδοτον εἰς ἅπαν τῇ ἀδελφότητι παρασχεῖν καὶ θελήματι ἰδίῳ παντάπασι μὴ στοιχεῖν, μήτε τινὸς κύριον εἶναι, ὅτι μὴ τοῦ ἐνδύματος μόνου. Ἵνα πάντοθεν ἄνετος ὤν, τῶν ἐπιταττομένων αὐτῷ μόνων μετὰ χαρᾶς ἔχηται· τοὺς ἀδελφοὺς ἅπαντας καὶ μάλιστα τοὺς ἐξηγουμένους καὶ τὰ βάρη τῆς Μονῆς ἀναδεδεγμένους, κυρίους καὶ δεσπότας διὰ Χριστὸν ἡγούμενος, Χριστῷ πειθόμενος τῷ εἰπόντι· ὁ θέλων ἐν ὑμῖν πρῶτος εἶναι καὶ μέγας, ἔστω πάντων ἔσχατος καὶ πάντων διάκονος καὶ πάντων δοῦλος*[30]*, μὴ δόξαν, μὴ τιμήν, μὴ ἔπαινον τόγε ἐκείνου, ἐπὶ τῇ διακονίᾳ ἢ πολιτείᾳ, παρὰ τῶν ἀδελφῶν ποριζόμενος· διακονοῦντες γάρ, φησί, μετὰ πάσης εὐνοίας, μὴ ἐν ὀφθαλμοδουλίᾳ ὡς ἀνθρωπάρεσκοι*[31]*· ἀλλ᾽ ὀφειλέτην ἑαυτὸν διὰ παντὸς*

στολο Παῦλο]: «ἔτσι νὰ τρέχετε, γιὰ νὰ κερδίσετε [τὸ βραβεῖο]».

8. Τὸ «νὰ ἀπαρνηθῇ [κανεὶς] τὸν ἑαυτόν του», νὰ ξέρῃς ὅτι αὐτὸ εἶναι: τὸ νὰ παραδώσῃ [κανεὶς] τὸν ἑαυτό του σὲ ὅλη τὴν ἀδελφότητα, καὶ νὰ μὴν ἀκολουθῇ σὲ τίποτε τὸ δικό του θέλημα, μήτε νὰ ἐξουσιάζῃ κάτι, ἐκτὸς μόνο ἀπὸ τὸ ἔνδυμά [του]. Γιὰ νὰ εἶναι ἀπὸ παντοῦ ἐλεύθερος καὶ νὰ ἐκτελῇ μὲ χαρὰ μόνον αὐτὰ ποὺ τὸν προστάζουν· τοὺς ἀδελφοὺς ὅλους καὶ μάλιστα τοὺς προεστῶτες καὶ αὐτοὺς ποὺ ἔχουν ἀναλάβει τὰ βάρη τῆς Μονῆς, νὰ τοὺς θεωρῇ ὡς κυρίους καὶ ἀφέντες [του], ἐπειδὴ ὑπακούει εἰς τὸν Χριστό, ὁ Ὁποῖος εἶπε· «ἐκεῖνος ἀπὸ ἐσᾶς, ποὺ θέλει νὰ εἶναι πρῶτος καὶ μεγάλος, ἂς εἶναι ὅλων ὁ τελευταῖος καὶ ὅλων ὑπηρέτης καὶ ὅλων δοῦλος», [ὥστε νὰ μὴ θέλῃ] νὰ ἀπολαμβάνῃ ἀπὸ τοὺς ἀδελφούς, οὔτε δόξα, οὔτε τιμή, οὔτε ἔπαινο, ἀκόμη καὶ ἐκεῖνον [τὸν ἔπαινο ποὺ ἀκολουθεῖ τὴν καλὴ] διακονία καὶ συμπεριφορά. Διότι λέγει [ὁ Ἀπόστολος Παῦλος], «νὰ διακονῆτε [τοὺς ἄλλους] μὲ ὅλη τὴν καλή [σας] διάθεσι, καὶ ὄχι γιὰ νὰ φαίνεσθε [σπουδαῖοι] στὰ μάτια τῶν ἄλλων, ἀπὸ ἀνθρωπαρέσκεια»· ἀλλὰ νὰ θεωρῇ [κανεὶς] πάντοτε

ἡγούμενος τῆς ἐν ἀγάπῃ τε καὶ ἁπλότητι πρὸς τοὺς ἀδελφοὺς διακονίας.

θ΄. Τοὺς ἐξηγουμένους τῆς ἀδελφότητος, ὡς μεγάλῳ ἔργῳ ἐπιβαλλομένους, πρὸς τὰς τῆς κακίας ἀντιτέχνους μεθοδείας διὰ ταπεινοφροσύνης ἀγωνίζεσθαι δεῖ, ἵνα μὴ πάθει ὑπερηφανίας ὡς τῶν ὑποτεταγμένων ἀδελφῶν κατεξουσιάζοντες, ἀντὶ μεγίστου κέρδους, ζημίαν ἑαυτοῖς προξενήσωσιν. Ἀλλ᾽ ὡς εὔσπλαχνοι πατέρες καὶ δουλεύειν μᾶλλον διὰ τὸν Θεὸν ἐκδόντες τῇ ἀδελφότητι ἑαυτούς, σωματικῶς τε καὶ πνευματικῶς, ὑπὲρ αὐτῶν φροντίζωσι καὶ ὡς τέκνων Θεοῦ διὰ παντὸς ἐπιμέλωνται. Πρὸς μὲν τὸ ἐμφανὲς τὴν τάξιν τοῦ προεστῶτος οὐκ ἀποβαλλόμενοι, οἷον τὸ ἐπιτάξαι ἢ συμβουλεῦσαι τοῖς δοκιμωτέροις, ἢ ἐπιτιμῆσαί τινι ἢ ἐλέγξαι ὅπου χρή, καὶ ἐν ᾧ δεῖ παρακαλέσαι· ἵνα μὴ προφάσει ταπεινώσεως ἢ πρᾳότητος, ἐν συγχύσει τὰ μοναστήρια ᾖ, τὴν

τὸν ἑαυτόν του ὡς χρεοφειλέτη γιὰ τὴν διακονία τῶν ἀδελφῶν μὲ ἀγάπη καὶ μὲ ἁπλότητα.

9. Οἱ προεστῶτες τῆς ἀδελφότητος, ἐπειδὴ ἔχουν ἀναλάβει μεγάλο ἔργο, πρέπει νὰ ἀγωνίζωνται μὲ ταπεινοφροσύνη, [γιὰ νὰ κατατροπώνουν] τὶς ἀντίθετες [στὸ ἔργο τους] πανουργίες τῆς κακίας, γιὰ νὰ μὴν προξενήσουν ζημίαν στοὺς ἑαυτούς τους, ἀντὶ μεγίστου κέρδους, ἀπὸ [τὴν πτῶσι τους] στὸ πάθος τῆς ὑπερηφανείας, ἀσκώντας πλήρη ἐξουσία στοὺς ἀδελφούς. Ἀλλά, ὡς εὐσπλαχνικοὶ Πατέρες, καὶ νὰ δουλεύουν μᾶλλον ἔχοντας παραδώσει τοὺς ἑαυτούς τους γιὰ τὸν Θεό, σωματικῶς καὶ πνευματικῶς στὴν ἀδελφότητα, νὰ φροντίζουν γιὰ αὐτοὺς [τοὺς ἀδελφούς] καὶ νὰ τοὺς ἐπιμελοῦνται πάντοτε σὰν παιδιὰ τοῦ Θεοῦ. Στὰ φανερὰ μέν, δὲν πρέπει νὰ ἀποβάλλουν τὴν τάξι τοῦ Προεστῶτος, δηλαδὴ τὸ νὰ διατάξουν, ἢ νὰ συμβουλεύσουν τοὺς πιὸ δοκιμασμένους [καὶ ὥριμους στὴν ἀρετή], ἢ νὰ ἐπιτιμήσουν, ἢ [καὶ] νὰ ἐλέγξουν ὅπου εἶναι ἀνάγκη, καὶ ἐκεῖ ποὺ πρέπει νὰ παρηγορήσουν· γιὰ νὰ μὴν γίνεται σύγχυσι στὰ μοναστήρια μὲ τὴν πρόφασι τῆς ταπεινώσεως

προσήκουσαν τάξιν τῶν τε προεστώτων καὶ ὑποβεβηκότων οὐκ ἀποσώζοντα. Ἐν δέγε τῷ ἀφανεῖ τῆς διανοίας, ὡς δούλους ἀναξίους πάντων τῶν ἀδελφῶν ἑαυτοὺς ἡγούμενοι, καὶ ὡς παιδαγωγοὶ καλοὶ δεσποτικὰ τέκνα πεπιστευμένοι, μετὰ πάσης εὐνοίας καὶ φόβου Θεοῦ, ἕκαστον τῶν ἀδελφῶν καταρτίζειν εἰς πᾶν ἔργον ἀγαθὸν σπουδάζοντες, μὴ ἀγνοοῦντες, ὅτι μέγας αὐτοῖς καὶ ἀναφαίρετος ὁ ὑπὲρ τοῦ καμάτου τοῦδε μισθὸς παρὰ τῷ Θεῷ τεταμίευται.

ι΄. Ὥσπερ οἱ παιδαγωγεῖν τοὺς νέους παραλαβόντες, ἔστιν ὅτε καὶ δεσπότας ὄντας ἰδίους, ἀλλ᾽ οὖν παιδείας χάριν ἢ εὐκοσμίας ἠθῶν, οὐκ ὀκνοῦσιν ὅμως καὶ πληγὰς αὐτοῖς ἐντεῖναι κατὰ πολλὴν εὔνοιαν, οὕτω χρὴ καὶ τοὺς προεστῶτας, οὐ πάθει θυμοῦ καὶ ὑψηλοφροσύνης, οὐδ᾽ ὡς ἑαυτοὺς ἐκδικοῦντας ἀμύνεσθαι τοὺς παιδείας τινὸς τῶν

ἢ τῆς πραότητος, καθὼς δὲν θὰ διασώζεται ἡ ἁρμόζουσα τάξι [καὶ διάκρισι], ἀνάμεσα σὲ προεστῶτες καὶ ὑποτακτικούς. Εἰς δὲ τὸ κρυφὸ βάθος τῆς διανοίας τους, νὰ θεωροῦν τοὺς ἑαυτούς τους, ὅτι εἶναι δοῦλοι ἀνάξιοι ὅλων τῶν ἀδελφῶν, καὶ ὡς καλοὶ παιδαγωγοί, ποὺ τοὺς ἔχουν ἐμπιστευθῆ τὰ παιδιὰ τοῦ Κυρίου τους, μὲ κάθε καλὴ διάθεσι καὶ φόβο Θεοῦ, νὰ φροντίζουν νὰ καταρτίζουν κάθε ἕναν ἀπὸ τοὺς ἀδελφούς, σὲ κάθε καλὸ ἔργο, χωρὶς νὰ ἀγνοοῦν, ὅτι μεγάλος γι᾽ αὐτοὺς καὶ ἀναφαίρετος [εἶναι] ὁ μισθὸς γιὰ αὐτὸν τὸν κόπο [τους, ὁ ὁποῖος] ἔχει ἀποθησαυρισθῆ ἀπὸ τὸ Θεό.

10. Ὅπως ἀκριβῶς αὐτοί, οἱ ὁποῖοι ἔχουν ἀναλάβει παιδαγωγία νέων, [καὶ ποὺ τυχαίνει] μερικὲς φορὲς [οἱ νέοι κατὰ κόσμον] νὰ εἶναι κύριοί τους, ἀλλὰ ὅμως πρὸς χάριν τῆς ἀγωγῆς καὶ τῆς κοσμιότητος τῶν ἠθῶν, δὲν παραμελοῦν καὶ νὰ τοὺς πληγώνουν [μὲ τὸ νὰ τοὺς δέρνουν], ἀπὸ τὴν πολλὴ ἀγάπη, ἔτσι πρέπει καὶ οἱ προεστῶτες, ὄχι ἀπὸ πάθος θυμοῦ καὶ ὑψηλοφροσύνης, οὔτε γιὰ νὰ πάρουν οἱ ἴδιοι ἐκδίκησι, νὰ τιμωροῦν τοὺς ἀδελφούς, οἱ ὁποῖοι ἔχουν ἀνάγκη κάποιας παιδεύσεως,

ἀδελφῶν ἐπιδεομένους, ἀλλὰ σπλάχνοις χρηστοῖς καὶ σκοπῷ πνευματικῆς ὠφελείας τὴν ἐπιστροφὴν ἐκείνων ἐργάζεσθαι.

ια'. Ἕκαστος, φησίν, ὁ τοῖς τοιούτοις ἤθεσιν ἐντυπωθῆναι βουλόμενος, πρὸ παντός τε ἄλλου καὶ πανταχοῦ τὸν φόβον τοῦ Θεοῦ καὶ τὴν ἱερὰν ἀγάπην, ἥτις πρώτη τε ἐστὶ καὶ μεγίστη τῶν ἐντολῶν[32]*, διωκέτω. Καὶ ζητείτω ταύτην παρὰ Κυρίου διηνεκῶς τῇ ἑαυτοῦ καρδίᾳ ἐμπεποιῶσθαι, καὶ οὕτω τῇ συνεχεῖ καὶ ἀδιαλείπτῳ τοῦ Θεοῦ μνήμῃ κατὰ προκοπὴν ὁσημέραι διὰ τῆς χάριτος ἐπαυξάνων αὐτήν, προσκτάσθω. Διὰ γὰρ σπουδῆς καὶ τόνου, μερίμνης τε καὶ ἀγῶνος τὴν πρὸς Θεὸν ἀγάπην δυνατοὶ γινόμεθα κτήσασθαι, χάριτι καὶ δωρεᾷ Χριστοῦ ἐν ἡμῖν διαμορφουμένην. Ἐκ δὲ ταύτης καὶ τὴν δευτέραν φημὶ ἐντολήν*[33]*, τὴν πρὸς τὸν πλησίον ἀγάπην, ῥαδίως κατορθῶσαι γίνεται. Τὰ γὰρ πρῶτα καὶ προταττέσθω τῶν ἄλλων καὶ πλέ-*

ἀλλὰ νὰ κατεργάζωνται τὴν ἐπιστροφὴ [καὶ διόρθωσί τους], μὲ σπλάγχνα οἰκτιρμῶν καὶ γιὰ σκοπὸ πνευματικῆς ὠφελείας [καὶ μόνον].

11. Κάθε ἕνας, λέγει [ὁ Ἅγιος], ὁ ὁποῖος ἐπιθυμεῖ νὰ χαραχθοῦν [μέσα του], αὐτοῦ τοῦ εἴδους τὰ ἤθη, ἂς ἐπιδιώκῃ, πρὶν ἀπὸ κάθε ἄλλο καὶ σὲ κάθε περίπτωσι, τὸν φόβο τοῦ Θεοῦ καὶ τὴν ἱερὴ ἀγάπη, ἡ ὁποία εἶναι ἡ πρώτη καὶ μεγαλύτερη ἀπὸ [ὅλες] τὶς ἐντολές. Καὶ ἂς ἐπιζητῇ παντοτινὰ ἀπὸ τὸν Κύριο νὰ γεννιέται αὐτὴ μέσα στὴν καρδιά του, καὶ ἔτσι μὲ τὴν συνεχῆ καὶ ἀδιάλειπτο μνήμη τοῦ Θεοῦ, ἂς τὴν κάνῃ κτῆμα του, ἐπαυξάνοντας αὐτὴν κάθε μέρα μὲ τὴν προκοπή [του] διὰ τῆς Χάριτος τοῦ Θεοῦ. Διότι, μὲ τὴν ἐπιμέλεια καὶ ἐντατικὴ [ἐργασία] καὶ τὴν μέριμνα καὶ τὸν ἀγῶνα, γινόμασθε δυνατοί, [ὥστε] νὰ ἀποκτήσωμε τὴν πρὸς Θεὸν ἀγάπη, ἡ ὁποία παίρνει μορφὴ μέσα μας, μὲ τὴν Χάρι καὶ δωρεὰ τοῦ Χριστοῦ. Ἀπὸ αὐτὴ δέ, γίνεται [πλέον] εὔκολο [στὸν ἄνθρωπο] νὰ κατορθώσῃ καὶ τὴν δεύτερη ἐντολή, τὴν πρὸς τὸν πλησίον, λέγω, ἀγάπη. Ἂς προτάσσῃ λοιπόν, ἀπὸ [ὅλα] τὰ ἄλλα, τὰ πρῶτα καὶ ἂς τὰ ἐπιμελῆται πε-

ον αὐτῶν σπουδαζέσθω· καὶ οὕτω τὰ δεύτερα τοῖς πρώτοις ἑπόμενα ἔσται. Εἰ δέ τις τῆς μὲν πρώτης καὶ μεγάλης ταύτης ἐντολῆς[34]*, τῆς πρὸς Θεὸν ἀγάπης, φημί, κατολιγωρήσας, ἥτις ἀπὸ τῆς ἔνδον ἡμῶν διαθέσεως συνειδήσεώς τε ἀγαθῆς καὶ ὑγιῶν τῶν πρὸς Θεὸν ἐννοιῶν, συνάμα καὶ βοηθείας θείας συνεφαπτομένης, συνίσταται· τῆς δὲ δευτέρας τὴν ἔξωθεν μόνον ἐπιμέλειαν τῆς διακονίας ἀφοσιοῦν βούλεται, ἀδύνατον αὐτῷ ταύτην ὑγιῶς τε καὶ καθαρῶς μετελθεῖν. Ἡ γὰρ τῆς κακίας μέθοδος, μνήμης ἔρημον καὶ ἀγάπης καὶ Θεοῦ ζητήσεως τὸν νοῦν ἀνευρίσκουσα, ἢ δυσχερῆ καὶ ἐπίπονα τὰ θεῖα ἐπιτάγματα φαίνεσθαι ποιεῖ· γογγυσμοὺς καὶ λύπας καὶ μέμψεις κατὰ τῆς εἰς τοὺς ἀδελφοὺς διακονίας τῇ ψυχῇ ἀνακαίουσα, ἤ, οἰήσει δικαιοσύνης ἐξαπατήσασα, φυσιοῖ καὶ ἑαυτὸν ἡγεῖσθαι τίμιόν τε καὶ μέγαν καὶ ἄκρως κατορθοῦντα τὰς ἐντολὰς ἀναπείθει.*

ρισσότερο· καὶ ἔτσι τὰ δεύτερα θὰ ἀκολουθήσουν τὰ πρῶτα. Ἐὰν ὅμως κανεὶς παραμελήσῃ αὐτὴν τὴν πρώτη καὶ μεγάλη ἐντολή, τὴν πρὸς τὸν Θεὸν ἀγάπη, λέγω, ἡ ὁποία συγκροτεῖται ἀπὸ τὴν ἐσωτερικὴ διάθεσι καὶ τὴν ἀγαθὴ συνείδησι καὶ τὰ ὀρθὰ περὶ Θεοῦ φρονήματα, μαζὶ [βεβαίως] καὶ μὲ τὴν θεία βοήθεια, ἡ ὁποία συναντιλαμβάνεται αὐτοῦ, [καὶ ἐὰν] θέλῃ [χάριν] τῆς δευτέρας ἐντολῆς [δηλαδὴ τῆς πρὸς τὸν πλησίον ἀγάπης], νὰ ἀφοσιωθῇ στὴν ἐπιμέλεια τῆς ἐξωτερικῆς μόνο διακονίας, [εἶναι] ἀδύνατον σ᾽ αὐτὸν νὰ ἀσκήσῃ αὐτὴν μὲ καθαρότητα καὶ χωρὶς νοσηρότητα. Διότι ἡ μέθοδος τῆς κακίας [εἶναι], ὅταν εὕρῃ τὸν νοῦ [τοῦ ἀνθρώπου] ἔρημο [καὶ ἄδειο] ἀπὸ τὴν ἀγάπη καὶ τὴν ἀναζήτησι τοῦ Θεοῦ, ἢ κάνει νὰ [τοῦ] φαίνωνται τὰ θεῖα προστάγματα δύσκολα καὶ κοπιαστικά, ἀνάβοντας στὴν ψυχὴ γογγυσμοὺς καὶ λύπες καὶ κατηγορίες ἐναντίον τῆς διακονίας τῶν ἀδελφῶν, ἢ τὸν ἐξαπατᾶ μὲ τὴν ἰδέα, ὅτι εἶναι δίκαιος [καὶ ἐνάρετος], [καὶ] τοῦ φουσκώνει τὸν νοῦ καὶ τὸν πείθει νὰ θεωρῇ τὸν ἑαυτόν του ἄξιο τιμῆς καὶ σπουδαῖο καὶ τέλειο τηρητὴ τῶν ἐντολῶν.

ιβ΄. Ὁπόταν ἑαυτὸν οἰηθῇ ἄνθρωπος ἄριστον εἶναι τῶν ἐντολῶν ἐπιμελητήν, δῆλός ἐστιν ἁμαρτάνων καὶ τῆς ἐντολῆς σφαλλόμενος· ἅτε κρίνας ἑαυτόν, καὶ μὴ τὸν ἀληθῶς κρίνοντα προσδεξάμενος. Ὅταν γὰρ συμμαρτυρῇ τῷ πνεύματι ἡμῶν τὸ τοῦ Θεοῦ Πνεῦμα, κατὰ τὸ λόγιον Παύλου[35]*, τότε φιλαλήθως Χριστοῦ ἄξιοι καὶ τέκνα Θεοῦ τυγχάνομεν ὄντες, οὐχ ὅταν ἰδίᾳ οἰήσει ἑαυτοὺς δικαιώσωμεν. Οὐ γὰρ ὁ ἑαυτὸν συνιστάνων, φησί, δόκιμος, ἀλλ᾽ ὃν ὁ Κύριος συνίστησιν*[36]*. Ἐπείπερ, ὅταν μνήμης καὶ φόβου Θεοῦ γυμνὸς ὢν εὑρίσκηται ὁ ἄνθρωπος, πολλὴ ἀνάγκη καὶ δόξης ἐρᾶν καὶ θηρεύειν ἔπαινον παρὰ τῶν ὑπ᾽ αὐτοῦ διακονουμένων. Ὁ δέ γε τοιοῦτος, ἄπιστος παρὰ τοῦ Κυρίου ἐλήλεγκται, καθάπερ ἤδη δεδήλωται· πῶς γάρ, φησί, δύνασθε ὑμεῖς πιστεύειν, δόξαν παρὰ ἀλλήλων λαμ-*

12. Ὅταν ὁ ἄνθρωπος ἐπαρθῇ [καὶ θεωρήσῃ] τὸν ἑαυτόν του, ὅτι ἐπιμελεῖται [καὶ τηρεῖ] μὲ ἄριστο τρόπο τὶς ἐντολὲς [τοῦ Θεοῦ], [τότε] εἶναι φανερό, ὅτι ἁμαρτάνει καὶ παραβαίνει τὴν ἐντολή, ἀφοῦ αὐτὸς [πλέον γίνεται] κριτὴς τοῦ ἑαυτοῦ του καὶ δὲν ἀποδέχεται Αὐτόν, ποὺ κρίνει ἀληθινά. Διότι, ὅταν τὸ Πνεῦμα τοῦ Θεοῦ δίνῃ κοινὴ μαρτυρία μὲ τὸ δικό μας πνεῦμα, σύμφωνα μὲ τὸν λόγο τοῦ Παύλου, τότε ἐπιτυγχάνομε νὰ εἴμασθε ἀληθινὰ ἄξιοι τοῦ Χριστοῦ καὶ τέκνα Θεοῦ, [καὶ] ὄχι ὅταν δικαιώσωμε τοὺς ἑαυτούς μας σύμφωνα μὲ τὴν δική μας γνώμη. Διότι, λέγει [ὁ Ἀπόστολος Παῦλος], δὲν εἶναι δόκιμος [δηλαδὴ εὐάρεστος καὶ ἐνάρετος] ἐκεῖνος, ὁ ὁποῖος αὐτοσυστήνεται [καὶ αὐτοεγκωμιάζεται], ἀλλ᾽ ἐκεῖνος τὸν ὁποῖον συνιστᾶ [καὶ ἐπαινεῖ] ὁ Κύριος. Ἐπειδή, ὅταν ὁ ἄνθρωπος εὑρίσκεται νὰ εἶναι γυμνὸς ἀπὸ τὴν μνήμη καὶ τὸν φόβο τοῦ Θεοῦ, τότε εἶναι ἀναπόφευκτο καὶ νὰ ἀγαπᾷ σφόδρα τὴν δόξα καὶ νὰ κυνηγᾷ τὸν ἔπαινο ἀπὸ ἐκείνους ποὺ αὐτὸς διακονεῖ. Αὐτός, ὅμως, ἔχει ἐλεγχθῆ ὡς ἄπιστος ἀπὸ τὸν Κύριο, ὅπως ἔχει ἤδη ἀναφερθῆ· διότι λέγει [ὁ Κύριος], «πῶς μπορεῖτε νὰ ἔχετε πίστι, ἐσεῖς ποὺ δέχεσθε τὴν δόξα ὁ ἕνας ἀπὸ τὸν

βάνοντες, καὶ τὴν δόξαν τὴν παρὰ τοῦ μόνου Θεοῦ οὐ ζητοῦντες[37]*;*

ιγ΄. Ἀγῶνι πολλῷ καὶ καμάτῳ νοὸς διὰ σεμνῶν ἐννοιῶν καὶ τῆς συνεχοῦς πάντων τῶν καλῶν μερίμνης ἡ πρὸς Θεὸν ἀγάπη, καθάπερ εἴρηται, κατορθοῦσθαι δύναται· ἅτε τοῦ ἐναντίου τῷ ἡμετέρῳ νῷ ἐμποδίζοντος καὶ οὐ συγχωροῦντος αὐτῷ διὰ τῆς τῶν καλῶν μνήμης, τῷ θείῳ ἔρωτι προσανέχειν, ἀλλὰ ταῖς γηΐναις ἐπιθυμίαις τὴν αἴσθησιν περισαίνοντος. Ἐν τούτῳ γὰρ ὁ τοῦ πονηροῦ θάνατος καί, οἷον εἰπεῖν, ἡ ἀγχόνη, ὅτε τῇ τοῦ Θεοῦ ἀγάπῃ καὶ μνήμῃ ἀπερισπάστως ἐνδιατρίβων ὁ νοῦς εὑρίσκεται. Ἐντεῦθεν καὶ ἡ πρὸς τὸν ἀδελφὸν εἰλικρινὴς ἀγάπη συστῆναι δύναται καὶ ἡ ἀληθὴς ἁπλότης καὶ ἡ πρᾳότης, ἡ ταπείνωσις, ἡ ἀκεραιότης, ἡ ἀγαθότης τέ, φημί, καὶ εὐχὴ καὶ πᾶς ὁ περικαλλὴς τῶν ἀρετῶν στέφανος, διὰ τῆς μιᾶς καὶ μόνης καὶ πρώτης ἐντολῆς, τῆς πρὸς Θεὸν ἀγάπης[38]*, τὴν τελειότητα δέχεται.*

ἄλλον, καὶ δὲν ζητεῖτε τὴν δόξα ἀπὸ τὸν μόνο Θεό;».

13. [Μόνο] μὲ μεγάλο ἀγῶνα καὶ κόπο τοῦ νοῦ, μὲ τοὺς σεμνοὺς λογισμοὺς καὶ τὴν συνεχῆ φροντίδα γιὰ ὅλα τὰ καλά, μπορεῖ νὰ κατορθωθῇ ἡ ἀγάπη πρὸς τὸν Θεό, ὅπως ἔχει λεχθῆ· ἐπειδὴ ὁ ἐχθρὸς ἐμποδίζει τὸν νοῦ μας καὶ δὲν τοῦ ἐπιτρέπει νὰ προσηλώνεται στὸν θεῖο ἔρωτα μὲ τὴν μνήμη τῶν καλῶν, ἀλλὰ [τὸν] περιτριγυρίζει, προσελκύοντας τὴν αἴσθησι πρὸς τὶς γήϊνες ἐπιθυμίες. Διότι, σ᾽ αὐτὸ [ἔγκειται] ὁ θάνατος τοῦ πονηροῦ καί, σὰν νὰ ποῦμε, ἡ ἀγχόνη του, ὅταν [δηλαδὴ] ὁ νοῦς τοῦ ἀνθρώπου ἐνδιατρίβῃ [ἀπασχολῆται] χωρὶς περισπασμὸ εἰς μόνην τὴν ἀγάπη καὶ μνήμη τοῦ Θεοῦ. Ἀπὸ αὐτὸ μπορεῖ νὰ προέλθῃ [νὰ λάβῃ ὑπόστασι] καὶ ἡ εἰλικρινὴς ἀγάπη πρὸς τὸν ἀδελφό, καὶ ἡ ἀληθινὴ ἁπλότης καὶ ἡ πρᾳότης, ἡ ταπείνωσις, ἡ ἀκεραιότης, καὶ ἡ ἀγαθότης, λέγω, καὶ [ἡ] προσευχὴ καὶ [γενικὰ] ὅλος ὁ πανέμορφος στέφανος τῶν ἀρετῶν, λαμβάνει τὴν τελειότητά [του] ἀπὸ τὴν μία καὶ μόνη καὶ πρώτη ἐντολή, [δηλαδὴ] τὴν πρὸς τὸν Θεὸ ἀγάπη.

Ἀγῶνος τοίνυν πολλοῦ καὶ πόνου κρυπτοῦ καὶ ἀδήλου χρεία, λογισμῶν ἐρεύνης τε καὶ τῶν ἠσθενηκότων τῆς ψυχῆς ἡμῶν αἰσθητηρίων γυμνασίας, πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ[39]*, καὶ τοῦ ῥωννύειν καὶ ἀναζωπυρεῖν διὰ τῆς τοῦ νοῦ πρὸς Θεὸν ἐπιμελοῦς νεύσεως, τὰ πεπονηκότα τῆς ψυχῆς μέλη. Ὁ γὰρ νοῦς ἡμῶν οὕτω διὰ παντὸς τῷ Θεῷ προσκολλώμενος, γενήσεται μετὰ τοῦ Κυρίου εἰς ἓν Πνεῦμα*[40]*, κατὰ τὸ λόγιον Παύλου.*

ιδʹ. Τοῦτον δέ, φησί, τὸν κρυπτὸν ἀγῶνα καὶ τὸν πόνον καὶ τὴν μελέτην νύκτα καὶ μεθ᾽ ἡμέραν ἀδιαλείπτως ἔχειν τοὺς φιλαρέτους χρὴ πρὸς πᾶσαν ἐπιτήδευσιν ἐντολῆς, ἤτοι εὐχομένους ἢ διακονοῦντας, ἐσθίοντας ἢ πίνοντας, ἢ πᾶν ὅ,τιοῦν ποιοῦντας[41]*, ἵνα ὅπερ ἂν γένηται ἀγαθόν, εἰς δόξαν Θεοῦ καὶ μὴ εἰς ἡμετέραν γίνεται δόξαν. Εὐπετῆ δὲ ἡμῖν καὶ ῥάδια πάντα τὰ τῶν ἐντολῶν ἔσται, τῆς τοῦ Θεοῦ ἀγάπης αὐτὰ διευμαριζούσης καὶ τὸ ἐπί-*

Εἶναι λοιπὸν ἀνάγκη μεγάλου ἀγῶνος, καὶ πόνου κρυφοῦ καὶ ἐσωτερικοῦ, καὶ ἔρευνας τῶν λογισμῶν καὶ ἐξασκήσεως τῶν ἐξασθενημένων αἰσθητηρίων τῆς ψυχῆς γιὰ τὴν διάκρισι τοῦ καλοῦ καὶ τοῦ κακοῦ, [ὅπως εἶναι ἀγάγκη καὶ συνεχῶς] νὰ ἐνδυναμώνωνται καὶ νὰ ἀναζωπυρώνωνται τὰ καταπονημένα, [ἀπὸ τὸν πόλεμο κατὰ τῶν παθῶν], μέλη τῆς ψυχῆς, μὲ τὴν ἐπιμελῆ [καὶ συνεχῆ] ἀνύψωσι τοῦ νοῦ πρὸς τὸν Θεό. Διότι ἔτσι [μόνον] ὁ νοῦς μας, ὅταν συνεχῶς προσκολλᾶται στὸν Θεό, θὰ γίνῃ ἕνα Πνεῦμα μὲ τὸν Κύριο, κατὰ τὸν λόγο τοῦ [Ἀποστόλου] Παύλου.

14. Λέγει δὲ [ὁ Ἅγιος Μακάριος], ὅτι αὐτὸν τὸν κρυφὸν ἀγῶνα καὶ τὸν πόνο καὶ τὴν μελέτη νύκτα καὶ ἡμέρα, πρέπει ἀκατάπαυστα νὰ ἔχουν οἱ φιλάρετοι κατὰ τὴν ἐξάσκησι [καὶ ἐργασία] τῆς κάθε ἐντολῆς, δηλαδὴ ὅταν προσεύχωνται ἢ ὅταν διακονοῦν, ὅταν τρώγουν ἢ ὅταν πίνουν, ἢ ὅταν κάνουν τὸ ὁτιδήποτε, ὥστε ὅποιο ἀγαθὸ πραγματοποιηθῆ, εἰς δόξαν Θεοῦ νὰ γίνεται, καὶ ὄχι γιὰ τὴν δική μας δόξα. [Ἔτσι] θὰ εἶναι εὐχερῆ καὶ εὔκολα γιὰ ἐμᾶς, ὅλα τὰ τῶν ἐντολῶν, ἐπειδὴ θὰ τὰ διευκολύνῃ ἡ ἀγάπη

πονον αὐτῶν ἐκλυούσης ἅπαν. Ὅλος γὰρ ὁ ἀγὼν καὶ ἡ σπουδὴ τῷ ἀντικειμένῳ τοῦτό ἐστιν, ὡς δεδήλωται, τὸ δυνηθῆναι τὸν νοῦν ἀπὸ τῆς πρὸς Θεὸν μνήμης καὶ τοῦ φόβου καὶ τῆς ἀγάπης περισπᾶσαι, γηΐναις αὐτὸν παραγωγαῖς καὶ δελεάσμασιν ἀπὸ τοῦ ὄντως ἀγαθοῦ πρὸς τὰ δοκήσει καλὰ παρατρέποντι.

ιε΄. Καὶ γὰρ Ἀβραάμ, φησίν, ὁ Πατριάρχης, τὸν Ἱερέα τοῦ Θεοῦ Μελχισεδὲκ δεξιούμενος, ἐκ τῶν ἀκροθηνίων τὴν προσαγωγὴν ἐποιήσατο, καὶ οὕτω τῆς παρὰ αὐτοῦ τετύχηκεν εὐλογίας[42]*, εἰς ὑψηλοτέραν τινὰ θεωρίαν διὰ τῶν τοιούτων τοῦ Πνεύματος ἡμᾶς ἀνάγοντος, ὥστε τὰ ἄκρα καὶ τὰ στέατα τὰ πρῶτα ὅλου τοῦ ἡμετέρου συγκράματος, ὅπερ ἐστὶν αὐτὸς ὁ νοῦς, αὐτὴ ἡ συνείδησις, αὐτὴ ἡ τῆς ψυχῆς ἀγαπητικὴ δύναμις, τῷ Θεῷ πρότερον δεῖν, ὡς ἱεράν τινα θυσίαν, ὁλοκαυτοῦν. Τὰ ἀκροθήνιά τε καὶ*

τοῦ Θεοῦ καὶ θὰ μειώση τὸν κόπο τους. Διότι ὅλος ὁ ἀγώνας καὶ ἡ σπουδὴ τοῦ ἐχθροῦ σ᾽ αὐτὸ εἶναι [ἐπικεντρωμένη], ὅπως ἔχει ἀποδειχθῆ, στὸ νὰ μπορέση νὰ ἀποσπάση τὸν νοῦ, ἀπὸ τὴν μνήμη τοῦ Θεοῦ καὶ τὸν φόβο καὶ τὴν ἀγάπη [Του], μὲ τὸ νὰ τὸν στρέφη ἀπὸ τὸ ὄντως ἀγαθὸ [δηλαδὴ τὸν Θεό], πρὸς τὰ νομιζόμενα καλά, μὲ γήϊνες ἐξαπατήσεις καὶ δελεάσματα.

15. Καὶ ὅπως ὁ Πατριάρχης Ἀβραάμ, λέγει [ὁ Ἅγιος], ὅταν συνήντησε τὸν ἱερέα τοῦ Θεοῦ Μελχισεδέκ, τοῦ προσέφερε [ὡς δῶρο] ἀπὸ τὰ ἐκλεκτότερα τῶν ὑπαρχόντων του, καὶ μὲ αὐτὸ τὸν τρόπο ἐπέτυχε [νὰ δεχθῆ] τὴν εὐλογία του, [ἔτσι] μὲ αὐτὰ [τὰ συμβολικὰ] τὸ [Ἅγιο] Πνεῦμα μᾶς ἀνυψώνει σὲ κάποια ὑψηλότερη θεωρία, ὥστε [δηλαδή, ὅπως ἐκεῖνα τὰ ἀκροθήνια], πρέπει [καὶ ἐμεῖς] πρωταρχικὰ στὸν Θεό, ὡς ἱερὸ ὁλοκαύτωμα, νὰ προσφέρωμε τὰ καλύτερα καὶ τὰ παχέα μέρη τῆς ὅλης ψυχοσωματικῆς μας ὑποστάσεως, τὰ ὁποῖα εἶναι αὐτὸς ὁ νοῦς, αὐτὴ ἡ συνείδησι, καὶ αὐτὴ ἡ ἀγαπητικὴ δύναμι τῆς ψυχῆς. Τὰ «ἀκροθήνια» λοιπὸν καὶ

πρῶτα τῶν ὀρθῶν λογισμῶν τῇ αὐτοῦ μνήμῃ διδόναι καὶ ἐν τῇ αὐτοῦ ἀγάπῃ καὶ ἐν τῷ ἀποῤῥήτῳ καὶ ὑπερφυεῖ ἔρωτι ἀδιαλείπτως ἀπασχολεῖν. Καὶ οὕτως δυνάμεθα ὁσημέραι τὴν αὔξησιν καὶ προκοπὴν λαμβάνειν, βοηθούμενοι ὑπὸ τῆς θείας χάριτος· καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν ἐλαφρὸν ἡμῖν καταφανήσεται[43]*, καθαρῶς καὶ ἀμώμως ταύτας ἐπιτελοῦντες, συνεργούμενοι ὑπ᾽ αὐτοῦ τοῦ Κυρίου διὰ τῆς πρὸς αὐτὸν ἡμῶν πίστεως.*

ις΄. Περὶ δὲ τῆς φαινομένης ἀσκήσεως, καὶ ποῖον ἀγαθὸν ἐπιτήδευμα μεῖζον καὶ πρῶτον τυγχάνει; Τοῦτο γινώσκετε, ἀγαπητοί, ὅτι ἀλλήλων αἱ ἀρεταὶ ἐκδέδενται καὶ ἀλλήλων ἔχονται, καθάπερ ἱερά τις σειρά, μία τῆς μιᾶς ἠρτημένη· οἷον, ἡ μὲν εὐχή, τῆς ἀγάπης· ἡ ἀγάπη δέ, τῆς χαρᾶς· ἡ χαρά, τῆς πρᾳότητος· ἡ πρᾳότης, τῆς ταπεινοφροσύνης· ἡ ταπεινοφροσύνη δέ, τῆς διακονίας· ἡ διακονία δέ, τῆς

τοὺς καλλίτερους λογισμοὺς πρέπει νὰ προσφέρῃ [ὁ ἄνθρωπος] στὴν μνήμη τοῦ Θεοῦ καὶ νὰ ἀσχολῆται ἀκατάπαυστα μὲ τὴν ἀγάπη τοῦ Θεοῦ καὶ μὲ τὸν μυστικὸ καὶ ὑπέρλογο πρὸς Αὐτὸν ἔρωτα. Καὶ ἔτσι μποροῦμε ἡμέρα μὲ τὴν ἡμέρα νὰ προχωροῦμε [πνευματικά] καὶ νὰ προοδεύωμε [στὴν ἀρετή], βοηθούμενοι ἀπὸ τὴν θεία Χάρι· καὶ τὸ φορτίον τῆς δικαιοσύνης τῶν ἐντολῶν θὰ μᾶς φανῇ ἐλαφρό, ἐφ᾽ ὅσον τὶς ἐργαζόμεθα καθαρὰ καὶ ἄμεμπτα, βοηθούμενοι ὑπ᾽ Αὐτοῦ τοῦ Ἰδίου τοῦ Κυρίου, διὰ τῆς πίστεώς μας πρὸς Αὐτόν.

16. [Ἂς δοῦμε τώρα] ὅ,τι ἀφορᾶ τὴν ἐξωτερικὴ ἄσκησι καὶ ποιὸ ἀγαθὸ ἔργο τυγχάνει [νὰ εἶναι] πρῶτο καὶ μεγαλύτερο. Αὐτὸ ἀγαπητοί [μου] νὰ γνωρίζετε, ὅτι οἱ ἀρετὲς εἶναι δεμένες μεταξύ τους καὶ ἀκολουθοῦν ἡ μία τὴν ἄλλη, σὰν κάποια ἱερὴ ἁλυσίδα, ἐξαρτημένη ἡ μία ἀπὸ τὴν ἄλλη. Ὅπως [γιὰ παράδειγμα] ἡ μὲν εὐχὴ [ἐξαρτᾶται] ἀπὸ τὴν ἀγάπη· ἡ ἀγάπη δέ, ἀπὸ τὴν χαρά· ἡ χαρά, ἀπὸ τὴν πραότητα· ἡ πραότητα, ἀπὸ τὴν ταπεινοφροσύνη· ἡ ταπεινοφροσύνη δέ, ἀπὸ τὴν διακονία· ἡ διακονία, ἀπὸ

ἐλπίδος· ἡ δὲ ἐλπίς, τῆς πίστεως· καὶ ἡ μὲν πίστις, τῆς ὑπακοῆς· ἡ δὲ ὑπακοή, τῆς ἁπλότητος· ὥσπερ τὰναντία πάλιν ἓν ὑφ᾽ ἑνὸς δέδενται· οἷον, τοῦ μὲν θυμοῦ, τὸ μῖσος· ὁ δέ, τῆς ὑπερηφανίας· τῆς κενοδοξίας αὕτη· ἐκείνη, τῆς ἀπιστίας· ἡ δέ, τῆς σκληροκαρδίας· καὶ αὕτη μέν, ἐκ τῆς ἀμελείας· ἐκείνη δέ, τῆς χαυνώσεως· ἐκ δὲ τῆς ὀλιγωρίας αὕτη· κἀκείνη μὲν ἐκ τῆς ἀκηδίας· ὥσπερ ἐκ τοῦ ἀνυπομονήτου αὕτη· τὸ δέ, τῆς φιληδονίας· καὶ οὕτω τὰ λοιπὰ μέρη τῆς κακίας ἀλλήλων εἰσίν ἐχόμενα.

ιζ΄. Πᾶν ὅπερ ἂν ποιῇ καλὸν ὁ ἄνθρωπος, σπιλοῦν αὐτὸ καὶ καταμιαίνειν ὁ πονηρὸς τῇ ἐπιμιξίᾳ τῶν ἑαυτοῦ σπερμάτων βούλεται· οἷον τῆς κενοδοξίας ἢ τῆς οἰήσεως, εἴτε μὴν καὶ τοῦ γογγυσμοῦ ἢ ἑτέρου τινὸς τῶν τοιούτων· ἵν᾽ ἢ μὴ διὰ Θεὸν μόνον, ἢ μὴ ἐκ προθυμίας τὸ γινόμενον ἀγαθὸν γίνηται. Γέγραπται γὰρ τὸν Ἄβελ


τὴν ἐλπίδα· ἡ δὲ ἐλπίδα, ἀπὸ τὴν πίστι· καὶ ἡ μὲν πίστι ἀπὸ τὴν ὑπακοή· ἡ δὲ ὑπακοή, ἀπὸ τὴν ἁπλότητα. Ὅπως ἀκριβῶς πάλι καὶ τὰ ἀντίθετα εἶναι δεμένα τὸ ἕνα μὲ τὸ ἄλλο· ὅπως μὲ τὸ μῖσος [συνδέεται] ὁ θυμός· αὐτὸς δέ, μὲ τὴν ὑπερηφάνεια· αὐτὴ μὲ τὴν κενοδοξία· ἐκείνη, μὲ τὴν ἀπιστία· αὐτὴ δέ, μὲ τὴν σκληροκαρδία· καὶ αὐτὴ πάλι, μὲ τὴν ἀμέλεια· ἐκείνη δέ, μὲ τὴν χαύνωσι [δηλαδὴ τὴν χαλάρωσι καὶ μαλθακότητα]· αὐτὴ δέ, μὲ τὴν ὀλιγωρία [παραμέλησι καὶ ἀδιαφορία γιὰ τὰ πνευματικά]· καὶ ἐκείνη μὲν [ἐξαρτᾶται] ἀπὸ τὴν ἀκηδία· ὅπως ἀκριβῶς αὐτὴ ἀπὸ τὴν ἀνυπομονησία· αὐτὴ δέ, ἀπὸ τὴν φιληδονία· καὶ κατὰ αὐτὸν τὸν τρόπο τὰ ὑπόλοιπα μέρη τῆς κακίας, ἀκολουθοῦν συνδεδεμένα τὸ ἕνα μὲ τὸ ἄλλο.

17. Ὁτιδήποτε καλὸ κάνει ὁ ἄνθρωπος, ὁ πονηρὸς θέλει νὰ τὸ σπιλώνῃ καὶ νὰ τὸ ἐπιμολύνῃ μὲ τὴν ἀνάμειξι τῶν δικῶν του σπερμάτων· δηλαδὴ μὲ τὴν κενοδοξία ἢ τὴν ὑπερηφάνεια, εἴτε ἀκόμη μὲ τὸν γογγυσμό, ἢ μὲ κάποιο ἄλλο παρόμοιο μὲ αὐτά· ὥστε τὸ ἀγαθὸ ποὺ γίνεται, νὰ μὴ γίνῃ οὔτε ἀποκλειστικὰ γιὰ τὸ Θεό, οὔτε ἀπὸ καλὴ διάθεσι. Διότι εἶναι γραμμένο [στὴν

προσενεγκεῖν θυσίαν τῷ Θεῷ ἀπὸ τῶν στεάτων καὶ ἀπὸ τῶν πρωτοτόκων τῶν προβάτων· καὶ τὸν Κάιν δὲ ὁμοίως δῶρα προσενεγκεῖν ἀπὸ τῶν καρπῶν μὲν τῆς γῆς, ἀλλ᾽ οὐκ ἀπὸ τῶν πρώτων. Καὶ διὰ τοῦτο ἐπὶ μὲν ταῖς θυσίαις τοῦ Ἄβελ ἐπιδεῖν τὸν Θεόν, ἐπὶ δὲ τοῖς δώροις τοῦ Κάιν μὴ προσχεῖν[44]. *Ἐκ τούτου μανθάνειν ἔχομεν, ὅτι ἔστι τι καλόν, μὴ ποιῆσαι καλῶς· οἷον ἀμελῶς ἢ καταφρονητικῶς, ἢ δι᾽ ἕτερόν τι καὶ οὐ διὰ Θεόν· καὶ παρὰ τοῦτο συμβαίνει γίνεσθαι μὴ εὐπρόσδεκτον τῷ Θεῷ.*

Π. Διαθήκη] γιὰ τὸν Ἄβελ, ὅτι προσέφερε στὸν Θεὸ θυσία ἀπὸ τὰ παχέα [καλλίτερα] μέρη καὶ ἀπὸ τὰ πρωτότοκα πρόβατά του· καὶ γιὰ τὸν Κάϊν παρόμοια, ὅτι προσέφερε δῶρα ἀπὸ τοὺς καρποὺς μὲν τῆς γῆς, ἀλλὰ ὄχι ἀπὸ τοὺς πρώτους [καλλίτερους]. Καὶ γι᾽ αὐτὸ ὁ Θεὸς δέχθηκε μὲ εὐαρέστησι τὶς θυσίες τοῦ Ἄβελ, ἐνῶ τὰ δῶρα τοῦ Κάϊν οὔτε [τὰ] ἐπρόσεξε. Ἀπὸ αὐτὸ πρέπει νὰ μαθαίνωμε, ὅτι [εἶναι δυνατὸν] νὰ ὑπάρχῃ κάποιο καλό, ποὺ νὰ μὴ γίνεται μὲ καλὸ τρόπο· ὅπως [γιὰ παράδειγμα], νὰ γίνεται μὲ ἀμέλεια ἢ μὲ καταφρόνησι, ἢ γιὰ κάτι ἄλλο καὶ ὄχι γιὰ τὸν Θεό. Καὶ γι᾽ αὐτὸ [τὸν λόγο] συμβαίνει νὰ μὴ γίνεται [τελικὰ] εὐπρόσδεκτο ἀπὸ τὸν Θεό.





ΛΟΓΟΣ Β′

ΠΕΡΙ ΠΡΟΣΕΥΧΗΣ

ιη′. Κεφάλαιον πάσης ἀγαθῆς σπουδῆς καὶ κορυφὴ τῶν κατορθωμάτων ἡ τῆς προσευχῆς ἐστι προσεδρεία, δι᾽ ἧς καὶ τῶν ἄλλων ἀρετῶν ἐν κτήσει γινόμεθα, τοῦ Θεοῦ καλουμένου, χεῖρα συνεργὸν ἐπορέγοντος. Καὶ γὰρ κοινωνία τῆς μυστικῆς ἐνεργείας καὶ συνάφεια διαθέσεως τῆς πρὸς Θεὸν ἁγιότητος καὶ αὐτοῦ τοῦ νοῦ δι᾽ ἀγάπης ἀῤῥήτου πρὸς Κύριον, ἐν τῇ εὐχῇ τοῖς καταξιουμένοις γίνεται. Ἔδωκας γάρ, φησίν, εὐφροσύνην εἰς τὴν καρδίαν μου[45]*. Καὶ αὐτὸς δὲ ὁ Κύριος; Ἡ Βασιλεία τῶν οὐρανῶν ἐντὸς ὑμῶν ἐστί*[46]*. Τὸ δὲ ἐντὸς εἶναι τὴν Βασιλείαν, τί ἂν ἄλλο δηλοῦν εἴη ἢ τὴν τοῦ Πνεύματος οὐράνιον εὐφροσύνην ταῖς ἀξίαις ψυχαῖς ἐναργῶς ἐνσημαίνεσθαι; Τῆς*

18. Ἡ κορωνίδα κάθε ἀγαθοῦ ζήλου καὶ ἡ κορυφὴ τῶν [πνευματικῶν] κατορθωμάτων εἶναι ἡ παραμονὴ [καὶ ἐπιμονὴ] στὴν προσευχή, μὲ τὴν ὁποία ἀποκτοῦμε καὶ τὶς ἄλλες ἀρετὲς [ἐπειδή], ὅταν ἐπικαλούμεθα τὸν Θεό, [Αὐτὸς] μᾶς ἐκτείνει χεῖρα βοηθείας. Καὶ [τοῦτο] διότι κατὰ τὴν προσευχὴ γίνεται στοὺς ἀξίους κοινωνία τῆς μυστικῆς ἐνεργείας [τῆς Χάριτος τοῦ Θεοῦ] καὶ συνάφεια τῆς [καρδιακῆς] διαθέσεώς [τους] πρὸς τὴν ἁγιότητα τοῦ Θεοῦ, [καθὼς] καὶ αὐτοῦ τοῦ νοῦ πρὸς τὸν Κύριον, δι᾽ ἀνεκφράστου ἀγάπης. Διότι, λέγει [ὁ ψαλμωδός]: «ἔδωσες εὐφροσύνη εἰς τὴν καρδίαν μου». Καὶ Αὐτὸς δὲ ὁ Κύριος [τί λέγει]; «Ἡ Βασιλεία τῶν οὐρανῶν εὑρίσκεται μέσα σας». Τὸ δὲ «εἶναι ἐντὸς τὴν Βασιλείαν», τί ἄλλο θὰ μποροῦσε νὰ δηλώνῃ, παρὰ τὸ ὅτι ἡ οὐράνια εὐφροσύνη τοῦ [Ἁγίου] Πνεύματος, ἀποτυπώνεται μὲ ἐνάργεια [μέσα] στὶς ἄξιες ψυχές; Διότι, οἱ ἄξιες ψυ-

ἀπολαύσεως γάρ τε καὶ χαρᾶς καὶ τῆς ἐν Πνεύματι εὐφροσύνης, ἧς ἐν φωτὶ αἰωνίῳ οἱ Ἅγιοι ἐν τῇ τοῦ Χριστοῦ μεθέξουσι Βασιλείᾳ, ταύτης τὸν ἀῤῥαβῶνα καὶ τὰ προοίμια, ἐντεῦθεν ἤδη, αἱ ἄξιαι, διὰ τῆς τοῦ Πνεύματος ἐνεργοῦς κοινωνίας, ψυχαὶ λαμβάνουσιν. Ὅπερ δή καὶ τὸν θεῖον Ἀπόστολον δηλοῦν ἔγνωμεν· ὁ γὰρ παρακαλῶν ἡμᾶς, φησί, ἐν τῇ θλίψει ἡμῶν, εἰς τὸ δύνασθαι ἡμᾶς παρακαλεῖν τοὺς ἐν πάσῃ θλίψει, διὰ τῆς παρακλήσεως ἧς παρακαλούμεθα καὶ αὐτοὶ ὑπὸ τοῦ Θεοῦ[47]. *Ἀλλὰ καὶ τό, ἡ καρδία μου καὶ ἡ σάρξ μου ἠγαλλιάσαντο ἐπὶ Θεὸν ζῶντα*[48]*· καὶ τό, ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου*[49], *καὶ τὰ συνῳδὰ τούτοις, εἰς ταὐτὸν φέρουσι καὶ τὴν τοῦ Πνεύματος ἐνεργὸν εὐφροσύνην καὶ παράκλησιν ὑπαινίττονται.*

ιθ΄. Ὥσπερ μεῖζον τῶν ἄλλων τὸ τῆς εὐχῆς ἔργον, οὕτω καὶ πόνου πλείονος

χές, μὲ τὴν ἐνεργὸ κοινωνία τοῦ [Ἁγίου] Πνεύματος, λαμβάνουν ἤδη ἀπὸ ἐδῶ τὸν ἀρραβῶνα καὶ τὰ προοίμια τῆς ἀπολαύσεως καὶ τῆς χαρᾶς καὶ τῆς ἐν [Ἁγίῳ] Πνεύματι εὐφροσύνης, στὴν ὁποία θὰ μετάσχουν μέσα σὲ αἰώνιο φῶς οἱ Ἅγιοι εἰς τὴν Βασιλεία τοῦ Χριστοῦ. Τὸ ὁποῖο πράγματι ἐγνωρίσαμε ὅτι ἐννοεῖ καὶ ὁ θεῖος Ἀπόστολος [Παῦλος, ὅταν λέγῃ]: «[ὁ Θεὸς λοιπόν], ὁ ὁποῖος μᾶς παρηγορεῖ εἰς τὴν θλῖψι μας, γιὰ νὰ μποροῦμε καὶ ἐμεῖς νὰ παρηγοροῦμε αὐτούς, [οἱ ὁποῖοι εὑρίσκονται] σὲ κάθε [εἴδους] θλῖψι, μὲ τὴν παρηγορία μὲ τὴν ὁποία παρηγορούμεθα καὶ ἐμεῖς ἀπὸ τὸν Θεό». Ἀλλὰ καὶ τὸ [ρητὸ τοῦ ψαλμοῦ], «ἡ καρδία μου καὶ ἡ σάρκα μου ἔννοιωσαν ἀγαλλίασι ἀπὸ [τὴν παρουσία] τοῦ Ζῶντος Θεοῦ» καὶ [ἐπίσης] τὸ [ψαλμικό], «ἡ ψυχή μου θὰ χορτάσῃ σὰν ἀπὸ λιπαρὸ καὶ θρεπτικὸ [φαγητό]» καὶ τὰ ὅμοια μὲ αὐτά, ὁδηγοῦν εἰς τὸ ἴδιο [νόημα] καὶ ὑπονοοῦν τὴν ἐνεργὸ εὐφροσύνη καὶ παρηγορία τοῦ [Ἁγίου] Πνεύματος.

19. Ὅπως ἀκριβῶς μεγαλύτερο ἀπὸ [ὅλα] τὰ ἄλλα ἔργα [εἶναι] τὸ ἔργον τῆς προσευχῆς, ἔτσι χρειάζεται καὶ περισσότερος

δεῖ καὶ μερίμνης τῷ πρὸς αὐτὴν ἐρωτικῶς ἔχοντι, μήπου κλοπήν τινα παρὰ τῆς κακίας ὑπομείνας λάθῃ. Οἷς γὰρ μείζονος ἀγαθοῦ ἐπιμέλεια, μείζονι καὶ ὁ πονηρὸς τῇ πείρᾳ προσβάλλει· ὥστε πολλῆς αὐτῷ δεήσει τῆς νήψεως, ἵνα καὶ μᾶλλον καρποὶ ἀγάπης καὶ ταπεινοφροσύνης, ἁπλότητός τε καὶ ἀγαθότητος, καὶ πρὸς ἐπὶ τούτοις, διακρίσεως, ὁσημέραι τῷ παραμόνῳ τῆς εὐχῆς ἀναφύωνται· καὶ αὐτοῦ μὲν φανερὰν τὴν ἐπὶ τὰ θεῖα προκοπὴν καὶ ἐπίδοσιν καθιστῶσι, τοὺς ἄλλους δὲ πρὸς τὸν ἴσον ζῆλον παρακαλῶσιν.

κ΄. Ἀδιαλείπτως προσεύχεσθαι[50] *καὶ προσκαρτερεῖν τῇ εὐχῇ*[51] *αὐτός τε ὁ θεῖος Ἀπόστολος καὶ τὸ ὑπὸ τοῦ Κυρίου εἰρημένον διδάσκει, πόσῳ μᾶλλον, εἰπόντος, ποιήσει ἐκδίκησιν ὁ Θεὸς τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας*[52]*· καὶ τό, γρηγορεῖτε καὶ προ-*

κόπος καὶ φροντίδα γιὰ ἐκεῖνον, ποὺ ἔχει πόθο γι᾽ αὐτήν, μήπως τυχόν, χωρὶς νὰ τὸ ἀντιληφθῇ, ἐξαπατηθῇ ἀπὸ τὴν κακία [τοῦ ἐχθροῦ]. Διότι σὲ αὐτούς, οἱ ὁποῖοι ἐπιμελοῦνται [καὶ ἐπιθυμοῦν] τὸ μεγαλύτερο ἀγαθό, τοὺς προσβάλλει καὶ ὁ πονηρὸς μὲ μεγαλύτερη σπουδή· ὥστε αὐτὸς [ὁ προσευχόμενος] θὰ χρειασθῇ πολλὴ νῆψι, γιὰ νὰ ἐμφανίζωνται μέρα μὲ τὴν ἡμέρα, μὲ τὴν παραμονή του στὴν προσευχή, [ὅλο] καὶ περισσότεροι καρποὶ ἀγάπης καὶ ταπεινοφροσύνης καὶ ἁπλότητος καὶ ἀγαθότητος καὶ [κυρίως], μαζὶ μὲ αὐτούς, [καρποὶ] διακρίσεως. Καὶ [οἱ καρποὶ αὐτοί, ὅσον μὲν ἀφοροῦν αὐτόν], θὰ φανερώνουν τὴν προκοπὴ καὶ τὴν ἐπίδοσί του στὰ θεῖα, τοὺς ἄλλους δὲ θὰ παρακινοῦν πρὸς τὸν ἴδιο ζῆλο [γιὰ τὰ πνευματικά].

20. «Νὰ προσευχώμεθα ἀδιαλείπτως» καὶ «νὰ ἐπιμένωμε μὲ καρτερία στὴν προσευχή», διδάσκει αὐτὸς ὁ θεῖος Ἀπόστολος [Παῦλος], [καθὼς] καὶ αὐτὸ τὸ ὁποῖο ἔχει λεχθῆ ἀπὸ τὸν Κύριο, ὅταν εἶπε: «πόσο περισσότερο ὁ Θεὸς θὰ ἀποδώσῃ τὸ δίκαιο σὲ ἐκείνους ποὺ Τὸν ἐπικαλοῦνται νύκτα καὶ ἡμέρα», [ὅπως ἐπίσης] καὶ

σεύχεσθε[53]. Δεῖ οὖν πάντοτε προσεύχεσθαι καὶ μὴ ἐκκακεῖν[54]. Ὥσπερ δὲ κεφαλαιωδέστερον, ὁ τῇ εὐχῇ προσκαρτερῶν, εἵλετο ἔργον, οὕτως αὐτὸν ἀγῶνα πολὺν καὶ τόνον ἀνένδοτον ἀνελέσθαι χρή, διὰ τὰ πολλὰ τῇ προσεδρείᾳ τῆς εὐχῆς ὑπεῖναι τὰ τῆς κακίας ἐμπόδια· ὕπνον, ἀκηδίαν, βάρος σώματος, λογισμῶν ἐκτροπήν, νοὸς ἀκαταστασίαν, ἔκλυσιν καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα· εἶτα θλίψεις καὶ αὐτῶν τῶν πονηρῶν πνευμάτων ἐπαναστάσεις, ἐκθύμως πολεμούντων ἡμῖν καὶ ἀντικαθισταμένων καὶ προσεγγίζειν τῷ Θεῷ διειργόντων τὴν κατὰ ἀλήθειαν τὸν Θεὸν ἀπαύστως ἐπιζητοῦσαν ψυχήν.

κα'. Πάσῃ σπουδῇ καὶ νήψει, ὑπομονῇ τε καὶ ἀγῶνι ψυχῆς καὶ πόνῳ σώματος, τὸν τῆς εὐχῆς ἐπιμελούμενον ἀνδρίζεσθαι χρή, μὴ χαυνούμενον καὶ συνεπιδιδόντα ταῖς τῶν λογισμῶν

τό, «ἀγρυπνεῖτε καὶ προσεύχεσθε». «Πρέπει λοιπὸν πάντοτε νὰ προσευχώμεθα καὶ νὰ μὴ ῥαθυμοῦμε». Ὅπως λοιπὸν ἐκεῖνος, ὁ ὁποῖος ἐπιμένει μὲ καρτερία στὴν προσευχή, ἐδιάλεξε τὸ σπουδαιότερο ἔργο, ἔτσι πρέπει νὰ ἀναλάβῃ μεγάλο ἀγῶνα καὶ ἀνυποχώρητη ψυχικὴ γενναιότητα, ἐπειδὴ ἡ ἐπιμονὴ εἰς τὴν προσευχὴ ὑπόκειται σὲ πολλὰ ἐμπόδια ἀπὸ τὴν κακία [τοῦ διαβόλου]· ὕπνο, ἀκηδία, βάρος τοῦ σώματος, παρεκτροπὴ λογισμῶν, ἀκαταστασία τοῦ νοῦ, ἔκλυσι [σωματικὴ ἀτονία] καὶ τὰ λοιπὰ τεχνάσματα τῆς κακίας· ἔπειτα [ἀκόμη καὶ] θλίψεις, καὶ ἐξεγέρσεις αὐτῶν τῶν πονηρῶν πνευμάτων, τὰ ὁποῖα μᾶς πολεμοῦν μὲ [πολλὴ] σφοδρότητα, καὶ μᾶς ἀντιστέκονται καὶ ἐμποδίζουν νὰ πλησιάζῃ τὸν Θεὸ [κάθε] ψυχή, ἡ ὁποία ἀληθινὰ καὶ ἀκατάπαυστα ζητεῖ τὸν Θεό.

21. Ἐκεῖνος, ὁ ὁποῖος ἐπιμελεῖται τὴν προσευχή, εἶναι ἀνάγκη νὰ ἔχῃ [μεγάλη] ἀνδρεία, μὲ κάθε ζῆλο καὶ νῆψι, μὲ ὑπομονὴ καὶ ἀγῶνα ψυχῆς καὶ κόπο σώματος, νὰ μὴ πέφτῃ σὲ χαύνωσι [χαλάρωσι καὶ παράλυσι ψυχική], [οὔτε] καὶ νὰ παραδίδῃ [τὸν νοῦ του] στὶς παρεκτρο-

ἐκτροπαῖς, ἢ πολλῷ ὕπνῳ, ἢ ἀκηδίᾳ, ἐκλύσει τε καὶ συγχύσει καὶ ταραχώδεσι καὶ ἀπρεπέσι φωναῖς χρώμενον, ἤ τισι τοιούτοις ἐπιτρέποντα τὴν διάνοιαν, μόνῃ μὲν ἐμπληροφορούμενον τῇ παραμόνῳ στάσει, κλίσει τε τῶν γονάτων· τὸν δὲ νοῦν μακράν που τῶν γινομένων ἀποπλανώμενον ἔχοντα. Οὐδὲν γὰρ τὸ κωλύον, ἢν μὴ ἀκριβῶς νήφειν παρασκευάζηται, ἐναντιούμενος μὲν ἐν τῇ ὕλῃ τῶν περιττῶν λογισμῶν, διαβασανίζων δὲ πάντας αὐτοὺς καὶ φιλοκρινῶν, ἐπιποθῶν τε ἀεὶ τὸν Κύριον, ποικίλως ὑπὸ τῆς κακίας κατὰ τὸ ἀφανὲς δελεάζεσθαι· ἢ καὶ τῶν μήπω τῇ εὐχῇ δυναμένων προσκαρτερεῖν κατεπαίρεσθαι, καὶ διὰ τῶν τοιούτων τῆς κακίας μηχανημάτων τὴν καλὴν διαφθείρειν ἐργασίαν καὶ προπίνειν ταύτην τῷ πονηρῷ δαίμονι.

κβʹ. Εἰ μὴ ἡ ταπεινοφροσύ-

πὲς τῶν λογισμῶν, ἢ στὸν πολὺ ὕπνο, ἢ στὴν ἀκηδία, στὴν ἔκλυσι καὶ στὴν σύγχυσι, [ἢ] καὶ νὰ χρησιμοποιῇ ταραχώδεις καὶ ἀπρεπεῖς φωνές, ἢ νὰ ἐπιτρέπῃ στὴν διάνοιά του διάφορα τέτοια, μένοντας πλήρως ἱκανοποιημένος μόνο μὲ τὴν παρατεταμένη ὀρθοστασία καὶ γονυκλισία [κατὰ τὴν προσευχή]· ἐνῷ ἔχει τὸν νοῦ του περιπλανώμενο μακρυὰ ἀπὸ ὅσα γίνονται [καὶ ἀκούγονται κατὰ τὴν προσευχὴ καὶ ἀκολουθία]. Δὲν ὑπάρχει πράγματι τίποτε, ποὺ νὰ τὸν ἐμποδίζῃ νὰ δελεάζεται κρυφὰ καὶ μὲ ποικίλους τρόπους ἀπὸ τὴν κακία, ἂν δὲν ἀγωνίζεται νὰ νήφῃ μὲ ἀκρίβεια, μὲ τὸ νὰ ἐναντιώνεται μὲν στὸ ὑλικὸ τῶν περιττῶν λογισμῶν, νὰ τοὺς ἐξετάζῃ δὲ ὅλους αὐτοὺς σχολαστικὰ καὶ νὰ τοὺς ἀνακρίνῃ [ἀπὸ ποῦ προέρχονται], καὶ ἐὰν δὲν ἐπιποθῇ συνεχῶς [καὶ μόνον] τὸν Κύριο· ἢ καὶ [ἀκόμη] ἂν ὑπερβολικὰ ὑπερηφανεύεται ἐναντίον ἐκείνων, οἱ ὁποῖοι δὲν μποροῦν νὰ παραμένουν [ἐπὶ πολὺ] στὴν προσευχή, καὶ μὲ [ὅλα] αὐτὰ τὰ τεχνάσματα τοῦ πονηροῦ νὰ καταστρέφῃ τὴν καλὴ ἐργασία, καὶ νὰ τὴν χαρίζῃ στὸν πονηρὸ δαίμονα.

22. Ἐὰν τὴν προσευχή μας δὲν

νη καὶ ἡ ἀγάπη, ἡ ἁπλότης τε καὶ ἀγαθότης κατακοσμοῦσιν ἡμῖν τὴν εὐχήν, ἡ εὐχὴ αὕτη, μᾶλλον δὲ τὸ πρόσχημα τῆς εὐχῆς, ἥκιστά γε ἡμᾶς ὠφελεῖν δύναται. Καὶ οὐκ ἐπὶ τῆς εὐχῆς τοῦτο μόνης φαμέν, ἀλλὰ καὶ ἐπὶ παντὸς καμάτου καὶ πόνου, παρθενίας ἢ νηστείας ἢ ἀγρυπνίας ἢ ψαλμῳδίας ἢ διακονίας ἢ οἱασδηποτοῦν ἐργασίας, ἀρετῆς ἕνεκεν ἐπιμελουμένης. Εἰ μὴ τοὺς καρποὺς τῆς ἀγάπης, εἰρήνης τε καὶ χαρᾶς καὶ ἁπλότητος, ταπεινοφροσύνης τε, φημί, καὶ πρᾳότητος καὶ ἀφελείας καὶ πίστεως ὡς δέον, μακροθυμίας τε καὶ φιλοφροσύνης ἐν ἑαυτοῖς ὁρᾶν ἔχοιμεν, ἐπ᾽ οὐδενὶ χρησίμῳ τὰ τῶν πόνων ὑπέστημεν. Τοὺς γὰρ πόνους διὰ τὴν τῶν καρπῶν ὠφέλειαν ὑπομένειν καταδεχόμεθα· τῶν δὲ καρπῶν τῆς ἀγάπης ἐν ἡμῖν μὴ εὑρισκομένων, περιττὴ πάντως ἡ ἐργασία. Ὥστε οὐδὲν οἱ τοιοῦτοι τῶν πέντε μωρῶν παρθένων διενηνόχασι,

τὴν κατακοσμοῦν ἡ ταπεινοφροσύνη καὶ ἡ ἀγάπη, ἡ ἁπλότης καὶ ἡ ἀγαθωσύνη, ἡ προσευχὴ αὐτή, μᾶλλον δὲ ἡ προσποίησι τῆς προσευχῆς, πάρα πολὺ λίγο μπορεῖ νὰ μᾶς ὠφελῇ. Καὶ ὄχι μόνο γιὰ τὴν προσευχὴ λέμε αὐτό, ἀλλὰ καὶ γιὰ κάθε κόπο καὶ μόχθο, παρθενία ἢ νηστεία, ἢ ἀγρυπνία ἢ ψαλμωδία, ἢ διακονία, ἢ ὁποιαδήποτε ἐργασία, τὴν ὁποία ἐπιμελούμεθα χάριν τῆς ἀρετῆς. Ἐὰν δὲν δοῦμε, ὅτι ἔχομε ἐντός μας τοὺς καρποὺς τῆς ἀγάπης καὶ τῆς εἰρήνης, τῆς χαρᾶς καὶ τῆς ἁπλότητος, τῆς ταπεινοφροσύνης, λέγω, καὶ πραότητος καὶ τῆς εἰλικρινείας [δηλαδὴ τῆς ἀπροσποίητης συμπεριφορᾶς] καὶ τῆς ὀρθῆς πίστεως [κατὰ τὸ δόγμα, χωρὶς στοιχεῖα πλάνης], τῆς μακροθυμίας καὶ τῆς προσηνείας, σὲ τίποτε δὲν μας ὠφέλησαν οἱ κόποι, τοὺς ὁποίους ἔχομε ὑποστῆ. Διότι τοὺς κόπους τοὺς δεχόμεθα [καὶ ὑπομένωμε] διὰ τὴν ὠφέλεια τῶν καρπῶν· ὅταν ὅμως δὲν εὑρίσκωνται μέσα μας οἱ καρποὶ τῆς ἀγάπης, [τότε εἶναι] περιττὴ ἡ κάθε ἐργασία [τῆς ἀρετῆς]. Ὥστε αὐτοί, [ποὺ δὲν ἔχουν μέσα τους αὐτοὺς τοὺς καρπούς], σὲ τίποτε δὲν διαφέρουν ἀπὸ

αἵτινες διὰ τὸ μὴ ἐντεῦθεν ἔχειν ἐν ταῖς καρδίαις τὸ πνευματικὸν ἔλαιον, ὅπερ τῶν εἰρημένων ἐστὶν ἀρετῶν ἡ διὰ τοῦ Πνεύματος ἐνέργεια, μωραί τε ὠνομάσθησαν καὶ τοῦ Βασιλικοῦ νυμφῶνος ἐλεεινῶς ἀπεκλείσθησαν[55], μηδὲν τοῦ τῆς παρθενίας ἀπονάμεναι καμάτου. Ὥσπερ γὰρ ἐν τῇ τῆς ἀμπέλου γεωργίᾳ πᾶσα ἐπιμέλεια καὶ πόνος διὰ τὴν τῶν καρπῶν ἐλπίδα προκαταβάλλεται· καρπῶν δὲ μὴ γεωργηθέντων, εἰκαία πάντων ἡ ἐργασία δείκνυται· οὕτως, εἰ μὴ διὰ τῆς ἐνεργείας τοῦ Πνεύματος καρποὺς ἀγάπης καὶ εἰρήνης καὶ χαρᾶς καὶ τῶν λοιπῶν, ὧν ὁ Ἀπόστολος ἀπηρίθμησεν[56], ἐν ἑαυτοῖς ἴδοιμεν, καὶ τοῦτο κατὰ πληροφορίαν πᾶσαν καὶ πνευματικὴν αἴσθησιν διομολογεῖν ἔχοιμεν, περιττὸς ὁ τῆς παρθενίας, εὐχῆς τε καὶ ψαλμῳδίας, νηστείας καὶ ἀγρυπνίας κάματος ὑποδείκνυται. Οἱ

τὶς πέντε μωρὲς παρθένες [τῆς Εὐαγγελικῆς περικοπῆς], οἱ ὁποῖες, ἐπειδὴ δὲν εἶχαν ἀπὸ αὐτὴ τὴν ζωὴ εἰς τὶς καρδίες τους τὸ πνευματικὸν ἔλαιον, τὸ ὁποῖον εἶναι, ἡ διὰ τοῦ [Ἁγίου] Πνεύματος ἐνέργεια τῶν ἀρετῶν ποὺ ἔχουν ἀναφερθῆ [πιὸ πάνω], ὠνομάσθηκαν «μωραὶ» [ἀπὸ τὸν Κύριο], καὶ ἀπεκλείσθηκαν μὲ ἐλεεινὸ [καὶ ἀξιοθρήνητο τρόπο] ἀπὸ τὸν Βασιλικὸν νυμφῶνα, χωρὶς νὰ τοὺς ὑπολογισθῇ καθόλου ὁ κόπος τῆς παρθενίας. Ὅπως ἀκριβῶς, λοιπόν, κατὰ τὴν καλλιέργεια τῆς ἀμπέλου, κάθε φροντίδα καὶ κόπος γίνεται ἐκ τῶν προτέρων μὲ τὴν ἐλπίδα τῶν καρπῶν· καὶ ἐὰν ἀπὸ τὴν καλλιέργεια [δὲν παραχθοῦν] καρποί, ἀποδεικνύεται μάταιη ὅλη ἡ ἐργασία, ἔτσι, ἐὰν μὲ τὴν ἐνέργεια τοῦ [Ἁγίου] Πνεύματος δὲν μποροῦμε νὰ δοῦμε μέσα μας τοὺς καρποὺς τῆς ἀγάπης καὶ τῆς εἰρήνης καὶ τῆς χαρᾶς, καὶ τῶν λοιπῶν, τὶς ὁποῖες ὁ Ἀπόστολος [Παῦλος] ἀπαρίθμησε, καὶ ἂν αὐτὸ δὲν εἶναι δυνατὸν νὰ τὸ ὁμολογοῦμε πλήρως, μὲ κάθε βεβαιότητα καὶ πνευματικὴ αἴσθησι, [τότε] ὑποδηλοῦται περιττὸς ὁ κόπος τῆς παρθενίας καὶ τῆς εὐχῆς καὶ τῆς ψαλμῳδίας, τῆς νηστείας καὶ τῆς

μὲν γὰρ πόνοι οὗτοι καὶ κάματοι τῆς ψυχῆς καὶ τοῦ σώματος, ἐπ᾽ ἐλπίδι πνευματικῶν καρπῶν, ὥσπερ ἔφημεν, ἐπιτελεῖσθαι ὀφείλουσιν· ἡ δ᾽ ἐν ταῖς ἀρεταῖς καρποφορία, ἀπόλαυσίς ἐστι πνευματικὴ μεθ᾽ ἡδονῆς ἀφθάρτου ἐν καρδίαις πισταῖς τε καὶ ταπειναῖς, ὑπὸ τοῦ Πνεύματος ἀποῤῥήτως ἐνεργουμένη. Ὥστε οἱ πόνοι καὶ οἱ κάματοι, καθὼς εἰσι πόνοι φημί, καὶ κάματοι λογιζέσθωσαν, καὶ οἱ καρποί, καρποί. Εἰδέ τις διὰ γνώσεως ἔνδειαν, τὴν ἐργασίαν αὐτοῦ καὶ τὸν κάματον καρποὺς Πνεύματος εἶναι νομίσειε, μὴ ἀγνοείτω ψυχαγωγῶν ἑαυτὸν καὶ παρακρούμενος καὶ τῶν μεγάλων ὄντως καρπῶν τοῦ Πνεύματος, διὰ τὸ οὕτως ἔχειν, ἀποστερῶν.

κγ΄. Ὥσπερ ὁ τῇ ἁμαρτίᾳ ὅλον ἑαυτὸν ἔκδοτον παρεχόμενος, τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας, τουτέστιν ἀσέλγειαν, πορνείαν, πλεονεξίαν, μῖσος καὶ δόλον καὶ τὰ λοιπὰ τῆς κακίας ἐπιτηδεύματα ἐν ἀπολαύσει καὶ

ἀγρυπνίας. Αὐτοὶ μὲν οἱ κόποι, λοιπόν, καὶ οἱ μόχθοι τῆς ψυχῆς καὶ τοῦ σώματος, ὅπως εἴπαμε, ὀφείλουν νὰ γίνωνται μὲ τὴν ἐλπίδα τῶν πνευματικῶν καρπῶν· ἡ καρποφορία ὅμως τῶν ἀρετῶν εἶναι πνευματικὴ ἀπόλαυσι μὲ ἄφθαρτη ἡδονή, ἡ ὁποία ἐνεργεῖται μὲ ἀπόρρητο [μυστικὸ τρόπο] ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, στὶς πιστὲς καὶ ταπεινὲς καρδιές. Ὥστε οἱ κόποι καὶ οἱ ἀγῶνες ἂς ὑπολογίζωνται, λέγω, [ὡς] κόποι καὶ ἀγῶνες, [δηλαδὴ] ὅπως εἶναι, καὶ οἱ καρποί, καρποί. Ἐὰν δὲ κάποιος ἀπὸ ἔλλειψι γνώσεως θεωρήσῃ τὴν ἐργασία του καὶ τὸν ἀγῶνα του, ὅτι εἶναι καρποὶ [τοῦ Ἁγίου] Πνεύματος, ἂς μὴν ἀγνοῇ, ὅτι μὲ τὸ νὰ νομίζῃ ἔτσι, ἐξαπατᾶ τὸν ἑαυτό του καὶ παραλογίζεται, καὶ τὸν ἀποστερεῖ ἀπὸ τοὺς μεγάλους πράγματι καρποὺς τοῦ Πνεύματος.

23. Ὅπως ἀκριβῶς ἐκεῖνος, ὁ ὁποῖος ἔχει παραδώσει ὅλον τὸν ἑαυτό του στὴν ἁμαρτία, διαπράττει ὡς φυσικὰ τὰ παρὰ φύσιν πάθη τῆς ἀτιμίας, δηλαδὴ τὴν ἀσέλγεια, πορνεία, πλεονεξία, μῖσος καὶ δόλο, καὶ τὶς ὑπόλοιπες ἐκδηλώσεις τῆς κακίας, μέσα σὲ ἀπόλαυσι καὶ

ἡδονῇ, ὡς φυσικά, καταπράττεται, οὕτως ὁ ἐν ἀληθείᾳ καὶ τελειότητι Χριστιανὸς ὤν, τὰς ἀρετὰς πάσας καὶ τοὺς καρποὺς τοῦ Πνεύματος ἅπαντας τοὺς ὑπὲρ τὴν φύσιν, τὴν ἀγάπην, δηλονότι, καὶ τὴν εἰρήνην, τὴν ὑπομονὴν, τὴν πίστιν καὶ τὴν ταπείνωσιν καὶ πᾶν τὸ χρυσοῦν ὄντως γένος τῆς ἀρετῆς, ἐν ἀπολαύσει πολλῇ καὶ ἡδονῇ πνευματικῇ ἀπονητὶ λοιπὸν καὶ ῥᾳδίως ὡς φυσικὰ μέτεισιν· οὐκ ἔτι πρὸς τὰ πάθη τῆς κακίας διαμαχόμενος, ἅτε τελείως ὑπὸ Κυρίου λελυτρωμένος καὶ ἀπὸ τοῦ ἀγαθοῦ Πνεύματος τὴν ἐντελῆ τοῦ Χριστοῦ εἰρήνην καὶ ἀγαλλίασιν ἐν τῇ καρδίᾳ δεξάμενος. Οὗτός ἐστιν ὁ κολληθεὶς τῷ Κυρίῳ καὶ γενόμενος εἰς ἓν πνεῦμα[57].

κδ'. Τοὺς μήπω δυναμένους ἄκρως τῷ τῆς εὐχῆς ἔργῳ διὰ νηπιότητα ἑαυτοὺς ἐπιτρέπειν, τούτους τὴν ὑπηρεσίαν τῶν ἀδελφῶν μετ' εὐλαβείας καὶ πίστεως, φόβου τε θείου, καταδέξασθαι χρή, ὡς τοῦ

ἡδονή, ἔτσι καὶ ὁ ἀληθινὸς καὶ τέλειος Χριστιανός, ὅλες τὶς ἀρετὲς καὶ τοὺς καρποὺς τοῦ [Ἁγίου] Πνεύματος, τοὺς ὑπὲρ τὴν φύσιν, δηλαδὴ τὴν ἀγάπη καὶ τὴν εἰρήνη, τὴν ὑπομονή, τὴν πίστι καὶ τὴν ταπείνωσι, καὶ ὅλο τό πραγματικὰ χρυσὸ γένος τῆς ἀρετῆς, μετέρχεται [πραγματοποιεῖ] ὡς φυσικὰ μὲ ἀπόλαυσι πολλὴ καὶ ἡδονὴ πνευματική, εὔκολα καὶ χωρὶς κόπο. [Καὶ δὲν χρειάζεται] πλέον νὰ μάχεται ἐναντίον τῶν παθῶν τῆς κακίας, ἐπειδὴ ἔχει τελείως λυτρωθῆ ἀπὸ τὸν Κύριο, καὶ δέχθηκε στὴν καρδία του τὴν τελεία τοῦ Χριστοῦ εἰρήνη καὶ ἀγαλλίασι, ἀπὸ τὸ ἀγαθὸ [Ἅγιο] Πνεῦμα. Αὐτὸς εἶναι [ἐκεῖνος], ὁ ὁποῖος προσκολλήθηκε στὸν Κύριο, [ἑνώθηκε μαζί Του] καὶ ἔγινε ἕνα Πνεῦμα μὲ Αὐτόν.

κδ'. Ἐκεῖνοι, οἱ ὁποῖοι δὲν μποροῦν νὰ ἐπιδοθοῦν ἀκόμη πλήρως στὴν ἐργασία τῆς προσευχῆς, λόγῳ ἀνωριμότητος, πρέπει νὰ ἀναλάβουν τὴν ὑπηρεσία τῶν ἀδελφῶν μὲ εὐλάβεια καὶ πίστι καὶ θεῖο φόβο, ἐπειδὴ [ἔτσι] προσφέρουν τὸν ἑαυτό τους στὴν ἐντολὴ τοῦ Θε-

Θεοῦ ἐντολῇ καὶ ὡς πνευματικῷ πράγματι διακονουμένους, ἀλλ᾽ οὐχ ὡς παρ᾽ ἀνθρώπων μισθὸν ἢ τιμὴν καὶ εὐχαριστίαν προσδοκωμένους, μὴ διδόντας χώραν ὅλως γογγυσμῷ ἢ ὑψηλοφροσύνῃ ἢ ἀμελείᾳ καὶ χαυνότητι· ὡς μὴ τὸ ἀγαθὸν τοῦτον ἔργον σπιλοῦσθαι καὶ παραφθείρεσθαι, διὰ δὲ τῆς εὐλαβείας μᾶλλον καὶ τοῦ φόβου καὶ τῆς χαρᾶς, εὐπρόσδεκτον τῷ Θεῷ γίνεσθαι.

κε΄. Τοσαύτῃ φιλανθρωπίᾳ καὶ ἀγαθότητι, ὢ τῶν θείων σπλάγχνων περὶ ἡμᾶς, συγκατέβη τοῖς ἀνθρώποις ὁ Κύριος, τοῦτο πραγματευόμενος, τὸ μηδένα ἔργου ἀγαθοῦ μισθὸν παριδεῖν, ἀλλ᾽ ἀπὸ τῶν μικρῶν ἐπὶ τὰς μείζους τῶν ἀρετῶν πάντας ἀναγαγεῖν, ὡς μηδὲ ποτηρίου ψυχροῦ ὕδατος ἀποστερεῖν τινα ἀντιδόσεως. Εἴρηκε γάρ· ὃς ἂν ποτίσῃ ποτήριον ψυχροῦ μόνον εἰς ὄνομα μαθητοῦ, ἀμὴν λέγω ὑμῖν, οὐ μὴ ἀπολέσῃ τὸν μισθόν[58]*. Καὶ αὖθις· ἐφ᾽ ὅσον ἑνὶ τούτων ἐποιήσατε, ἐμοὶ ἐποιήσατε*[59]*. Μόνον κατὰ*

οῦ καὶ σὲ πνευματικὴ ἐργασία, καὶ ὄχι νὰ περιμένουν ἀπὸ τοὺς ἀνθρώπους μισθό, ἢ τιμὴ καὶ εὐχαριστία, [καὶ] νὰ μὴ δίνουν καθόλου τόπο σὲ γογγυσμὸ ἢ ὑψηλοφροσύνη, ἢ ἀμέλεια καὶ νωθρότητα· ὥστε αὐτὸ τὸ ἀγαθὸ ἔργο νὰ μὴ σπιλώνεται καὶ νὰ διαφθείρεται, ἀλλὰ μᾶλλον μὲ τὴν εὐλάβεια καὶ τὸ φόβο καὶ τὴν χαρὰ νὰ ἀποβαίνῃ εὐπρόσδεκτο στὸν Θεό.

25. Ὢ τῆς θείας γιὰ ἐμᾶς εὐσπλαχνίας, μὲ τόσο μεγάλη φιλανθρωπία καὶ ἀγαθότητα ἔκανε συγκατάβασι στοὺς ἀνθρώπους ὁ Κύριος, αὐτὸ τοῦτο φροντίζοντας, τὸ νὰ μὴ παραβλέψῃ κανενὸς ἔργου καλοῦ τὴν ἀμοιβή, ἀλλὰ νὰ μᾶς ἀνυψώσῃ ἀπὸ τὶς μικρὲς στὶς μεγαλύτερες ἀρετές, χωρὶς νὰ στερήσῃ κανέναν ἀπὸ τὴν ἀνταπόδοσι, [τῆς προσφορᾶς] οὔτε ἑνὸς ποτηρίου κρύου νεροῦ. Διότι ἔχει πεῖ: «ἐκεῖνος ποὺ θὰ δώσῃ σὲ κάποιον νὰ πίῃ [ἕνα] ποτῆρι κρύου [νεροῦ], μόνον [ὅμως] εἰς τὸ ὄνομα μαθητοῦ μου [δηλαδὴ ἐπειδὴ αὐτὸς εἶναι μαθητής μου], ἀλήθεια σᾶς λέγω, δὲν θὰ χάσῃ τὸν μισθὸν [τῆς προσφορᾶς του]». Καὶ πάλιν, «ἐφ᾽ ὅσον τὸ κάνατε σὲ ἕναν ἀπὸ αὐτούς, [τοὺς μαθητές μου], σὲ ἐμένα τὸ κάνατε». Μόνον,

Θεὸν τὸ γινόμενον καὶ μὴ κατὰ δόξαν ἀνθρωπίνην γινέσθω. Προσέθηκε γάρ, μόνον εἰς ὄνομα μαθητοῦ· τουτέστι, φόβῳ καὶ ἀγάπῃ Χριστοῦ. Τοῖς γὰρ ἐπιδεικτικῶς τὸ ἀγαθὸν μετιοῦσι μεμφόμενος ὁ Κύριος καὶ ἀποφάσει βεβαίᾳ τὸν λόγον ἀσφαλιζόμενος, ἐπάγει λέγων· ἀμὴν λέγω ὑμῖν, ἀπέχουσι τὸν μισθὸν αὐτῶν[60].

κς΄. Ἡ ἁπλότης πρὸ τῶν ἄλλων καὶ ἡ ἀφέλεια καὶ ἡ πρὸς ἀλλήλους ἀγάπη καὶ χαρὰ καὶ ταπείνωσις, ἐκ παντὸς τρόπου, ὥσπερ τις θεμέλιος ὑποβεβλήσθωσαν ἐν τῇ ἀδελφότητι, ἵνα μή, ἀλλήλων κατεπαιρόμενοι ἢ καταγογγύζοντες, ἀνόνητον ἡμῶν τὸν κάματον ἀποδείξωμεν. Καὶ μήτε ὁ ἀδιαλείπτως προσκαρτερῶν ταῖς εὐχαῖς τοῦ μή, οὕτω ποιεῖν δυναμένου κατεπαιρέσθω, μήτε ὁ τῇ διακονίᾳ ἑαυτὸν ἐκδιδοὺς τοῦ τῇ προσευχῇ σχολάζοντος καταγογγυζέτω· ὡς εἴγε

αὐτὸ ποὺ γίνεται, [πρέπει] νὰ γίνεται κατὰ Θεόν [πρὸς δόξαν Θεοῦ] καὶ ὄχι γιὰ δόξα ἀνθρώπινη. Διότι προσέθεσε, «μόνον εἰς ὄνομα μαθητοῦ», δηλαδὴ [μόνον] ἀπὸ φόβο καὶ ἀγάπη Χριστοῦ. Διότι, διὰ νὰ ἐπιπλήξῃ ὁ Κύριος αὐτούς, οἱ ὁποῖοι πρὸς ἐπίδειξι κάνουν τὸ καλό, καὶ νὰ ἐπιβεβαιώσῃ τὸν λόγο Του μὲ σταθερὴ [καὶ ἀμετάκλητη] ἀπόφασι προσθέτει λέγοντας: «ἀλήθεια σᾶς λέγω, εὑρίσκονται μακρυὰ ἀπὸ τὴν ἀνταμοιβή τους».

26. Ἡ ἁπλότης πρὶν ἀπὸ ὅλα καὶ ἡ ἀπροσποίητη συμπεριφορὰ καὶ ἡ μεταξὺ τοῦ ἑνὸς πρὸς τὸν ἄλλο ἀγάπη καὶ ἡ χαρὰ καὶ ἡ ταπείνωσι, ἂς καταβληθοῦν μὲ κάθε τρόπο, ὡς θεμέλιος λίθος στὴν ἀδελφότητα, γιὰ νὰ μὴν ἀποδείξωμε ἀνώφελο τὸν κόπο [τοῦ ἀγῶνα] μας, μὲ τὸ νὰ ὑπερηφανευώμεθα ἢ νὰ γογγύζωμε ὁ ἕνας κατὰ τοῦ ἄλλου. Καὶ οὔτε ἐκεῖνος, ὁ ὁποῖος ἀκατάπαυστα παραμένει καρτερικὰ στὶς προσευχές, νὰ ὑπερηφανεύεται [εἰς βάρος] ἐκείνου, ποὺ δὲν ἔχει τὴν δύναμι νὰ τὸ κάνῃ, οὔτε ἐκεῖνος, ὁ ὁποῖος ἔχει δώσει τὸν ἑαυτό του στὴν διακονία, νὰ γογγύζῃ ἐναντίον ἐκείνου, ὁ ὁποῖος σχολάζει στὴν προσευχή. Ὥστε, ἐὰν βεβαίως

μετὰ τοιαύτης ἁπλότητός τε καὶ διαθέσεως ἀλλήλοις προσφέροιντο, γίνεται τὸ περίττευμα τῶν ταῖς εὐχαῖς ἐμπαραμενόντων, ἐπὶ τὸ ὑστέρημα τῶν διακονούντων· κἀκείνων τὸ περίσσευμα ἐπὶ τὸ ὑστέρημα τῶν ταῖς εὐχαῖς σχολαζόντων. Καὶ οὕτω μᾶλλον ἡ ἰσότης, κατὰ τὸ εἰρημένον[61]*, φαίνηται σῳζομένη· ὅς τὸ πολύ, οὐκ ἐπλεόνασε, καὶ ὁ τὸ ὀλίγον, οὐκ ἠλαττόνησεν*[62]*.*

κζʹ. Τότε γίνεται τὸ τοῦ Θεοῦ θέλημα ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς[63]*, ὅταν μὴ ὥς περ εἴρηται, ἀλλήλων κατεπαιρώμεθα· ὅταν μὴ μόνον ζήλου χωρίς, ἀλλὰ καὶ μετὰ ἁπλότητος, ἐν μετοχῇ καὶ ἀγάπης, εἰρήνης τε καὶ χαρᾶς συνημμένοι ὦμεν ἀλλήλοις, τὴν τοῦ πλησίον προκοπὴν ἰδίαν, ὡς δέον, καὶ τὴν ἐκείνου ὑστέρησιν ζημίαν ἑαυτῶν λογιζόμενοι.*

κηʹ. Ὁ δὲ ἐν τῇ εὐχῇ ὀκνηρῶς καὶ τῇ διακονίᾳ τῶν

συμπεριφέρωνται [οἱ ἀδελφοὶ] ὁ ἕνας στὸν ἄλλον μὲ τέτοια ἁπλότητα καὶ [καλὴ] διάθεσι, θὰ προστίθεται τὸ περίσσευμα αὐτῶν, οἱ ὁποῖοι παραμένουν [συνεχῶς] στὶς προσευχές, στὸ ὑστέρημα ἐκείνων, οἱ ὁποῖοι διακονοῦν· καὶ ἐκείνων [τῶν διακονούντων] τὸ περίσσευμα θὰ πηγαίνῃ στὸ ὑστέρημα, [ὅσον ἀφορὰ τὸ θέμα τῆς διακονίας], τῶν προσευχομένων. Καὶ ἔτσι μᾶλλον θὰ διατηρῆται ἡ ἰσότητα, κατὰ τὸ λεχθὲν [εἰς τὴν Π. Διαθήκην]· «ἐκεῖνος ποὺ ἐμάζευσε τὸ πολὺ [μάννα] δὲν τοῦ ἐπερίσσευσε [ὥστε νὰ τὸ κρατήσῃ] καὶ ἐκεῖνος ποὺ ἐμάζευσε τὸ ὀλίγο, δὲν τὸ ἐστερήθη [ὥστε νὰ τοῦ λείψῃ].

27. Τότε γίνεται τὸ θέλημα τοῦ Θεοῦ «ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς», ὄχι, ὅταν ὅπως ἔχει λεχθῆ, ὑπερηφανευώμεθα ὁ ἕνας εἰς βάρος τοῦ ἄλλου· ὅταν ὄχι μόνον χωρὶς ζηλοτυπία, ἀλλὰ καὶ μὲ ἁπλότητα εἴμαστε ἑνωμένοι ὁ ἕνας μὲ τὸν ἄλλον, ἔχοντας καὶ ἀγάπη καὶ εἰρήνη καὶ χαρά, καὶ θεωροῦμε τὴν προκοπὴ τοῦ πλησίον ὡς δική μας, ὅπως [καὶ] πρέπει, καὶ τὴν ἔλλειψί του [σὲ κάτι] ὡς δική μας ζημία.

28. Ἐκεῖνος, ὁ ὁποῖος εὑρίσκεται σὲ τέτοια κατάστασι, ὥστε

ἀδελφῶν καὶ ἐν ἑτέρῳ δή τινι ἔργῳ τῷ κατὰ Θεὸν γινομένῳ χαύνως καὶ ἀμελῶς διακείμενος, οὗτος ὑπὸ τοῦ Ἀποστόλου ἀργὸς διαῤῥήδην καλούμενος, καὶ αὐτοῦ τοῦ ἄρτου ἀνάξιος εἶναι καταψηφίζεται. Εἴρηκε γάρ· ὁ δὲ ἀργὸς μηδὲ ἐσθιέτω[64]. Καὶ ἀλλαχοῦ· τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ· καί, ὁ ἀργὸς οὐδὲ πιστὸς εἶναι δύναται· καὶ ἡ Σοφία, πολλὴν κακίαν, ἔφη, ἐδίδαξεν ἡ ἀργία[65]. Προσήκει τοιγαροῦν ἕκαστον ὁποῖον δήποτε ἔργον κατὰ Θεὸν γινόμενον καρποφορεῖν, καὶ σπουδαίως κἂν ἐφ᾽ ἑνὶ τῶν ἀγαθῶν διατίθεσθαι, ἵνα μὴ τὸ παράπαν ἄκαρπος εὑρισκόμενος, ἀμέτοχος εἰς ἅπαν καὶ τῶν αἰωνίων ἀγαθῶν γένηται.

κθ΄. Πρὸς τοὺς λέγοντας, φησίν, ἀδύνατον εἶναι τῆς τελειότητος ἐφικέσθαι καὶ τῆς εἰσάπαξ ἀπαλλαγῆς τῶν παθῶν ἢ καὶ τῆς μετουσίας καὶ πληρώσεως τοῦ ἀγαθοῦ τυχεῖν

[νὰ εἶναι] στὴν προσευχὴ μὲ ὀκνηρία καὶ στὴν διακονία τῶν ἀδελφῶν καὶ σὲ κάθε ἔργο, ποὺ γίνεται κατὰ Θεόν, μὲ νωθρότητα καὶ ἀμέλεια, αὐτὸς εἶναι ποὺ ἀποκαλεῖται καθαρὰ ἀπὸ τὸν Ἀπόστολο [Παῦλο] «ἀργὸς» καὶ κρίνεται ἀνάξιος καὶ αὐτοῦ ἀκόμη τοῦ ψωμιοῦ [ποὺ τρώγει]. Διότι ἔχει πεῖ· «ὁ ἀργὸς οὔτε νὰ τρώγῃ». Καὶ σὲ ἄλλο μέρος· «τοὺς δὲ ἀργοὺς καὶ ὁ Θεὸς μισεῖ»· καὶ «ὁ ἀργὸς οὔτε πιστὸς μπορεῖ νὰ εἶναι»· καὶ ἐπίσης στὴν Σοφία [Σειράχ, ὁ συγγραφέας] εἶπε: «πολλὴ κακία ἐδίδαξε ἡ ἀργία». Πρέπει λοιπὸν ὁ κάθε ἕνας, σὲ ὁποιοδήποτε ἔργο γίνεται κατὰ Θεόν, νὰ ἀποφέρῃ καρποὺς καὶ νὰ δείχνῃ ζῆλο ἔστω καὶ σὲ ἕνα μόνο ἀπὸ τὰ καλὰ [ἔργα], γιὰ νὰ μὴν εὑρεθῇ τελείως ἄκαρπος καὶ γίνῃ ἐξ ὁλοκλήρου ἀμέτοχος τῶν αἰωνίων ἀγαθῶν.

29. Λέγει [ὁ Ὅσιος] πρὸς ἐκείνους ποὺ λέγουν, ὅτι εἶναι ἀδύνατον νὰ φθάσωμε τὴν τελειότητα, καὶ τὴν ὁλοκληρωτικὴ ἀπαλλαγὴ ἀπὸ τὰ πάθη, ἢ καὶ νὰ ἀξιωθοῦμε τὴν μέθεξι καὶ τὴν πληρότητα τοῦ ἀγαθοῦ [Ἁγί-

πνεύματος, ἀναγκαῖον τὴν ἀπὸ τῶν θείων Γραφῶν μαρτυρίαν ἐπενεγκεῖν καὶ δεῖξαι κακῶς εἰδότας αὐτούς, ψευδῶς τε ἅμα καὶ ἐπισφαλῶς λέγοντας. Γίνεσθε γάρ, φησὶν ὁ Κύριος, ὑμεῖς τέλειοι, ὡς ὁ Πατὴρ ὑμῶν ὁ οὐράνιος τέλειός ἐστι[66]*, τὴν παντελῆ καθαρότητα διὰ τούτων σημαίνων· καί, θέλω, ἵνα ὅπου εἰμὶ ἐγώ, καὶ οὗτοι ὦσι μετ' ἐμοῦ, ἵνα θεωρῶσι τὴν δόξαν τὴν ἐμήν*[67]*. Ταῦτα τοῦ εἰρηκότος ἐκείνου εἰσίν, ὁ οὐρανὸς καὶ ἡ γῆ παρελεύσονται, οἱ δὲ λόγοι μου οὐ μὴ παρέλθωσι*[68]*. Καὶ τὸ τοῦ Ἀποστόλου· ἵνα παραστήσωμεν πάντα ἄνθρωπον τέλειον ἐν Χριστῷ*[69]*· καὶ τό, μέχρι δὲ καταντήσωμεν οἱ πάντες εἰς τὴν ἑνότητα τῆς πίστεως καὶ τῆς ἐπιγνώσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ*[70]*, εἰς ταυτὸν φέρει. Οὕτω δὲ πρὸς τὴν τελειότητα ἀφορῶντας*

ου] Πνεύματος, ὅτι εἶναι ἀνάγκη νὰ φέρωμε μαρτυρία ἀπὸ τὶς θεῖες Γραφές, καὶ νὰ ἀποδείξωμε ὅτι δὲν ξέρουν καλά, καὶ ὅτι αὐτὰ τὰ ὁποῖα λέγουν [εἶναι] ψευδῆ καὶ ἐσφαλμένα. Διότι λέγει ὁ Κύριος: «Νὰ γίνεσθε τέλειοι καὶ ἐσεῖς, ὅπως ὁ οὐράνιος Πατήρ σας εἶναι τέλειος», ἐπισημαίνοντας μὲ αὐτὰ τὰ λόγια τὴν τελεία καθαρότητα· καὶ «θέλω, ὅπου εἶμαι ἐγώ, νὰ εἶναι καὶ αὐτοί, [ἐκεῖνοι τοὺς ὁποίους μοῦ ἔχεις δώσει] μαζί μου, γιὰ νὰ βλέπουν [καὶ ἀπολαμβάνουν] τὴν δόξαν μου». Αὐτὰ εἶναι λόγια Ἐκείνου, ποὺ εἶπε: «ὁ οὐρανὸς καὶ ἡ γῆ θὰ παύσουν νὰ ὑπάρχουν, οἱ δὲ λόγοι μου δὲν θὰ παρέλθουν [ποτέ]. Καὶ τὸ [ρητὸ] τοῦ Ἀποστόλου: «γιὰ νὰ παρουσιάσωμε κάθε ἄνθρωπο τέλειο ἐν Χριστῷ» καὶ τό, «μέχρι νὰ καταλήξωμε ὅλοι εἰς τὴν ἑνότητα [ποὺ δίνει] ἡ πίστι καὶ ἡ βαθεῖα γνῶσι τοῦ Υἱοῦ τοῦ Θεοῦ, [νὰ αὐξηθῶμεν] εἰς τέλειον ἄνδρα [ὥριμον κατὰ τὴν πνευματικὴ σοφία καὶ ἀρετή], εἰς τὸ μέτρον τῆς πνευματικῆς ἡλικίας τῆς πληρότητος τοῦ Χριστοῦ», στὸ ἴδιο [νόημα καταλήγει καὶ] ὁδηγεῖ. Ἔτσι, λοιπόν, ὅταν ἀποβλέπωμε εἰς τὴν τελειότητα, συμβαί-

συμβαίνει δύω τὰ κάλλιστα γίνεσθαι, σύντονόν τε καὶ ἀδιάπαυστον τὸν ἀγῶνα ἔχοντας, εἰς τὸ πέρας διώκειν διὰ τὴν ἐλπίδα τοῦδε τοῦ μέτρου, φημί, καὶ τῆς ἀναβάσεως, τύφῳ τε μὴ ἁλίσκεσθαι, ἀλλὰ μετριοφρονεῖν καὶ μικροὺς ἑαυτοὺς ἡγεῖσθαι διὰ τὴν μήπω τοῦ τελείου κατάληψιν.

λ΄. Οἱ ταῦτα λέγοντες, φησίν, ἐκ τριῶν τρόπων τὴν μεγίστην τῇ ψυχῇ περιάπτουσι βλάβην. Πρῶτον μέν, ὅτι ταῖς θεοπνεύστοις φαίνονται διαπιστοῦντες Γραφαῖς. Εἶθ᾽ ὅτι τὸν μείζονά τε καὶ τέλειον μὴ προσκτησάμενοι τοῦ Χριστιανισμοῦ σκοπόν, μηδὲ πρὸς ἐκεῖνον φθάσαι κατατεινόμενοι, πόνον καὶ σπουδήν, πεῖναν τε καὶ δίψαν τῆς δικαιοσύνης[71] *ἔχειν οὐ δύνανται· ἀλλὰ τοῖς ἐξωτέροις σχήμασί τε καὶ ἤθεσι καὶ ὀλίγοις τισὶ κατορθώμασιν ἐμπληροφορούμενοι, τῆς μακαρίας*

νει νὰ γίνωνται δύο παρὰ πολὺ καλὰ [πράγματα], [πρῶτον ὅτι] ἀναλαμβάνοντας ἐντατικὸ καὶ ἀδιάκοπο ἀγῶνα, τρέχομε πρὸς τὸ τέρμα μὲ τὴν ἐλπίδα αὐτοῦ τοῦ μέτρου, λέγω, καὶ τῆς ἀναβάσεως [δηλαδὴ τῆς κατακτήσεως αὐτῆς τῆς κορυφαίας καταστάσεως] καὶ [δεύτερον] δὲν κατακυριευόμεθα ἀπὸ ἀλαζονεία, ἀλλὰ μετριοφρονοῦμε καὶ θεωροῦμε τοὺς ἑαυτούς μας [πολὺ] μικρούς, διότι δὲν ἐφθάσαμε ἀκόμη εἰς τὴν [κατάστασιν] τοῦ τελείου.

30. Λέγει [ὁ Ὅσιος], ὅτι αὐτοί, ποὺ λέγουν αὐτά, μὲ τρεῖς τρόπους προκαλοῦν στὴν ψυχὴ πάρα πολὺ μεγάλη βλάβη. Πρῶτον μέν, διότι ἀποδεικνύονται νὰ ἀμφισβητοῦν τὶς θεόπνευστες Γραφές. Ἔπειτα [δεύτερον], καθὼς δὲν ἀπέκτησαν τὸν ἀνώτερο καὶ τέλειο σκοπὸ τοῦ Χριστιανισμοῦ, οὔτε ἀγωνίζονται κἂν νὰ τὸν φθάσουν, δὲν μποροῦν νὰ καταβάλουν κόπο καὶ προσπάθεια, «πεῖνα καὶ δίψα γιὰ τὴν δικαιοσύνη» [δηλαδὴ γιὰ τὴν ἀληθινὴ ἀρετή]· ἀλλὰ μένοντας ἱκανοποιημένοι μὲ τὰ ἐξωτερικὰ σχήματα καὶ ἤθη καὶ ἀπὸ κάποια μικρὰ κατορθώματα, ὑστεροῦνται τῆς μακαρίας ἐλπίδος καὶ τῆς

ἐλπίδος καὶ τελειότητος καὶ τῆς παντελοῦς τῶν παθῶν καθάρσεως ἀπολείπονται. Τὸ τρίτον, ὅτι οἰόμενοι τῆς ἀκρότητος ἐφικέσθαι, τῇ κατορθώσει τῶν ὀλίγων, ὡς ἔφημεν, ἀρετῶν, καὶ μὴ πρὸς τὸ τέλειον ἐπειγόμενοι, οὐ μόνον ταπείνωσιν καὶ πτωχείαν καὶ συντριβὴν καρδίας ἥκιστα ἔχειν δύνανται, ἀλλὰ δικαιοῦντες ἑαυτοὺς ὡς ἤδη κατειληφότας, οὐ προκοπήν, οὐκ ἐπίδοσιν ὁσημέραι δέχονται.

λα΄. Τοὺς ἀδύνατον, φησίν, ἡγουμένους τὴν κατόρθωσιν ταύτην, τὴν διὰ τοῦ πνεύματος τοῖς ἀνθρώποις ἐγγιγνομένην, ἥτις ἡ καινὴ κτίσις[72] *ἐστὶ τῆς καθαρᾶς καρδίας, ὁ Ἀπόστολος διαῤῥήδην ἐοικότας αὐτοὺς δείκνυσι τοῖς δι᾽ ἀπιστίαν τὴν γῆν τῆς ἐπαγγελίας εἰσελθεῖν μὴ ἠξιωμένοις, καὶ διὰ τοῦτο πεπτωκότων αὐτοῖς τῶν κώλων ἐν τῇ ἐρήμῳ*[73]*. Ὁ γὰρ ἐκεῖ ἐπαγγελίας γῆ κατὰ τὸ*

τελειότητος καὶ τῆς ὁλοκληρωτικῆς καθάρσεως ἀπὸ τὰ πάθη. [Καὶ] τρίτον, καθὼς νομίζουν, ὅτι ἔχουν [ἤδη] φθάσει στὴν κορυφὴ [τῆς τελειότητος], μὲ τὴν κατόρθωσι τῶν ὀλίγων, ὅπως εἴπαμε, ἀρετῶν, καὶ ἐφόσον δὲν σπεύδουν πρὸς τὸ τέλειο, ὄχι μόνον ἐλάχιστα τὴν ταπείνωσι καὶ τὴν [κατὰ Χριστὸν] πτωχεία καὶ συντριβὴ καρδίας μποροῦν νὰ ἔχουν, ἀλλὰ «ἐπειδὴ δικαιώνουν τοὺς ἑαυτούς τους» [πιστεύοντας], ὅτι ἤδη ἔχουν ἐπιτύχει [τὸν σκοπό τους], δὲν παρουσιάζουν βαθμηδὸν καμμία προκοπὴ καὶ αὔξησι [εἰς τὴν ἀρετήν].

31. Λέγει [ὁ Ἅγιος], ἐκεῖνοι οἱ ὁποῖοι θεωροῦν, ὅτι εἶναι ἀδύνατον νὰ κατορθώσῃ κανεὶς [αὐτὴν τὴν κατάστασι], ποὺ ἐπέρχεται διὰ τοῦ [Ἁγίου] Πνεύματος στοὺς ἀνθρώπους [καὶ] ἡ ὁποία εἶναι «ἡ καινὴ κτίσις» τῆς καθαρᾶς καρδίας, ὁ Ἀπόστολος σαφῶς ἀποδεικνύει, ὅτι ὁμοιάζουν μὲ αὐτοὺς [τοὺς Ἰσραηλῖτες], ποὺ δὲν ἀξιώθηκαν νὰ εἰσέλθουν στὴν γῆ τῆς ἐπαγγελίας, λόγῳ ἀπιστίας, καὶ διὰ τοῦτο τὰ μέλη τους ἔπεσαν [νεκρὰ] στὴν ἔρημο. Διότι, ὅ,τι [ἦταν] ἐκεῖ ἡ γῆ τῆς ἐπαγγελίας, κατὰ τὸ φανερόν, αὐτὸ ἐδῶ [γιὰ

φανερόν, τοῦτο ἐνταῦθα παθῶν ἀπολύτρωσις κατὰ τὸ κρυπτόν· ὅπερ δὴ καὶ ὁ Ἀπόστολος, τέλος πάσης ἐντολῆς εἶναι ἀπέδειξε[74]*· καὶ τοῦτό ἐστιν ἡ ἀληθινὴ τῷ ὄντι τῆς ἐπαγγελίας γῆ, καὶ δι᾽ αὐτὴν πάντα ἐκεῖνα τυπικῶς παραδέδοται. Παρ᾽ ὃ καὶ ὁ θεσπέσιος Παῦλος, δι᾽ ἀσφαλείας τὰ τῶν μαθητῶν ποιούμενος, ὡς μή τινα συμβῆναι ἀπιστίας ἁλῶναι φρονήματι, βλέπετε ἀδελφοί μου, φησί, μήποτε εἴη ἔν τινι ὑμῶν καρδία πονηρὰ ἀπιστίας, ἐν τῷ ἀποστῆναι ἀπὸ Θεοῦ ζῶντος*[75]*· τὸ δὲ ἀποστῆναι, οὐκ ἐπὶ τοῦ ἀρνήσασθαι, ἀλλ᾽ ἐπὶ τοῦ ταῖς ἐπαγγελίαις αὐτοῦ ἀπιστῆσαι τέθηκεν. Ἀμέλει καὶ τὰ τυπικὰ τῶν Ἰουδαίων ἀλληγορῶν καὶ παραβάλλων ταῦτα πρὸς τὴν ἀλήθειαν, ἐπιφέρει λέγων· τινὲς γὰρ παρακούσαντες παρεπίκραναν, ἀλλ᾽ οὐ πάντες οἱ ἐξελθόντες ἐξ Αἰγύπτου*

μᾶς], κατὰ τὸ κρυπτόν, [εἶναι] ἡ ἀπολύτρωσι ἀπὸ τὰ πάθη· τὸ ὁποῖο βεβαίως καὶ ὁ Ἀπόστολος [Παῦλος] ἀπέδειξε, ὅτι εἶναι τὸ τέλος [καὶ ὁ σκοπὸς] τῆς κάθε ἐντολῆς· καὶ αὐτὸ εἶναι πράγματι ἡ ἀληθινὴ «γῆ τῆς ἐπαγγελίας», καὶ γι᾽ αὐτὴ [τὴν κατάστασι τῆς ἀπαθείας μᾶς] ἔχουν παραδοθῆ ὅλα ἐκεῖνα ὡς προτυπώσεις. Γι᾽ αὐτὸ καὶ ὁ θεόπνευστος Παῦλος, ἐπειδὴ θέλει νὰ ἀσφαλίσῃ τοὺς μαθητές, γιὰ νὰ μὴ συμβῇ νὰ καταληφθῇ κανεὶς ἀπὸ τὸ φρόνημα τῆς ἀπιστίας, λέγει: «Βλέπετε ἀδελφοί μου, ποτὲ νὰ μὴν εὑρεθῇ σὲ κανέναν ἀπὸ ἐσᾶς πονηρὴ καρδία μὲ ἀπιστία, ὥστε νὰ ἀποστατήσῃ [ἀπομακρυνθῇ] ἀπὸ τὸν ζῶντα Θεό»· τὸ δὲ «νὰ ἀποστατήσῃ», δὲν [γράφηκε μὲ τὴ σημασία] τῆς ἀρνήσεως [τοῦ Θεοῦ], ἀλλὰ τὸ χρησιμοποίησε [γιὰ νὰ δείξῃ] τὴν ἔλλειψι ἐμπιστοσύνης στὶς ἐπαγγελίες [τοῦ Θεοῦ]. Καὶ βεβαίως, [θέλοντας] νὰ ἑρμηνεύσῃ ἀλληγορικὰ τὶς προτυπώσεις τῶν Ἰουδαίων καὶ νὰ τὶς παραβάλλῃ πρὸς τὴν ἀλήθειαν [αὐτῶν ποὺ θέλουν νὰ δείξουν], προσθέτει λέγοντας· «μερικοί, ἐπειδὴ παρήκουσαν, ἐπίκραναν [τὸν Θεό], ἀλλὰ ὄχι ὅλοι ὅσοι ἐβγῆκαν ἀπὸ τὴν Αἴγυπτο μὲ [ἀρχηγὸ] τὸν Μωϋσῆ. Ἐναντίον ποίων ἀγανάκτη-

διὰ Μωσέως· τίσι δὲ προσώχθισε τεσσαράκοντα ἔτη; Οὐχὶ τοῖς ἁμαρτήσασιν, ὧν τὰ κῶλα ἔπεσον ἐν τῇ ἐρήμῳ; Τίσι δὲ ὤμωσε μὴ εἰσελεύσεσθαι εἰς τὴν κατάπαυσιν αὐτοῦ, εἰμὴ τοῖς ἀπειθήσασι; Καὶ βλέπομεν ὅτι οὐκ ἐδυνήθησαν εἰσελθεῖν δι᾽ ἀπιστίαν[76]. *Καὶ ἐπάγει· φοβηθῶμεν οὖν μήποτε καταλιπομένης ἐπαγγελίας εἰσελθεῖν εἰς τὴν κατάπαυσιν αὐτοῦ δοκεῖ τις ἐξ ὑμῶν ὑστερηκέναι· καὶ γάρ ἐσμεν εὐηγγελισμένοι, καθάπερ κἀκεῖνοι. Ἀλλ᾽ οὐκ ὠφέλησεν ὁ λόγος τῆς ἀκοῆς ἐκείνους μὴ συγκεκραμένους τῇ πίστει τοῖς ἀκούσασιν· εἰσερχόμεθα γὰρ εἰς τὴν κατάπαυσιν οἱ πιστεύσαντες*[77]. *Καὶ μετ᾽ ὀλίγα πάλιν ἐπιφέρει· σπουδάσωμεν οὖν εἰσελθεῖν εἰς ἐκείνην τὴν κατάπαυσιν, ἵνα μὴ ἐν τῷ αὐτῷ τις ὑποδείγματι περιπέσῃ τῆς ἀπειθείας*[78].

σε [ὁ Θεός] ἐπὶ σαράντα χρόνια; Δὲν [ἦταν] ἐναντίον ἐκείνων, ποὺ ἁμάρτησαν [μὲ γογγυσμό καὶ ἀποστασία], τῶν ὁποίων τὰ μέλη ἔπεσαν [νεκρὰ] στὴν ἔρημο; Γιὰ ποιοὺς δὲ ὡρκίσθηκε [ὁ Θεός], ὅτι δὲν θὰ εἰσέλθουν εἰς τὴν κατάπαυσιν Αὐτοῦ, [δηλαδὴ τὴ γῆ τῆς ἐπαγγελίας, ποὺ τοὺς ὑπεσχέθη ὁ Κύριος, ὡς τόπο ἀναπαύσεως], παρὰ γιὰ αὐτοὺς ποὺ [Τὸν] παρήκουσαν; Καὶ βλέπομε, ὅτι δὲν μπόρεσαν νὰ εἰσέλθουν [στὴ γῆ τῆς ἐπαγγελίας] ἐξ αἰτίας τῆς ἀπιστίας τους». Καὶ προσθέτει [ὁ Ἀπόστολος Παῦλος]· «Ἂς φοβηθοῦμε λοιπόν, μήπως, ἐνῶ μᾶς ἔχει ἀφήσει τὴν ὑπόσχεσι τῆς ἐπαγγελίας Του, ὅτι θὰ εἰσέλθωμε εἰς τὴν «κατάπαυσιν Αὐτοῦ» [στὸν τόπον τῆς ἀναπαύσεως], κάποιος ἀπὸ ἐσᾶς θεωρεῖ, ὅτι [τὴν] ἔχει στερηθῇ· διότι καὶ ἐμεῖς ἔχομε δεχθῆ τὴν ἐπαγγελία, ὅπως ἀκριβῶς καὶ ἐκεῖνοι. Ἀλλὰ δὲν ὠφέλησε ἐκείνους ὁ λόγος ποὺ ἄκουσαν, ἐπειδὴ δὲν ἀποδέχτηκαν μὲ πίστι αὐτὰ ποὺ ἄκουσαν· θὰ εἰσέλθωμε λοιπὸν στὸν τόπο τῆς ἀναπαύσεως ὅσοι ἐπιστεύσαμε. Καὶ μετὰ ἀπό λίγο πάλι προσθέτει· «Ἂς φροντίσωμε λοιπὸν μὲ ἐπιμέλεια, νὰ εἰσέλθωμε σὲ ἐκείνη τὴν κατάπαυσι, γιὰ νὰ μὴν πέσῃ κανεὶς στὸ ἴδιο παράπτωμα τῆς παρακοῆς». Ποιὰ ἄλλη λοι-

Τίς δὲ Χριστιανῶν ἀληθινὴ κατάπαυσις ἑτέρα, ἢ τῶν τῆς ἁμαρτίας παθῶν ἡ ἀπολύτρωσις καὶ ἡ πληρεστάτη καὶ ἐνεργὴς τοῦ ἀγαθοῦ πνεύματος ἐν τῇ καθαρᾷ καρδίᾳ ἐνοίκησις; Ταύτῃ τοι καὶ ἐνάγων αὐτοὺς πάλιν πρὸς τὴν πίστιν φησί· προσερχώμεθα οὖν μετ᾽ ἀληθινῆς καρδίας ἐν πληροφορίᾳ πίστεως, ἐρραντισμένοι τὰς καρδίας ἀπὸ συνειδήσεως πονηρᾶς[79]*. Καὶ αὖθις· πόσῳ μᾶλλον τὸ Αἷμα τοῦ Ἰησοῦ καθαριεῖ τὴν συνείδησιν ἡμῶν ἀπὸ νεκρῶν ἔργων, εἰς τὸ λατρεύειν Θεῷ ζῶντι καὶ ἀληθινῷ*[80]*; Προσήκει τοίνυν, διὰ τὴν τῶν ῥημάτων τούτων ἐπηγγελμένην τοῦ Θεοῦ πρὸς ἀνθρώπους ἄμετρον ἀγαθότητα, καθομολογεῖν ἡμᾶς, οἷα δούλους εὐγνώμονας, καὶ ἀληθῆ καὶ βέβαια λογίζεσθαι τὰ ἐπηγγελμένα· ἵνα, κἂν διὰ νωθείαν ἢ ἀσθένειαν προαιρέσεως, μὴ καθά-*

πὸν [μπορεῖ νὰ εἶναι] γιὰ τοὺς Χριστιανοὺς ἀληθινὴ ἀνάπαυσι, παρὰ ἡ ἀπολύτρωσι ἀπὸ τὰ πάθη τῆς ἁμαρτίας καὶ ἡ ὁλοκληρωτικὴ καὶ ἐνεργὴς κατοίκησι τοῦ Ἀγαθοῦ Πνεύματος, στὴν καθαρὴ καρδία; Μὲ αὐτὴ λοιπόν, [τὴν καθαρὴ καρδία], καὶ ὁδηγώντας αὐτοὺς [τοὺς μαθητὲς ὁ Παῦλος] πάλι πρὸς τὴν πίστι, λέγει· «νὰ προσερχώμαστε, λοιπόν, μὲ εἰλικρινῆ καρδία καὶ μὲ πίστι βεβαία καὶ πλήρη, ἔχοντας καθαρίσει τὶς καρδίες μας ἀπὸ τύψεις συνειδήσεως γιὰ πονηρὲς πράξεις». Καὶ πάλι [λέγει]· «Πόσο περισσότερο τὸ Αἷμα τοῦ Ἰησοῦ, θὰ καθαρίσῃ τὴν συνείδησί μας ἀπὸ τὰ νεκρὰ ἔργα, [ποὺ ὁδηγοῦν δηλαδὴ σὲ πνευματικὸ θάνατο], ἔτσι ὥστε νὰ [μποροῦμε] νὰ λατρεύωμε τὸν Ζῶντα καὶ Ἀληθινὸ Θεό;» Ἁρμόζει λοιπόν, διὰ τὴν ὑποσχεθεῖσα μὲ τὰ λόγια αὐτά, ἄμετρη ἀγαθότητα τοῦ Θεοῦ, νὰ ὁμολογοῦμε [τὶς ἐπαγγελίες Του], ὡς εὐγνώμονες δοῦλοι, καὶ νὰ θεωροῦμε ἀληθινὲς τὶς ἀναγγελθεῖσες ὑποσχέσεις Του· ὥστε, καὶ ἂν [ἴσως] ἀπὸ νωθρότητα ἢ ἀπὸ ἀδυναμία προαιρέσεως δὲν προσφέραμε ἐξ ὁλοκλήρου τοὺς

παξ ἑαυτοὺς τῷ πεποιηκότι παρέσχομεν, μηδὲ τῶν μεγάλων καὶ τελείων τῆς ἀρετῆς ἀντεποιησάμεθα μέτρων, ἀλλ᾿ οὖν γέ τινος ἐλέους διὰ τὸ ὀρθὸν καὶ ἀδιάστροφον τοῦ φρονήματος καὶ τὴν ὑγιᾶ πίστιν ἐπιτεύξεσθαι δυνηθῶμεν.

λβ′. Τὸ τῆς εὐχῆς καὶ τοῦ λόγου ἔργον ἁρμοζόντως ἐπιτελούμενον, πάσης ἀρετῆς τε καὶ ἐντολῆς ὑπεράνω τελεῖ· καὶ τούτου μάρτυς αὐτὸς ὁ Κύριος. Ἐπειδὴ γὰρ εἰς τὴν οἰκίαν Μάρθας τε, φημί, καὶ Μαρίας παρέβαλε, τῆς μὲν Μάρθας περὶ τὴν διακονίαν ἀσχολουμένης, Μαρίας δὲ παρὰ τοὺς αὐτοῦ πόδας καθεζομένης, καὶ τῇ ἀμβροσίᾳ τῆς θείας ἐκείνης γλώττης εὐωχουμένης, μεμφομένης αὐτὴν τῆς ἀδελφῆς, ὅτι μὴ συμπράττῃ ταύτῃ, καὶ διὰ τοῦτο τῷ Χριστῷ προσελθούσης, αὐτὸς πρὸς αὐτὴν τὸ κυριώτερον τοῦ δευτέρου προθείς, Μάρθα Μάρθα, ἔφη, μεριμνᾷς καὶ τυρβάζῃ περὶ πολλά, ἑνὸς δέ ἐστι χρεία· Μαρία δὲ τὴν

ἑαυτούς μας στὸν Δημιουργό, οὔτε ἐπιδιώξαμε τὰ μεγάλα καὶ τέλεια τῆς ἀρετῆς μέτρα, ἀλλὰ τουλάχιστον νὰ μπορέσωμε νὰ ἐπιτύχωμε κάποιο ἔλεος [ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ] γιὰ τὸ ὀρθὸ καὶ ἀδιάστροφο, [σταθερὸ καὶ ἀδιάπτωτο] φρόνημά μας καὶ τὴν ὑγιῆ [δογματικῶς] πίστι μας.


32. Τὸ ἔργο τῆς προσευχῆς καὶ τοῦ λόγου, ὅταν γίνεται ὅπως πρέπει, εἶναι ἀνώτερο ἀπὸ κάθε ἀρετὴ καὶ ἐντολή· καὶ μάρτυρας αὐτοῦ εἶναι ὁ ἴδιος ὁ Κύριος. Διότι, ὅταν ἐπῆγε στὴν οἰκία τῆς Μάρθας λέγω, καὶ τῆς Μαρίας, καὶ ἡ μὲν Μάρθα ἦταν ἀπησχολημένη στὴν διακονία [τῆς φιλοξενίας Του], ἐνῶ ἡ Μαρία καθόταν πλησίον στὰ πόδια Του καὶ ἀπελάμβανε τὴν ἀμβροσία ἀπὸ τὴν θεία ἐκείνη γλῶσσα, [καὶ] ἐνῶ τὴν κατηγοροῦσε ἡ ἀδελφή της, ὅτι δὲν τὴν βοηθεῖ καὶ γι᾿ αὐτὸ πῆγε [νὰ τὴν ἀναφέρῃ] στὸν Χριστό, Αὐτὸς προτάσσοντας πρὸς αὐτὴν τὸ κυριώτερο ἀντὶ τοῦ δευτέρου, εἶπε: «Μάρθα, Μάρθα, μεριμνᾶς καὶ κατατρύχεσαι γιὰ πάρα πολλά, ἐνῶ [μόνο] ἕνα χρειάζεται· ἡ Μαρία ὅμως ἔκα-


ἀγαθὴν μερίδα ἐξελέξατο, ἥτις οὐκ ἀφαιρεθήσεται ἀπ᾽ αὐτῆς[81]. Τοῦτο δὲ εἴρηκεν, ὥσπερ ἔφημεν, οὐχ ὡς τὸ τῆς διακονίας ἔργον ἀποποιούμενος, ἀλλ᾽ ὡς τὸ μεῖζον πάντως τοῦ ἐλάττονος προτιθείς. Ἐπεί, πῶς αὐτὸς ἠνείχετο τῆς διακονίας; Πῶς δὲ καὶ αὐτουργὸς φαίνεται τούτου γενόμενος καὶ τοὺς πόδας νίψας τῶν μαθητῶν[82], τοσοῦτόν τε ἀπεχόμενος τοῦ κωλῦσαι, ὅτι καὶ τὸν ἴσον τρόπον πρὸς ἀλλήλους ποιεῖν τοῖς μαθηταῖς ἐγκελεύεται[83]; Οὐ μὴν ἀλλὰ καὶ αὐτοὺς εὑρήσεις τοὺς Ἀποστόλους, ἡνίκα πρότερον περὶ τὴν τῶν τραπεζῶν ἐπονοῦντο διακονίαν, τοῦ μείζονος ἔργου πρόκρισιν θεμένους, τῆς εὐχῆς φημί, καὶ τοῦ λόγου. Οὐ δίκαιον γάρ, φησίν, ἡμᾶς καταλιπόντας τὸν λόγον τοῦ Θεοῦ, διακονεῖν τραπέζαις· ἐκλεξάμενοι ἄνδρας πλήρεις Πνεύματος Ἁγίου, καταστήσωμεν ἐπὶ τῆς διακονίας ταύτης· ἡμεῖς δὲ τῇ διακονίᾳ τοῦ λόγου καὶ τῇ προσευχῇ προσκαρ-

νε τὴν ἐκλογὴ τῆς καλῆς μερίδας, ἡ ὁποία δὲν θὰ τῆς ἀφαιρεθῇ ποτέ». Αὐτὸ δὲ τὸ εἶπε, ὅπως ἀναφέραμε, ὄχι ἐπειδὴ ἀπέρριπτε τὸ ἔργο τῆς διακονίας, ἀλλὰ γιὰ νὰ προτάξῃ τοῦ μικροτέρου τὸ μεγαλύτερο. Ἐπειδὴ [διαφορετικά], πῶς Αὐτὸς ἀποδεχόταν τὴν διακονία [ἀπὸ τοὺς ἄλλους]; [Ἢ πάλι] πῶς ὁ Ἴδιος φαίνεται νὰ ἐνεργῇ τοῦτο [τὸ ἔργο τῆς διακονίας], ὅταν καὶ τοὺς πόδας τῶν μαθητῶν του ἔπλυνε, καὶ τόσο πολὺ ἀπέφυγε νὰ [τοὺς] ἐμποδίσῃ [ἀπὸ τὴν διακονία], ὥστε ἔδωσε ἐντολὴ στοὺς μαθητές Του, νὰ φέρωνται ὁ ἕνας στὸν ἄλλον, σύμφωνα μὲ τὸν δικό Του παράδειγμα. Ὄχι μόνον, ἀλλὰ καὶ αὐτοὺς τοὺς Ἀποστόλους θὰ εὕρῃς νὰ ἔχουν ἐπιλέξει [προτιμώντας] τὸ μεγαλύτερο [καὶ σπουδαιότερο] ἔργο, τὴν προσευχὴ λέγω καὶ τὴν διδασκαλία, ἐνῶ κατ᾽ ἀρχὰς ἐκοπίαζαν νὰ ὑπηρετοῦν τὰ τραπέζια [τῶν πιστῶν]. «Διότι δὲν εἶναι δίκαιο, λέγουν, ἐμεῖς νὰ ἀφήσωμε τὸν λόγον τοῦ Θεοῦ, καὶ νὰ διακονοῦμε στὰ τραπέζια· ἀφοῦ ἐκλέξωμε [λοιπὸν] ἄνδρες πλήρεις Ἁγίου Πνεύματος, ἂς τοὺς τοποθετήσωμε στὴν διακονία αὐτή· ἐμεῖς δὲ νὰ ἀφοσιωθοῦμε στὴν διακονία τοῦ λόγου

τερῶμεν[84]. *Ὁρᾷς, ὅπως τὰ πρῶτα τῶν δευτέρων προέκριναν, καίπερ ἀμφότερα μιᾶς ἀγαθῆς ῥίζης οὐκ ἀγνοοῦντες εἶναι βλαστήματα;*

[στὸ κήρυγμα δηλαδὴ] καὶ στὴν προσευχή. Βλέπεις [λοιπόν], ὅτι προέκριναν τὰ πρῶτα ἀπὸ τὰ δεύτερα, ἂν καὶ δὲν ἀγνοοῦσαν, ὅτι καὶ τὰ δύο εἶναι βλαστοὶ μιᾶς ἀγαθῆς ρίζας;





ΛΟΓΟΣ Γ'

ΠΕΡΙ ΥΠΟΜΟΝΗΣ ΚΑΙ ΔΙΑΚΡΙΣΕΩΣ

λγ'. Τοῖς πειθαρχεῖν τῷ λόγῳ τοῦ Θεοῦ βουλομένοις καὶ ἀγαθὸν καρπὸν ἐργαζομένοις, σημεῖα παρακολουθεῖ ταῦτα· στεναγμός, κλαυθμός, κατήφεια, ἡσυχία, κεφαλῆς κίνησις, προσευχή, σιωπή, ἐπιμονή, ὀδυνηρόν πένθος, πόνος καρδίας ὑπὲρ εὐσεβείας γενόμενος. Τὰ δὲ ἔργα, ἀγρυπνία, νηστεία, ἐγκράτεια, πρᾳότης, μακροθυμία, ἀδιάλειπτος προσευχή, μελέτη τῶν θείων Γραφῶν, πίστις, ταπείνωσις, φιλαδελφία, ὑποταγή, πόνος, κακοπάθεια, ἀγάπη, ἀγαθωσύνη, κοσμιότης, καί, τὸ ὅλον, φῶς, ὅ ἐστιν ὁ Κύριος[85]*. Τῶν δέ γε μὴ ποιούντων καρπὸν ζωῆς, σημεῖά ἐστι ταῦτα· ἀκηδία, μετεωρισμός, περίβλεψις, ἀπροσεξία, γογγυσμός, κέπφωσις. Τὰ δὲ ἔργα, ἀδηφαγία, ὀργή,*

33. Ἐκείνους, οἱ ὁποῖοι θέλουν νὰ πειθαρχοῦν στὸν λόγο τοῦ Θεοῦ καὶ νὰ ἐργάζωνται ἀγαθὸ καρπό, τοὺς συνοδεύουν τὰ [ἑξῆς] γνωρίσματα: στεναγμός, κλαυθμός, συντριβή, ἡσυχία, κίνησι τῆς κεφαλῆς [ποὺ ἐκφράζει κατάνυξι], προσευχή, σιωπή, ἐπιμονὴ [στὸν πνευματικὸ ἀγῶνα], πένθος γεμάτο ὀδύνη, πόνος καρδίας, ὁ ὁποῖος προέρχεται ἀπὸ εὐσεβῆ διάθεσι. Τὰ δὲ ἔργα [εἶναι τὰ ἑξῆς]: ἀγρυπνία, νηστεία, ἐγκράτεια, πραότητα, μακροθυμία, ἀδιάλειπτη προσευχή, μελέτη τῶν θείων Γραφῶν, πίστι, ταπείνωσι, φιλαδελφία, ὑποταγή, κόπος, κακοπάθεια, ἀγάπη, καλωσύνη, σεμνότητα καὶ γενικὰ «τὸ φῶς, τὸ ὁποῖο εἶναι ὁ Κύριος». Αὐτῶν δέ, οἱ ὁποῖοι δὲν ἀποδίδουν καρπὸ ζωῆς, γνωρίσματα εἶναι αὐτά: ἀκηδία, μετεωρισμός, περιέργεια, ἀπροσεξία, γογγυσμός, κουφότητα. Τὰ δὲ ἔργα [εἶναι]: πολυφαγία, ὀργή, θυμός, κακολογία,

θυμός, καταλαλιά, φυσίωσις, ἀκαιρολογία, ἀπιστία, ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζῆλος, ἐρίθεια, ὑπεροψία, φλυαρία, ἄκαιρος γέλως, ἐθελοδοξία, καί, τὸ πᾶν, σκότος, ὅπερ ἐστὶν ὁ σατανᾶς.

λδ'. Κατ' οἰκονομίαν θειοτέραν, φησίν, οὐκ εὐθέως εἰς κληρωθεῖσαν αὐτῷ γέενναν ὁ πονηρὸς παρεπέμφθη, ἀλλὰ βασάνου καὶ δοκιμασίας χάριν, τοῦ τε ἀνθρώπου, φημί, καὶ τοῦ αὐτεξουσίου, παρείθη· ἵνα καὶ ἄκων δοκιμωτέρους καὶ δικαιοτέρους μὲν τοὺς Ἁγίους διὰ τῆς ὑπομονῆς ἀπεργάσηται καὶ μείζονος αὐτοῖς δόξης αἴτιος καταστῇ. Ἑαυτῷ δὲ πάλιν διὰ τῆς ἰδίας ἐθελοκακίας καὶ τῶν κατὰ τῶν Ἁγίων ἐπινοιῶν, δικαιοτέραν κατασκευάσῃ τὴν κόλασιν· καὶ ἵνα, ὥς φησιν ὁ θεῖος Ἀπόστολος, καθ' ὑπερβολὴν γένηται ἁμαρτωλὸς ἡ ἁμαρτία[86].

λε'. Ἀπατήσας τὸν Ἀδὰμ

ἔπαρσι, περιττολογία, ἀπιστία, ἀκαταστασία, λήθη, ταραχή, αἰσχροκέρδεια, φιλαργυρία, ζηλοτυπία, φιλονεικία, ὑπεροψία, φλυαρία, ἀδιάκριτο γέλιο, ἐπιδίωξι δόξας, καὶ γενικὰ σκότος, τὸ ὁποῖο εἶναι ὁ σατανᾶς.

34. Λέγει [ὁ Ἅγιος], ὅτι κατὰ θεία οἰκονομία δὲν παραπέμφθηκε εὐθὺς [ὅταν ἔπεσε] ὁ πονηρὸς στὴν γέεννα, ἡ ὁποία ἑτοιμάσθη δι' αὐτόν, ἀλλὰ ἀφέθηκε [ἐλεύθερος] γιὰ δοκιμασία καὶ ἔλεγχο τοῦ ἀνθρώπου, λέγω, καὶ τοῦ αὐτεξουσίου του· ὥστε καὶ χωρὶς νὰ τό θέλῃ, τοὺς μὲν Ἁγίους νὰ κάνῃ περισσότερο ἀξίους καὶ δικαίους μὲ τὴν ὑπομονή [τους], καὶ νὰ γίνῃ [ἔτσι] αἴτιος μεγαλύτερης δόξας σὲ αὐτούς. Γιὰ τὸν ἑαυτό του δὲ πάλι, μὲ τὴν δική του ἠθελημένη κακία καὶ τὶς πανουργίες [του] κατὰ τῶν Ἁγίων, νὰ κάνῃ ἀκόμη πιὸ δίκαια τὴν κόλασι· καὶ γιὰ νὰ γίνῃ, ὅπως λέγει ὁ Θεῖος Ἀπόστολος, ἡ ἁμαρτία ὑπερβολικὰ ὀλέθρια.

35. Ἀφοῦ ἐξαπάτησε ὁ ἐχθρὸς

ὁ ἐχθρὸς[87] καὶ οὕτως αὐτοῦ κυριεύσας, ἀφεῖλέ τε αὐτὸν τὴν ἐξουσίαν καὶ ἄρχων ἐκεῖνος τοῦ αἰῶνος τοῦδε προσηγορεύθη[88]. Ἄρχων δὲ τοῦ αἰῶνος τούτου καὶ δεσπότης τῶν ὁρωμένων ὁ ἄνθρωπος ἦν ἐξ ἀρχῆς ὑπό τοῦ Κυρίου κατασταθείς[89]. Οὔτε γὰρ πῦρ αὐτοῦ κατίσχυεν, οὐχ ὕδωρ ἐπόντιζεν, οὐ θηρίον ἔβλαπτεν, οὐκ ἰοβόλον ἐπ᾽ αὐτῷ τὸ οἰκεῖον ἐνήργει. Ἀφ᾽ οὗ δὲ τῇ ἀπάτῃ εἶξε, προδέδωκε τῷ ἀπατήσαντι τὴν ἀρχήν· δι᾽ ἣν αἰτίαν φαρμακοί τε καὶ γόητες κατ᾽ ἐναντίαν ἐνέργειαν, Θεοῦ τε συγχώρησιν, παραδοξοποιοὶ δείκνυνται· ἰοβόλων τε γὰρ κυριεύουσι καὶ πυρὸς καὶ ὑδάτων κατατολμῶσιν, ὡς οἱ περὶ Ἰαννῆν, φημί, καὶ Ἰαμβρῆν τῷ Μωϋσῇ ἀντικείμενοι[90], καὶ ὡς Σίμων τῷ Κορυφαίῳ Πέτρῳ ἀντιφερόμενος[91].

λς′. Οἶμαι, φησίν, ὅτι καὶ τὴν προτέραν τοῦ Ἀδὰμ δό-

τὸν Ἀδάμ, καὶ ἔτσι ἐκυριάρχησε ἐπάνω του, ἀφαίρεσε ἀπὸ αὐτὸν τὴν ἐξουσία [του ἐπὶ τῶν κτισμάτων] καὶ ἀναγορεύθηκε ἐκεῖνος [μόνος του] ἄρχοντας τοῦ αἰῶνος [τοῦ κόσμου] τούτου. Ἄρχοντας ὅμως τοῦ κόσμου τούτου καὶ κύριος τῶν ὁρατῶν [κτισμάτων] ἀρχικὰ ἦταν καθωρισμένος ἀπὸ τὸν Κύριο ὁ ἄνθρωπος. Διότι οὔτε [ἡ] φωτιὰ μποροῦσε νὰ ὑπερισχύσῃ αὐτοῦ, οὔτε [τὸ] νερὸ νὰ [τὸν] καταποντίσῃ, οὔτε θηρίο [τὸν] ἔβλαπτε, οὔτε δηλητηριῶδες ζῶο ἐνεργοῦσε ἐπάνω του μὲ τὴν βλαπτική του ἰδιότητα. Ἀφοῦ δὲ ἐξαπατήθηκε, παρέδωσε τὴν ἀρχὴ [καὶ ἐξουσία] σ᾽ αὐτὸν ποὺ τὸν ἀπάτησε· [καὶ] ἐξ αἰτίας αὐτοῦ, καὶ μάγοι καὶ ἀγύρτες, μὲ ἐνάντια [διαβολική] ἐνέργεια καὶ κατὰ παραχώρησι Θεοῦ, ἐμφανίζονται σὰν θαυματοποιοί· Διότι καὶ τὰ φαρμακερὰ ζῶα ἐξουσιάζουν καὶ ἀψηφοῦν τὸ νερὸ καὶ τὴν φωτιά, ὅπως, οἱ περὶ τὸν Ἰαννῆν, λέγω, καὶ Ἰαμβρῆν ποὺ ἀντιστάθηκαν στὸν Μωϋσῆ, καὶ ὅπως ὁ Σίμων ἀντιτάχθηκε στὸν Κορυφαῖο [τῶν Ἀποστόλων] Πέτρο.

36. Νομίζω, λέγει [ὁ Ἅγιος], ὅτι ὅταν εἶδε ὁ ἐχθρὸς καὶ τὴν

ξαν ὁμοίως τῷ προσώπῳ Μωσέως[92] ἐπιλάμπουσαν, τὸν ἐχθρὸν θεασάμενον ἱκανῶς τρωθῆναι· τούτῳ καθαπερεὶ τεκμηράμενον τὴν τῆς ἑαυτοῦ βασιλείας καθαίρεσιν· οὐδὲν δὲ τὸ κωλύον καὶ τὸ τοῦ Ἀποστόλου ῥητὸν πρὸς τοῦτο φέρεσθαι, τό ἐβασίλευσεν ὁ θάνατος ἀπὸ Ἀδὰμ μέχρι Μωσέως καὶ ἐπὶ τοὺς μὴ ἁμαρτήσαντας[93]. Δοκῶ γάρ μοι, τὸ δεδοξασμένον πρόσωπον Μωσέως, τύπον καὶ ὑπόδειγμα σώζειν τοῦ πρώτου διὰ χειρῶν Θεοῦ δημιουργηθέντος ἀνθρώπου· ὅπερ ἰδόντα τὸν θάνατον, τουτέστι τὸν θανάτου αἴτιον διάβολον, ἐκεῖ μὴν ὑποπτεῦσαι τῆς βασιλείας διαπεσεῖν· ἐπὶ δὲ τοῦ Κυρίου, καὶ πρὸς ἀλήθειαν τοῦτο παθεῖν. Ταύτην τοιγαροῦν τὴν δόξαν ἀπόγε τοῦ νῦν οἱ ἀψευδεῖς Χριστιανοὶ περιβάλλονται· καὶ ἔνδοθεν ὑπ᾽ αὐτῶν ὁ θάνατος, εἴτ᾽ οὖν τὰ τῆς ἀτιμίας καταργεῖται πάθη[94], ἐνεργεῖν

πρώτη [προπτωτικὴ] δόξα τοῦ Ἀδὰμ νὰ λάμπῃ παρόμοια στὸ πρόσωπο τοῦ Μωϋσῆ[α'], θὰ πληγώθηκε πάρα πολύ· ἐπειδὴ ἀκριβῶς ἔβλεπε σὲ αὐτή, [τὴ δόξα δηλαδὴ τοῦ Μωϋσέως] τὴν κατάργησι τῆς δικῆς του βασιλείας. Τίποτε δὲ δὲν ἐμποδίζει, νὰ δίνεται αὐτὴ ἡ ἑρμηνεία καὶ στὸν λόγο τοῦ Ἀποστόλου, «ὁ θάνατος ἐβασίλευσε ἀπὸ τὸν Ἀδὰμ μέχρι καὶ τὸν Μωϋσῆ [ἀκόμη] καὶ σὲ αὐτοὺς ποὺ δὲν ἁμάρτησαν». Διότι νομίζω, ὅτι τό λαμπρὸ ἀπὸ τὴν δόξα πρόσωπο τοῦ Μωϋσῆ διασώζει τὸν τύπο καὶ τὸ ὑπόδειγμα τοῦ πρώτου ἀνθρώπου, ποὺ δημιουργήθηκε ἀπὸ τὰ χέρια τοῦ Θεοῦ. Καὶ αὐτὸ [τὸ πρόσωπο], ὅταν [τὸ] εἶδε ὁ θάνατος, δηλαδὴ ὁ αἴτιος τοῦ θανάτου διάβολος, τότε ἀκριβῶς ὑποπτεύθηκε, ὅτι θὰ ἐκπέσῃ ἀπὸ τὴν βασιλεία του· [πρᾶγμα] ποὺ ἀληθινὰ ἔπαθε [ἀργότερα] στοὺς χρόνους τοῦ Κυρίου. Αὐτὴ λοιπὸν τὴν δοξασμένη λάμψι, τὴν ἐνδύονται ἀπὸ τώρα οἱ ἀληθινοὶ Χριστιανοί· καὶ ἐσωτερικὰ καταργεῖται ἀπὸ αὐτοὺς ὁ θάνατος, δηλαδὴ τὰ πάθη τῆς ἀτιμίας, ἐπειδὴ δὲν μποροῦν νὰ εἶναι ἐνερ-

μὴ δυνάμενα· ἅτε δὴ τῆς τοῦ Πνεύματος δόξης ἐν αἰσθήσει καὶ πληροφορίᾳ πάσῃ ταῖς ψυχαῖς αὐτῶν ἐλλαμπούσης· ἐν δέ γε τῇ ἀναστάσει, καταργηθήσεται τελείως ὁ θάνατος[95].

λζ΄. Διὰ τῆς γυναικός, ὡς δι᾽ ὁμοίου τινός, τὸν Ἀδὰμ ὁ ἐχθρὸς ἀπατήσας[96], ἀφαιρεθῆναι τὴν περικειμένην αὐτῷ δόξαν πεποίηκε· καὶ οὕτω γυμνός τε εὑρέθη καὶ τὴν ἀσχημοσύνην οἶδε τὴν ἑαυτοῦ[97], ἥν περ δὴ πρότερον οὐχ ἑώρα, ἅτε τοῦ φρονήματος αὐτοῦ τοῖς οὐρανίοις κάλλεσιν ἐντρυφῶντος. Καὶ γὰρ μετὰ τὴν παράβασιν πρόσγεια γέγονεν αὐτῷ καὶ χαμαιπετῆ τὰ νοήματα· καὶ τὸ ἁπλοῦν αὐτοῦ καὶ ἀγαθὸν φρόνημα φρονήματι κακίας σαρκικῷ συνεπλάκη. Τὸ δὲ κλεισθῆναι τὸν Παράδεισον καὶ τῇ φλογίνῃ ῥομφαίᾳ καὶ τῷ Χερουβεὶμ ἐπιτραπῆναι διακωλύειν αὐτῷ τὴν εἴσοδον[98], τοῦτο κατὰ μὲν τὸ ὁρατὸν καὶ πιστεύεται γεγενῆσθαι, ὡς εἴρηται· εὑρίσκεται δὲ καὶ παρ᾽ ἑκάστῃ ψυχῇ κατὰ τὸ

γά· ἐπειδὴ στὶς ψυχὲς αὐτῶν λάμπει ἡ δόξα τοῦ Πνεύματος αἰσθητὰ καὶ μὲ πληρότητα· «κατὰ δὲ τὴν Ἀνάστασι θὰ καταργηθῇ τελείως ὁ θάνατος».

37. Ἐπειδὴ ὁ ἐχθρὸς ἐξαπάτησε τὸν Ἀδὰμ μέσῳ τῆς γυναίκας, δηλαδὴ μὲ κάτι ὅμοιο μὲ αὐτόν, ἔκανε [ἔτσι ὥστε] νὰ τοῦ ἀφαιρεθῇ ἡ δόξα, ἡ ὁποία τὸν εἶχε περιβάλλει· καὶ ἔτσι καὶ γυμνὸς εὑρέθη, καὶ [εἶδε καὶ] ἐγνώρισε τὴν ἀσχημοσύνη του, τὴν ὁποία προηγουμένως δὲν ἔβλεπε, καθὼς ὁ νοῦς του ἐνετρυφοῦσε στὰ οὐράνια κάλλη. Καὶ βεβαίως, μετὰ τὴν παράβασι, τὰ νοήματά του ἔγιναν γήϊνα καὶ χαμηλά· καὶ τὸ ἁπλὸ καὶ ἀγαθὸ φρόνημά του, ἀναμείχθηκε μὲ τὸ σαρκικὸ φρόνημα τῆς κακίας. Τὸ ὅτι δὲ ἐκλείσθη [γιὰ τὸν Ἀδάμ] ὁ Παράδεισος καὶ ἀνατέθηκε στὸ Χερουβεὶμ νὰ τοῦ ἐμποδίζῃ τὴν εἴσοδο μὲ τὴν φλογίνη ρομφαία, αὐτὸ πιστεύεται ὡς ὁρατὸ μὲν [γεγονός], ὅτι ἔχει γίνει, ὅπως ἔχει λεχθῇ· εὑρίσκεται ὅμως [νὰ συμβαίνῃ] καὶ σὲ κάθε ψυχὴ [ἐσωτερικά], τὸ ὁποῖο δὲν γίνεται ἀντιλη-

λανθάνον· κύκλῳ γὰρ τῆς καρδίας τὸ κάλυμμα τοῦ σκότους περιχωρεῖ, τὸ πῦρ, φημί, τοῦ κοσμικοῦ πνεύματος, ὅπερ οὔτε τὸν νοῦν ἐντυχεῖν τῷ Θεῷ, οὔτε τὴν ψυχὴν ἀφίησι κατὰ τὸ αὐτῆς θέλημα ἢ εὔξασθαι ἢ πιστεῦσαι ἢ ἀγαπῆσαι τὸν Κύριον. Τούτων δὲ πάντων ἡ πεῖρα διδάσκαλος τοῖς γνησίως ἑαυτοὺς τῷ Κυρίῳ πιστεύσασι, τῇ τε ἐπιμονῇ τῆς εὐχῆς καὶ τῇ εὐτόνῳ κατὰ τοῦ πολεμοῦντος ὁρμῇ.

λη΄. Ῥάβδος ἐστὶ παιδείας καὶ λῶρος μαστίγων ὁ τοῦδε τοῦ αἰῶνος ἄρχων τοῖς κατὰ πνεῦμα νηπίοις. Αὐτοῖς μέν, ὥσπερ γοῦν καὶ πρότερον εἴρηται, μεγάλην δόξαν καὶ πλείονα τὴν τιμὴν διὰ τῶν θλίψεών τε καὶ πειρασμῶν προξενῶν· ἐκ τούτων γὰρ καὶ τὸ τελείους αὐτοῖς γίνεσθαι περιγίνεται, ἑαυτῷ δὲ πλείονά τε καὶ βαρυτέραν κατασκευάζων τὴν κόλασιν· ὅλως γὰρ μεγίστη τις δι᾽ αὐτοῦ οἰκονομεῖται οἰ-

πτό. Διότι γύρω ἀπὸ τὴν καρδία ἁπλώνεται τὸ κάλυμμα τοῦ σκότους, ἡ φωτιά, ἐννοῶ, τοῦ κοσμικοῦ πνεύματος, τὸ ὁποῖο οὔτε τὸν νοῦ ἀφήνει νὰ πλησιάσῃ [καὶ συναναστραφῇ] μὲ τὸν Θεό, οὔτε τὴν ψυχὴ νὰ προσευχηθῇ, ἢ νὰ πιστεύσῃ ἢ νὰ ἀγαπήσῃ τὸν Κύριο, ὅπως θέλει. Ὅλων δὲ αὐτῶν, οἱ ὁποῖοι ἐμπιστεύθηκαν ἀληθινὰ τοὺς ἑαυτούς τους στὸν Κύριο, διδάσκαλος [γίνεται] ἡ πεῖρα τόσο μὲ τὴν ἐπιμονὴ στὴν προσευχὴ [ὅσο] καὶ μὲ τὴν ἐπιθετικὴ ὁρμὴ κατὰ τοῦ πολεμοῦντος [διαβόλου].

38. Ράβδος παιδαγωγικὴ καὶ λουρὶ μαστιγώσεως εἶναι ὁ ἄρχοντας τοῦ κόσμου τούτου σὲ ἐκείνους, οἱ ὁποῖοι εἶναι [ἀκόμη] πνευματικὰ νήπιοι. Σ᾽ αὐτοὺς μέν, ὅπως ἀκριβῶς καὶ προηγουμένως ἔχει λεχθῆ, προξενεῖ καὶ μὲ τὶς θλίψεις καὶ τοὺς πειρασμοὺς [ποὺ ἐπιφέρει] μεγάλη δόξα καὶ περισσότερη τιμή. Διότι ἀπὸ αὐτὰ ἔρχεται σ᾽αὐτοὺς ὡς ἀποτέλεσμα τὸ νὰ γίνουν τέλειοι, σ᾽ αὐτὸν δὲ ἑτοιμάζεται καὶ μεγαλύτερη καὶ βαρύτερη ἡ κόλασι. Πραγματικὰ λοιπόν, μέσῳ αὐτοῦ [τοῦ διαβόλου], παραχωρεῖται κάποιο μέγι-

κονομία, καθὼς εἴρηταί που, συνεργεῖ τὸ πονηρὸν τῷ ἀγαθῷ προαιρέσει οὐ καλῇ. Ταῖς γὰρ ἀγαθαῖς καὶ καλὴν τὴν προαίρεσιν ἐχούσαις ψυχαῖς, καὶ τὰ δοκοῦντα λυπηρὰ εἰς ἀγαθὸν τελευτᾷ· καθάπερ καὶ τῷ Ἀποστόλῳ εἰρημένον ἐστίν, ἤγουν τό, τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν[99]*.*

λθ′. Τούτου ἕνεκεν ἡ τῆς παιδείας αὕτη ῥάβδος ἀφείθη, φησίν, ἵνα δι᾽ αὐτῆς ὡς ἐν καμίνῳ πυρὸς τὰ σκεύη πυρούμενα στερεώτερα εὑρεθῇ· τὰ δὲ ἀδόκιμα εὔθραστα ὄντα ἐλεγχθῇ, τοῦ πυρὸς τὴν καῦσιν οὐχ ὑπομείναντα. Δοῦλος δὲ ὢν οὗτος καὶ κτίσμα δεσποτικόν, οὐχ ὅσον αὐτῷ δοκεῖ ἐκπειράζει, οὐδὲ καθόσον βούλεται τὰς θλίψεις ἐπάγει· ἀλλ᾽ ὅσον δὴ τὸ δεσποτικὸν ἐπιτρέψει νεῦμα διὰ τῆς παραχωρήσεως. Αὐτὸς γὰρ σὺν ἀκριβείᾳ τὰ πάντων εἰδώς, ὁπόσον ἐστὶ δύναμις ἑκάστῳ, τοσοῦτον

στο σχέδιο, ὅπως κάπου ἔχει λεχθῇ, δηλαδὴ τὸ κακὸ γίνεται συνεργὸς τοῦ καλοῦ, μὲ μὴ καλὴ προαίρεσι. Διότι στὶς ἀγαθὲς ψυχές, οἱ ὁποῖες ἔχουν καὶ καλὴ τὴν προαίρεσι, καὶ αὐτὰ ποὺ θεωροῦνται λυπηρὰ καταλήγουν σὲ καλό· ὅπως ἀκριβῶς καὶ στὴν [ἐπιστολὴ] τοῦ Ἀποστόλου [Παύλου] ἔχει λεχθῇ, «σ᾽ αὐτοὺς ποὺ ἀγαποῦν τὸν Θεό, ὅλα συνεργοῦν διὰ τὸ καλόν [τους]».

39. Γι᾽ αὐτὸ τὸν λόγο, λέγει [ὁ Ἅγιος], ἀφέθηκε ἐλεύθερη ἡ παιδαγωγικὴ αὐτὴ ράβδος, [δηλαδὴ ὁ διάβολος], ὥστε μέσω αὐτῆς νὰ γίνουν τὰ σκεύη πιὸ στερεά, σὰν νὰ ψήνωνται στὸ καμίνι τῆς φωτιᾶς· τὰ δὲ εὔθραστα νὰ ἀποδειχθοῦν ἀκατάλληλα, ἀφοῦ δὲν ἄντεξαν τὴν πύρωσι τῆς φωτιᾶς. Ἐπειδὴ ὅμως [καὶ] αὐτὸς [ὁ διάβολος], εἶναι δοῦλος καὶ κτίσμα τοῦ Δεσπότου, δὲν τοῦ [ἐπιτρέπεται] νὰ πειράζῃ κατὰ τὴν κρίσι του, οὔτε ἐπιφέρει τὶς θλίψεις ὅσο θέλει· ἀλλὰ τόσο ὅσο κατὰ παραχώρησι τοῦ ἐπιτρέψει τὸ νεῦμα τοῦ Δεσπότου. Διότι Αὐτὸς [ὁ Θεός], ἐπειδὴ γνωρίζει ἀκριβῶς [τὴν κατάστασι] ὅλων, [καὶ] πόση δύναμι εἶναι στὸν

αὐτῷ καὶ δοκίμιον ὑποστῆναι παραχωρεῖ, καθὰ δὴ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· πιστὸς γὰρ ὁ Θεός, φησίν, ὃς οὐκ ἐάσει ὑμᾶς πειρασθῆναι ὑπὲρ ὃ δύνασθε, ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τήν ἔκβασιν, τοῦ δύνασθαι ὑπενεγκεῖν[100].

μʹ. Ὁ ζητῶν καὶ κρούων[101]*, κατὰ τὴν τοῦ Κυρίου φωνήν, καὶ μέχρι τέλους αἰτῶν, τυγχάνει τῶν αἰτημάτων. Μόνον ἐχέτω παῤῥησίαν οὗτος, τοῦ τῷ νῷ καὶ γλώττῃ ἀπαραλείπτως ἐπιζητεῖν, καὶ Θεῷ τῇ σωματικῇ λατρείᾳ ἀνενδότως προσκατερεῖν· μὴ τοῖς κοσμικοῖς πράγμασιν ἐμπλεκόμενος, μηδὲ τοῖς τῆς κακίας πάθεσι συνηδόμενος. Ἀψευδὴς γὰρ ὁ εἰπών, ὅτι, πᾶν ὃ ἐὰν αἰτήσητέ με ἐν προσευχῇ πιστεύοντες λήψεσθε*[102]*. Οἱ δὲ λέγοντες, ὅτι κἂν πάντα ποιήσειέ τις τὰ ἐπιτεταγμένα, παραμείνας δέ, μὴ τύχῃ τῆς χάριτος,*

καθένα, ἀναλόγως σ᾽ αὐτὸν παραχωρεῖ νὰ δοκιμασθῇ, καθὼς βεβαίως φρονεῖ καὶ ὁ Ἀπόστολος [ποὺ λέγει]· «διότι ὁ Θεὸς εἶναι πιστὸς [στὶς ὑποσχέσεις Του], ὁ Ὁποῖος δὲν θὰ σᾶς ἀφήσῃ νὰ πειρασθῆτε πάνω ἀπὸ τὴν δύναμί σας, ἀλλὰ μαζὶ μὲ τὸν πειρασμὸ θὰ δώσῃ καὶ τὴν διέξοδο, ὥστε νὰ μπορέσετε νὰ τὸν ὑπομείνετε».

40. Αὐτὸς ποὺ ζητᾶ καὶ κρούει [τὴν θύρα], σύμφωνα μὲ τὸν λόγο τοῦ Κυρίου, καὶ [ἐπιμένει] νὰ ζητᾷ μέχρι τὸ τέλος, [αὐτὸς καὶ] ἐπιτυγχάνει [τὴν ἐκπλήρωσι] τῶν αἰτημάτων του. Μόνο ἂς ἔχῃ θάρρος αὐτός, νὰ ζητᾷ ἀδιάλειπτα καὶ μὲ τὸν νοῦ καὶ μὲ τὴν γλῶσσα, καὶ νὰ παραμένῃ ἀνένδοτα [χωρὶς καμμία ὑποχώρησι] στὴν σωματικὴ λατρεία τοῦ Θεοῦ, χωρὶς νὰ ἐμπλέκεται στὶς κοσμικὲς ὑποθέσεις, οὔτε νὰ εὐχαριστῆται μὲ τὰ πάθη τῆς κακίας. Διότι εἶναι ἀψευδὴς Ἐκεῖνος, ποὺ εἶπε: «κάθε τι τὸ ὁποῖο θὰ μοῦ ζητήσετε στὴν προσευχὴ μὲ πίστι, θὰ τὸ λάβετε». Ἐκεῖνοι δὲ ποὺ λέγουν, ὅτι κι᾽ ἂν ἀκόμη κάποιος ἤθελε πράξει ὅλα τὰ διατεταγμένα [ἀπὸ τὸ Θεό], καί, ἐνῶ παραμείνῃ πιστὸς [σ᾽ αὐτά], δὲν λάβῃ τὴν Χάρι

κατὰ τὸν αἰῶνα τοῦτον, οὐδὲν ὤνησε· κακῶς οἴδασί τε καὶ λέγουσι, καὶ ταῖς θείαις ἀσυμφώνως Γραφαῖς. Οὐ γάρ ἐστιν ἀδικία παρὰ τῷ Θεῷ, ἵνα τῶν ἡμῖν καθηκόντων κατορθωθέντων, αὐτὸς τῶν παρ᾽ ἑαυτοῦ ἀμελήσειε. Μόνον ἐπιμελὲς ἔστω σοι, εὑρεθῆναι τότε, ὅτε σου ἡ ψυχὴ τοῦ ἀθλίου τοῦδε λύεται σώματος, ἀγωνιζόμενον, σπεύδοντα, προσδεχόμενον τὴν ἐπαγγελίαν, προσκαρτεροῦντα, πιστεύοντα, ἐν διακρίσει ζητοῦντα. Κἀγώ σοι λέγω, καὶ μὴ ἀπίστει, μετὰ χαρᾶς ἀπελεύσῃ καὶ παῤῥησίαν ἕξεις καὶ τῆς βασιλείας ὀφθήσῃ ἄξιος· καὶ γὰρ ὁ τοιοῦτος, ἐν λεπτότητι διὰ τῆς πίστεώς φημι καὶ τῆς προθυμίας, ἤδη κοινωνεῖ τῷ Θεῷ. Ὡς γὰρ ὁ βλέπων γυναῖκα πρὸς τὸ ἐπιθυμῆσαι, ἤδη ταύτην ἐν τῇ καρδίᾳ μεμοίχευκε[103]*, καίτοιγε κατὰ σῶμα μὴ μιανθεὶς οὗτος, ὅμως ὡς μοιχεύσας*

[τοῦ Θεοῦ], σ᾽ αὐτὸν τὸν κόσμο, τίποτε δὲν ὠφελήθηκε, κακῶς [καὶ ἐσφαλμένα] νομίζουν καὶ λέγουν καὶ ἀσύμφωνα πρὸς τὶς θεῖες Γραφές. Διότι δὲν ὑπάρχει ἀδικία στὸν Θεό, ὥστε, ἐνῶ ἐμεῖς θὰ ἔχωμε ἐκτελέσει τὰ καθήκοντά μας, Αὐτὸς νὰ ἀμελήσῃ αὐτὰ [ποὺ ἀφοροῦν] Ἐκεῖνον. Μόνον [αὐτὴ] ἂς εἶναι ἡ φροντίδα σου, ὅταν ἡ ψυχή σου χωρίζεται ἀπὸ τὸ ἄθλιο αὐτὸ σῶμα, νὰ εὑρεθῇς ἀγωνιζόμενος, μὲ σπουδή, ἀποδεχόμενος τὴν ἐπαγγελία [τοῦ Θεοῦ γιὰ τὴ σωτηρία σου], καρτερικός, μὲ πίστι, δεόμενος μὲ ἐπίγνωσι. Καὶ ἐγὼ σοῦ λέγω, καὶ μὴν ἀπιστῇς, ὅτι θὰ φύγῃς [ἀπὸ τὴν ζωὴ αὐτὴ] μὲ χαρά, καὶ θὰ ἔχῃς παρρησία, καὶ θὰ ἀποδειχθῇς ἄξιος τῆς Βασιλείας [τῶν Οὐρανῶν]. Καὶ πράγματι αὐτὸς ὁ ἄνθρωπος, ἤδη [ἀπὸ τώρα] ἔχει κοινωνία μὲ τὸν Θεό, μὲ κάποια λεπτὴ αἴσθησι, μέσῳ τῆς πίστεως καὶ τῆς προθυμίας του. Διότι, ὅπως αὐτὸς ποὺ βλέπει μία γυναῖκα μὲ [πονηρὴ] ἐπιθυμία, ἤδη μέσα στὴν καρδία του ἔχει διαπράξει τὴν μοιχεία μὲ αὐτή, καὶ μολονότι αὐτὸς δὲν μολύνθηκε στὸ σῶμα, ἔχει θε-

ἤδη λελόγισται, οὕτως ὁ τὰ πονηρὰ μὲν ἐκ καρδίας ἀποστραφείς, τῷ δὲ Κυρίῳ κολλώμενος[104] πόθῳ καὶ ἐκζητήσει, προσεδρείᾳ τέ φημι καὶ θεοφιλεῖ διαθέσει, καθάπερ ἤδη κοινωνεῖ τῷ Θεῷ, καὶ μέγα δῶρον αὐτίκα παρὰ Θεοῦ ἔχει αὐτὸ τοῦτο, τὸ τῇ εὐχῇ προσεδρεύειν, τῇ ἀγαθῇ τε σπουδῇ καὶ πολιτείᾳ τῇ φιλαρέτῳ. Εἰ γὰρ καὶ ποτηρίου ψυχροῦ δόσις οὐκ ἄμισθος[105], πόσῳ μᾶλλον τοῖς αὐτῷ προσανέχουσιν ἡμέρας τε καὶ νυκτός, δεομένοις, τὸ ἐπαγγελθὲν ὁ Θεὸς οὐ παρέξει;

μα΄. Πρὸς τοὺς διαποροῦντάς φησι, τί ὅτι μοι γίνεταί τις ἡμέρα, ἐν ᾗ καὶ διὰ μίσους ἔχω τὸν ἀδελφόν, ἢ καὶ ἄλλα τινα συνεπίσταμαι, ἃ καὶ ἄκοντα συμβαίνει μοι πάσχειν, ταῦτα λεκτέον· ὡς ὁ μὲν ἀγὼν ἅπας καὶ ἡ σπουδὴ τῷ ἀνθρώπῳ, ὥστε τῷ πονηρῷ καὶ τοῖς πονηροῖς ἀντιτίθεσθαι λογισμοῖς διὰ παντὸς ἔστω· ἀμήχανον

ωρηθῆ πλέον ὡς μοιχός, ἔτσι [καὶ] αὐτὸς ποὺ ἀποστράφηκε μὲ ὅλη του τὴν καρδιὰ τὰ πονηρά, καὶ προσκολλᾶται στὸν Κύριο μὲ πόθο καὶ ἀναζήτησι, καὶ μὲ ἐπιμονὴ λέγω καὶ θεοφιλῆ διάθεσι, [εἶναι] ὡς νὰ βρίσκεται ἤδη σὲ κοινωνία μὲ τὸν Θεό, καὶ ὡς μέγα δῶρον λαμβάνει ἀμέσως ἀπὸ τὸν Θεὸ αὐτὸ τοῦτο, τὸ νὰ ἐπιμένη στὴν προσευχή, καὶ στὸν καλὸ ζῆλο, καὶ στὸν φιλάρετο βίο. Διότι, κι ἂν ἀκόμη ἡ προσφορὰ ἑνὸς ποτηρίου κρύου [νεροῦ] δὲν παραμένῃ χωρὶς ἀμοιβή, πόσο περισσότερο δὲν θὰ δώσῃ ὁ Θεὸς ὅ,τι ὑποσχέθηκε, σ᾽ αὐτοὺς ποὺ εἶναι προσηλωμένοι σ᾽ Αὐτὸν καὶ Τὸν παρακαλοῦν ἡμέρα καὶ νύκτα;

41. Λέγει [δέ, ὅτι] πρὸς αὐτούς, οἱ ὁποῖοι ἀποροῦν [καὶ ἐρωτοῦν], «τὶ γίνεται σὲ μένα καὶ ἔρχεται κάποια ἡμέρα κατὰ τὴν ὁποία νοιώθω μῖσος γιὰ τὸν ἀδελφό [μου], ἢ καὶ κάποια ἄλλα [κακὰ] μοῦ ἔρχονται στὸν νοῦ, τὰ ὁποῖα μοῦ συμβαίνουν καὶ χωρὶς τὴν θέλησί μου;», αὐτὰ πρέπει νὰ λεχθοῦν· ὅτι ὅλος μὲν ὁ ἀγώνας καὶ ἡ ἐπιμέλεια τοῦ ἀνθρώπου, νὰ εἶναι πάντοτε ἔτσι, ὥστε νὰ ἀντιστέκεται στὸν πονηρὸ καὶ στοὺς πονηροὺς λογισμούς· [εἶναι] ὅμως

δέ, ὅπου τὸ σκότος ἐστὶ τῶν παθῶν καὶ ὁ θάνατος, τοῦ φρονήματος, φημί, τῆς σαρκός, μὴ ἐπιδείκνυσθαί τινα καὶ καρπὸν ἴδιον τὴν κακίαν, ἤτοι κεκρυμμένως ἢ φανερῶς. Ὥσπερ γάρ τι τραῦμα ἐν σώματι ὄν, ἀδύνατον ἕως οὔπω τέλεον ἰαθῇ, μὴ καὶ ὀλίγῳ τινὶ τῷ ἰχῶρι μυδᾷν, διΰγρον εἶναι καὶ σήπεσθαι ἢ φυσᾷν καὶ ὀγκοῦσθαι· καὶ ταῦτα θεραπευόμενόν τε καὶ μηδενὸς τῶν εἰς ἐπιμελείας τούτου λόγον ἡκόντων ἀπαξιούμενον· ἀμεληθὲν δὲ σῆψιν, ἔστι δ' ὅτε καὶ λύμην τῷ ὅλῳ ἐνεργάζεται σώματι. Τὸν αὐτόν οἶου μοι τρόπον καὶ τὰ τῆς ψυχῆς πάθη, καίτοι πολλῆς ἀπολαύοντα τῆς σπουδῆς, ὅμως ἔνδον σμύχοντα ἐπιμένειν· πλὴν ἀλλὰ τῷ παραμόνῳ τῆς ἐπιμελείας διὰ τῆς τοῦ Χριστοῦ χάριτός τε καὶ συνεργείας ἐντελῆ λαμβάνει τὴν ἴασιν. Ἔστι γάρ τις κρυπτὸς ῥύπος καὶ περιττόν τι σκότος

ἀδύνατον, ὅπου ὑπάρχει τὸ σκότος τῶν παθῶν καὶ ὁ θάνατος, ποὺ ἐπέρχεται ἀπὸ τὸ σαρκικό, λέγω, φρόνημα, νὰ μὴν ἐμφανίζεται καὶ κάποιος ἰδιαίτερος καρπὸς τῆς κακίας, εἴτε κρυφὰ εἴτε φανερά. Διότι, ὅπως ἀκριβῶς ὅταν ὑπάρχῃ ἕνα τραῦμα στὸ σῶμα, [εἶναι] ἀδύνατο ἕως ὅτου τελείως ἰατρευθῇ, νὰ μὴν βγάλῃ ἔστω καὶ λίγο πύον, ἢ νὰ μὴν εἶναι ὑγρὸ [νὰ ἔχῃ δηλαδὴ διΐδρωσι] καὶ νὰ μὴν σαπίζῃ [μὲ σημεῖα γάγγραινας] ἢ νὰ μὴν ἔχῃ οἴδημα καὶ νὰ μὴ διογκοῦται. Καὶ αὐτὰ [συμβαίνουν, παρ' ὅλο] ποὺ δὲν παραλείπεται τίποτε ἀπὸ ὅσα συντελοῦν στὴν περιποίησι [καὶ ἰατρικὴ ἀγωγή του]. Ὅταν ὅμως παραμεληθῇ, τότε ἐπέρχεται σῆψι καὶ μερικὲς φορὲς καὶ τέλεια καταστροφὴ σὲ ὅλο τὸ σῶμα. Κατὰ τὸν ἴδιο τρόπο μοῦ φαίνεται, ὅτι καὶ τὰ πάθη τῆς ψυχῆς, ἂν καὶ δέχωνται μεγάλη προσπάθεια [ἀπὸ ἐμᾶς γιὰ τὴν ἐξαφάνισί τους], ὅμως ἐσωτερικὰ ἐπιμένουν νὰ σιγοκαῖνε· ἀλλὰ ὅμως μὲ τὴν συνεχῆ καὶ ἐπιμελημένη φροντίδα καὶ μὲ τὴν συνέργεια τῆς Χάριτος τοῦ Χριστοῦ, θεραπεύονται ἐντελῶς. Διότι ὑπάρχει ἕνας κρυμμένος ρύπος καὶ ἕνα μεγάλο [καὶ πυκνὸ] σκοτάδι τῶν

παθῶν, ὃ παρὰ τὴν καθαρὰν τοῦ ἀνθρώπου φύσιν, διὰ τῆς τοῦ Ἀδὰμ παραβάσεως, παρεισέδυ πάσῃ τῇ ἀνθρωπότητι. Καὶ τοῦτο θολοῖ καὶ καταμιαίνει καὶ τὸ σῶμα δήπου καὶ τὴν ψυχήν. Ἀλλ᾽ ὥσπερ σίδηρος πυρούμενός τε καὶ τυπτόμενος ἐκκαθαίρεται, ἢ χρυσός, χαλκῷ ἢ καὶ σιδήρῳ συγκραθείς, πυρὶ διαιρεῖται μόνῳ, οὕτω καὶ ἡ ψυχὴ διά τῶν ἀχράντων τοῦ Σωτῆρος παθῶν, τῷ ἀγαθῷ Πνεύματι πυρουμένη καὶ τυπτομένη, παντὸς πάθους καὶ πάσης ἐκκαθαίρεται ἁμαρτίας.

μβʹ. Ὥσπερ τινὲς λαμπάδες πολλαί, ἑνὶ ἐλαίῳ καὶ ἑνὶ ἀναφθεῖσαι πυρί, οὐκ ἴσῳ τῷ μέτρῳ πολλάκις τὴν τοῦ πυρὸς αὐγὴν ἀφιᾶσιν, οὕτω καὶ τὰ χαρίσματα, τὰ ἐκ διαφόρων κατορθωμάτων, διάφορον ἔχει καὶ τὴν αὐγὴν τοῦ ἀγαθοῦ Πνεύματος· ἢ ὥσπερ ἐν πόλει πολλῶν ὄντων καὶ τὴν αὐτὴν οἰκούντων, ἑνί τε ἄρτῳ καὶ ἑνὶ χρωμένων

παθῶν, τὸ ὁποῖο, παρὰ τὴν καθαρὴ φύσι τοῦ ἀνθρώπου, διείσδυσε κρυφὰ σ᾽ ὅλη τὴν ἀνθρωπότητα μὲ τὴν παράβασι τοῦ Ἀδάμ[1]. Καὶ αὐτὸ θολώνει καὶ ἐπιμολύνει καὶ τὸ σῶμα βεβαίως καὶ τὴν ψυχή. Ἀλλὰ ὅπως ὁ σίδηρος, ὅταν πυρώνεται καὶ σφυρηλατῆται, καθαρίζεται ἢ ὁ χρυσός, ὅταν ἀναμειχθῇ μὲ τὸν χαλκὸ ἢ τὸν σίδηρο, μόνο μὲ τὴν φωτιὰ ξεχωρίζεται, ἔτσι καὶ ἡ ψυχὴ καθαρίζεται ἀπὸ κάθε πάθος καὶ κάθε ἁμαρτία, ὅταν πυρώνεται καὶ σφυρηλατῆται [μὲ τὸ πῦρ] τοῦ Ἀγαθοῦ Πνεύματος [καὶ τὴν συμμετοχή της] στὰ Ἄχραντα Πάθη τοῦ Σωτῆρος.

42. Ὅπως πολλὲς λυχνίες, ἐνῶ ἀνάφθηκαν μὲ τὸ ἴδιο λάδι καὶ τὴν ἴδια φωτιά, πολλὲς φορὲς δὲν ἀποδίδουν μὲ τὸ ἴδιο μέτρο τὴν λάμψι ἀπὸ τὸ φῶς [τους], ἔτσι καὶ τὰ χαρίσματα, [τὰ ὁποῖα προέρχονται] ἀπὸ διάφορα [ἀσκητικὰ] κατορθώματα, διαφορετικὴ ἔχουν καὶ τὴν λάμψι τοῦ Ἀγαθοῦ Πνεύματος. Ἢ ὅπως σὲ μία πόλι ἂν καὶ εἶναι πολλοὶ [ἄνθρωποι] καὶ κατοικοῦν [ὅλοι μαζὶ] σὲ αὐτὴ καὶ τρώγουν τὸ ἴδιο ψωμὶ

ὕδατι, οἱ μὲν αὐτῶν ἄνδρες, οἱ δὲ νήπιοι, οἱ δὲ παῖδές εἰσιν, οἱ δὲ γέροντες, καὶ πολὺ τὸ παραλλάττον ἐν αὐτοῖς καὶ διάφορον· ἢ ὥς περ σῖτος ἐν μιᾷ καὶ τῇ αὐτῇ χώρᾳ κατεσπαρμένος, διαφόρους δήπου καὶ τοὺς στάχυας ἀναδίδωσιν· ἐν μέντοι τῇ αὐτῇ ἅλῳ συνάγεται καὶ τῇ αὐτῇ ἀποθήκῃ ἐναποτίθεται· οὕτως οἴου μοι κἂν τῇ τῶν νεκρῶν ἀναστάσει διαφορὰν δόξης τῶν ἀνισταμένων δοξάζεσθαι καὶ γνωρίζεσθαι κατὰ τὴν ἀξίαν τῶν κατορθωμάτων· κατὰ τὴν μετουσίαν τοῦ ἐντεῦθεν ἤδη ἐνῳκηκότος αὐτοῖς θείου Πνεύματος. Καὶ τοῦτο εἶναι τό, ἀστὴρ ἀστέρος διαφέρει ἐν δόξῃ[106].

μγ΄. Εἰ καὶ σμικρότεροί τινες ἀστέρες ἀστέρων εἰσίν, ἀλλὰ τῷ ἑνὶ πάντως φωτὶ διαλάμπουσιν. Ἡ μὲν οὖν εἰκών, δήλη, τοῦτο δὲ μόνον κατά σπουδὴν ἔστω, ἵνα τις γεννηθεὶς τῷ Πνεύματι τῷ Ἁγίῳ, τὴν ἔνοικον

καὶ πίνουν τὸ ἴδιο νερό, [ἄλλοι] μὲν ἀπὸ αὐτοὺς εἶναι ἄνδρες, [ἄλλοι] δὲ νήπια, ἄλλοι δὲ παιδιά, ἄλλοι δὲ γέροντες, καὶ ἔχουν μεταξύ τους μεγάλες διαφορές. Ἢ ὅπως τὸ σιτάρι, ἐνῶ εἶναι σπαρμένο στὸ ἴδιο χωράφι, διαφορετικὰ ὅμως [ὡς πρὸς τὴν ἀπόδοσι] εἶναι καὶ τὰ στάχυα ποὺ ἐκφύει· ὡστόσο μαζεύεται στὸ ἴδιο ἁλώνι καὶ στὴν ἴδια ἀποθήκη ἀποθηκεύεται. Ἔτσι [λοιπόν], νομίζω, ἀκόμα καὶ στὴν ἀνάστασι τῶν νεκρῶν, θὰ εἶναι διαφορετικὴ ἡ δόξα ἐκείνων ποὺ θὰ ἀναστηθοῦν, [ὥστε] νὰ δοξάζωνται καὶ νὰ γνωρίζωνται, ἀνάλογα μὲ τὴν ἀξία τῶν κατορθωμάτων [τους]· [καὶ]ἀνάλογα μὲ τὴν μέθεξί τους μὲ τὸ Θεῖον Πνεῦμα, τὸ ὁποῖο ἤδη [ἀπὸ αὐτὴ τὴ ζωὴ] θὰ ἔχῃ κατοικήσει μέσα τους. Καὶ αὐτὴ εἶναι [ἡ σημασία τοῦ λόγου τοῦ Ἀπ. Παύλου]: «[ἕνα] ἀστέρι ἀπὸ [ἕνα ἄλλο] ἀστέρι διαφέρει στὴν λάμψι.

43. Ἂν καὶ μερικὰ ἀστέρια εἶναι μικρότερα ἀπὸ τὰ ἄλλα, ὡστόσο λάμπουν μὲ τὸ ἕνα [καὶ ἴδιο] φῶς. Ἡ μὲν λοιπὸν εἰκόνα [εἶναι] φανερή, τοῦτο δὲ μόνο ἂς φροντίζῃ κανεὶς μὲ ἐπιμέλεια, ἀφοῦ γεννήθηκε ἀπὸ τὸ Πνεῦμα τὸ Ἅγιον, νὰ ξεπλυθῇ ἀπὸ τὴν ἁμαρτία, ἡ

ἀπονίψηται ἁμαρτίαν. Καὶ γὰρ ἔν τινι μέρει καὶ αὐτὴ ἐκείνη ἡ διὰ τοῦ Πνεύματος τοῦ Ἁγίου γέννησις, εἰκόνα τελειότητος ἔχει, ἔν τε τῇ μορφῇ καὶ τοῖς μέλεσιν· οὐ μέντοι δυνάμει ἢ νῷ ἢ ἀνδρείᾳ. Ὁ γὰρ πρὸς ἄνδρα τέλειον καὶ μέτρον ἀφικόμενος ἡλικίας[107]*, τὰ τοῦ νηπίου πέφυκε καταργεῖν*[108]*. Καὶ τοῦτο ἐστιν, ὅπερ ὁ Ἀπόστολος λέγει· εἴτε γλῶσσαι καταργηθήσονται εἴτε προφητεῖαι*[109]*. Ὥσπερ γὰρ ὁ ἀνὴρ ἤδη γενόμενος, οὔτε τροφὰς οὔτε λόγους τοὺς παιδὶ προσήκοντας καταδέχεται, ἀλλ᾽ ἀναξιοπαθεῖ πρὸς αὐτά, ὡς ἑτέρας ἤδη διαγωγῆς ἐπιβάς, οὕτως ὁ πρὸς τελείωσιν τῶν Εὐαγγελικῶν αὐξάνων κατορθωμάτων, τὴν νηπιότητα τὴν ἑαυτοῦ πρὸς τὴν τελειότητα καταπαύει· ὅτε γάρ, φησὶ πάλιν ὁ θεῖος Ἀπόστολος, γέγονα ἀνήρ, κατήργηκα τὰ τοῦ νηπίου*[110]*.*

ὁποία κατοικεῖ μέσα του. Καὶ πράγματι καὶ αὐτή, ἡ διὰ τοῦ Ἁγίου Πνεύματος γέννησι, ἔχει μερικῶς μία εἰκόνα τελειότητος, [ἡ ὁποία διαφαίνεται] καὶ στὸ πρόσωπο καὶ στὰ μέλη [τοῦ σώματός του]· ὄχι ὅμως ἀκόμη στὴν δύναμι ἢ στὸν νοῦ ἢ στὴν ἀνδρεία [ποὺ ἔχει ὁ τελειωθεὶς πνευματικὰ ἄνθρωπος]. Διότι ἐκεῖνος, ὁ ὁποῖος φθάνει [στὴν ἀνάπτυξι] τοῦ τελείου ἀνδρὸς καὶ στὸ μέτρο τῆς [πνευματικῆς] ὡριμότητας, εἶναι φυσικὸ νὰ καταργῇ τὰ [χαρακτηριστικὰ] τοῦ νηπίου. Καὶ αὐτὸ εἶναι ποὺ λέγει ὁ Ἀπόστολος: «εἴτε [χαρίσματα] γλωσσῶν [ὑπάρχουν], θὰ καταργηθοῦν, εἴτε προφητεῖες [ὁμοίως]. Διότι, ὅπως ἀκριβῶς ἐκεῖνος, ποὺ ἔγινε ἄνδρας, δὲν καταδέχεται οὔτε τὶς τροφές, οὔτε τὶς ὁμιλίες, ποὺ ἁρμόζουν στὸ παιδί, ἀλλὰ τὰ θεωρεῖ ἀνάξιά του, διότι ἤδη προχώρησε σὲ ἄλλου εἴδους συμπεριφορά, ἔτσι καὶ ἐκεῖνος, ποὺ αὐξάνει πρὸς τὴν τελείωσι τῶν εὐαγγελικῶν κατορθωμάτων, [ἀφήνοντας] τὴν νηπιώδη συμπεριφορά, καταλήγει στὴν τελειότητα· «ὅταν βέβαια, λέγει πάλι ὁ θεῖος Ἀπόστολος, ἔγινα ἄνδρας, κατήργησα τοὺς τρόπους τοῦ νηπίου».

μδ΄. Τὸ μὲν κατὰ πνεῦμα γεννώμενον, τρόπῳ τινί, καθὼς ἐδείκνυμεν, τέλειόν ἐστιν· ὥσπερ καὶ τουτὶ τὸ νήπιον εἶναι λέγομεν, ἐν τῷ τὰ μέρη πάντα τῆς ὁλότητος ἀποσώζειν. Πλὴν ὁ μὲν Κύριος οὐ Πνεῦμα καὶ χάριν δίδωσιν, ἵνα τις περιπέσῃ ταῖς ἁμαρτίαις· αὐτοὶ δὲ ἑαυτοῖς αἴτιοι τῶν κακῶν οἱ ἄνθρωποι, τῇ χάριτι μὴ στοιχοῦντες, καὶ διὰ τοῦτο τοῖς κακοῖς ἁλισκόμενοι· δύναται δὲ καὶ ἐξ ἰδίων ὀλισθαίνειν καὶ φυσικῶν ὁ ἄνθρωπος λογισμῶν, ἀμελῶν ἢ καταφρονῶν ἢ καὶ οἰήσει χρώμενος. Ἄκουε γὰρ τί φησὶν ὁ Παῦλος· ἵνα δὲ μὴ ὑπεραίρωμαι, ἐδόθη μοι σκόλη [recte: σκόλοψ] τῇ σαρκί, ἄγγελος σατᾶν[111]. *Ὁρᾷς, ὅτι καὶ οἱ τηλικούτων ἁψάμενοι μέτρων, ἐπιδεεῖς εἰσὶν ἀσφαλείας; Ἄλλως τε καὶ εἰ μὴ δῷ πρόφασιν τῷ σατανᾷ ὁ ἄνθρωπος, οὐ κυριεύσειεν ἂν αὐτοῦ βίᾳ. Παρὰ τοῦτο, οὔτε τῷ μέρει τοῦ Χριστοῦ,*

44. Ἐκεῖνο μέν, τὸ ὁποῖο μὲ κάποιον τρόπο λαμβάνει ὕπαρξι ἀπὸ τὸ Πνεῦμα, εἶναι τέλειο, καθὼς ἐδείξαμε· ὅπως καὶ αὐτὸ τὸ νήπιο λέμε [πὼς] εἶναι [τέλειο], ἀφοῦ διαθέτει ὅλα τὰ μέρη τοῦ συνόλου [τῶν μελῶν του]. Πλὴν ὁ μὲν Κύριος δὲν δίνει [στὸν ἄνθρωπο] τὸ [Ἅγιο] Πνεῦμα καὶ τὴν Χάρι γιὰ νὰ περιπέσῃ σὲ ἁμαρτίες· αὐτοὶ δὲ οἱ ἄνθρωποι γίνονται [μόνοι τους] αἴτιοι τῶν κακῶν στοὺς ἑαυτούς τους, ἐπειδὴ δὲν βαδίζουν σύμφωνα μὲ τὴν Χάρι, καὶ γι᾽ αὐτὸ κυριεύονται ἀπὸ τὰ κακά. Εἶναι ὅμως δυνατὸν ὁ ἄνθρωπος νὰ ὀλισθαίνῃ καὶ ἀπὸ δικούς του καὶ φυσικοὺς λογισμούς, ἐπειδὴ ἀμελεῖ ἢ καταφρονεῖ ἢ ὑπερηφανεύεται. Διότι ἄκουε τί λέγει ὁ [Ἀπόστολος] Παῦλος: «γιὰ νὰ μὴν ὑπερηφανεύωμαι μοῦ δόθηκε ἕνα ἀγκάθι στὴ σάρκα, ἕνας ἄγγελος τοῦ σατανᾶ». Βλέπεις, ὅτι καὶ ἐκεῖνοι ποὺ ἔφθασαν σὲ τόσο ὑψηλὰ μέτρα, ἔχουν ἀνάγκη προφυλάξεως; Ἐξάλλου κι ἂν δὲν δώσῃ ἀφορμὴ στὸν σατανᾶ ὁ ἄνθρωπος, δὲν μπορεῖ [αὐτὸς] νὰ κυριαρχήσῃ ἐπάνω του διὰ τῆς βίας. Γιὰ [τὸν λόγο] αὐτό, οὔτε μὲ τὸ μέρος τοῦ Χριστοῦ, οὔτε

οὔτε τοῦ ἀντικειμένου, τὸ πρᾶγμα λογίζεται· ἀλλὰ τῇ μὲν χάριτι τοῦ Πνεύματος προστεθεὶς εἰς τέλος, τῆς μερίδος γίνεται τοῦ Χριστοῦ· μὴ οὕτω δὲ σχών, κἂν Πνεύματι γεννηθῇ, τὸ δὲ ἐστί, κἂν μέτοχος καὶ τοῦ Ἁγίου Πνεύματος γένηται, παρ' ἑαυτοῦ ἕξει τὸ ὀπίσω τοῦ θελήματος πορευθῆναι τοῦ σατανᾶ[112]*. Εἴτε γὰρ αὐτὸς ὁ Κύριος, εἴτε καὶ ὁ σατανᾶς πρὸς βίαν ἐλάμβανον, οὐκ ἦν ὁ ἄνθρωπος ἑαυτοῦ αἴτιος, οὔτε εἰς γέενναν ἐμπεσεῖν, οὔτε βασιλείας ἐπιτυχεῖν.*

με'. Πολλῆς τῷ φιλαρέτῳ φροντιστέον τῆς διακρίσεως, ὥστε τῆς τοῦ καλοῦ τε καὶ κακοῦ διαφορᾶς ἐπιγνώμονα εἶναι καὶ τὰς ποικίλας τοῦ πονηροῦ τέχνας δι' εὐλόγων φαντασιῶν εἰωθότος τοὺς πολλοὺς παρακρούεσθαι, βασανίζειν καὶ συνιέναι, πλὴν τὸ ἀσφαλές, πρὸς πάντα λυσιτελές. Ὡς γὰρ εἴ τις βουλόμενος διάπειραν εἰς

μὲ τὸ μέρος τοῦ ἀντικειμένου, [δηλαδὴ τοῦ σατανᾶ], μπορεῖ νὰ θεωρηθῇ [μὲ βεβαιότητα, ὅτι βρίσκεται ὁ ἄνθρωπος]· ἀλλά, ἂν μὲν παραμείνῃ μὲ τὴν Χάρι τοῦ Πνεύματος ὣς τὸ τέλος, ἔρχεται μὲ τὸ μέρος τοῦ Χριστοῦ· ἐὰν ὅμως δὲν κάνῃ ἔτσι, καὶ ἂν ἀκόμη γεννηθῇ ἀπὸ τὸ Πνεῦμα, κι ἂν γίνῃ μέτοχος καὶ τοῦ Ἁγίου Πνεύματος, θὰ ἔχῃ [ὡς ἀποτέλεσμα] μὲ δική του εὐθύνη, τὸ νὰ ἀκολουθήσῃ τὸ θέλημα τοῦ σατανᾶ. Διότι, εἴτε Αὐτὸς ὁ Κύριος, εἴτε καὶ ὁ σατανᾶς ἔπαιρναν [μαζί τους] τὸν ἄνθρωπο διὰ τῆς βίας, δὲν θὰ ἦταν [τότε] αὐτὸς ὑπεύθυνος, οὔτε στὴν κόλασι νὰ πέσῃ, οὔτε τὴν Βασιλεία νὰ κερδίσῃ.

45. Πρέπει πολὺ νὰ φροντίσῃ ὁ φιλάρετος [νὰ ἔχῃ] τὴν διάκρισι, ὥστε νὰ εἶναι ἀκριβὴς γνώστης τῆς διαφορᾶς τοῦ καλοῦ καὶ τοῦ κακοῦ, καὶ νὰ ἐξετάζῃ καὶ νὰ κατανοῇ τὰ ποικίλα τεχνάσματα τοῦ πονηροῦ, ὁ ὁποῖος συνηθίζει νὰ ἐξαπατᾷ τοὺς πολλοὺς μὲ ἀληθοφανεῖς φαντασίες, πλὴν [ὅμως] τὸ ἀσφαλὲς [τῆς ἐπιφυλάξεως] εἶναι πάντοτε ὠφέλιμο. Διότι, ὅπως ἐὰν κάποιος, ὁ ὁποῖος θέλει νὰ δοκιμάσῃ τὴν

σωφροσύνην τῆς ἑαυτοῦ λαβεῖν γυναικός, νυκτὸς πρὸς αὐτὴν ὡς ἀλλότριος παραγένοιτο, κἂν ἐκείνην διωθουμένην αὐτὸν ἴδοι, χαίρει τῷ ἀπροσίτῳ μᾶλλον καὶ ἀσπάζεται τὴν ἀσφάλειαν, οὕτω δὴ καὶ ἡμᾶς ἀσφαλῶς πρὸς τὰς τῶν νοερῶν ἔχειν ἐπιστασίας. Κἂν γὰρ αὐτοὺς τοὺς οὐρανίους ἀπώσῃ, ἡσθήσονται τούτῳ μᾶλλον καὶ πλείονός σε παρασκευάσουσι τῆς χάριτος μετασχεῖν· τῆς ἀπολαύσεώς τε διάπλεω καταστήσουσι τῆς πνευματικῆς, αὐτῷ τούτῳ τὴν πρὸς τὸν Κύριον ἀγάπην σου τεκμηράμενοι. Μὴ τοίνυν ἐλαφρότητι διανοίας ταχὺ σεαυτὸν ἐμπάρεχε ταῖς τῶν νοερῶν ἐπιστασίαις εἰς ἀπάντησίν σου, κἂν αὐτοὶ οἱ οὐράνιοι Ἄγγελοι ὦσιν, ἀλλὰ μένε βαρύς, βασάνῳ ταῦτα παραδιδοὺς ἐπιμελεστάτῃ· καὶ οὕτω τὸ μὲν καλὸν οἰκειούμενος, τὸ πονηρὸν δὲ διωθούμε-

σωφροσύνη τῆς γυναίκας του, πάῃ τὴ νύχτα πρὸς αὐτὴν ὡς ξένος, καὶ ἂν ἰδῇ ἐκείνη νὰ τὸν διώχνῃ, χαίρεται πολὺ περισσότερο [ποὺ εἶναι] ἀπλησίαστη καὶ ἐπιδοκιμάζει τὴν σταθερότητά της, ἔτσι λοιπὸν καὶ ἐμεῖς νὰ εἴμαστε ἐπιφυλακτικοὶ πρὸς τὶς ἐπισκέψεις τῶν νοερῶν [δυνάμεων]. Διότι καὶ ἂν ἀκόμη ἀπωθήσῃς τοὺς οὐρανίους [ἀγγέλους, ἐὰν σοῦ ἐμφανισθοῦν, ἐπειδὴ δὲν ἔχεις ἐμπιστοσύνη στὴν διάκρισί σου, ἂν εἶναι ἐκ τοῦ Θεοῦ ἢ ἐκ τοῦ πονηροῦ], θὰ εὐχαριστηθοῦν περισσότερο μὲ αὐτό, [δηλαδὴ μὲ αὐτὴν τὴν στάσι σου ἀπέναντί τους], καὶ θὰ σὲ ἑτοιμάσουν νὰ γίνῃς μέτοχος σὲ περισσότερη Χάρι· καὶ θὰ σὲ καταστήσουν πλήρη ἀπὸ πνευματικὴ ἀπόλαυσι, ἀφοῦ διαπιστώσουν μὲ αὐτὸ [τὸν τρόπο] τὴν ἀγάπη σου πρὸς τὸν Κύριο. Μὴ λοιπὸν προσφέρῃς εὔκολα τὸν ἑαυτό σου, ἀπὸ ἐπιπολαιότητα τοῦ νοῦ, στὶς ἐμφανίσεις τῶν νοερῶν [πνευμάτων, ποὺ ἔρχονται] πρὸς συνάντησίν σου, ἀκόμη καὶ ἂν αὐτοὶ εἶναι οἱ οὐράνιοι Ἄγγελοι, ἀλλὰ μένε σταθερός, καὶ ὑπόβαλε [ὅλα] αὐτὰ σὲ αὐστηρὸ ἔλεγχο· καὶ ἔτσι [θὰ εὑρεθῇς] νὰ οἰκειοῦσαι τὸ καλὸ καὶ νὰ ἀπωθῇς τὸ κακό. Διότι

νος. Οὕτω γὰρ ἐπαυξήσεις ἐν σεαυτῷ τὰ τῆς χάριτος ἐνεργήματα, ἅπερ ἡ ἁμαρτία, κἂν τὸ τοῦ ἀγαθοῦ πρόσωπον ὑποκρίνεται, παρασχεῖν ὅλως οὐ δυνήσεται. Οἶδε γὰρ ὁ σατανᾶς, κατὰ τὸν Ἀπόστολον, καὶ εἰς Ἄγγελον μετασχηματισθῆναι φωτὸς[113] *τοῦ ἀπατῆσαι χάριν· πλὴν ἀλλὰ κἂν ὁράσεις λαμπρὰς περιβάλληται, ἀγαθὴν ἐνέργειαν, ἧπερ εἴρηται, παρασχεῖν οὐ δυνήσεται· δι᾽ οὗ καὶ τὸ παράσημον ἀκριβὲς γίνεται. Οὔτε γὰρ ἀγάπην τὴν εἰς τὸν Θεὸν ἢ τὸν πλησίον, οὐ πρᾳότητα, οὐ ταπείνωσιν, οὐ χαράν, οὐκ εἰρήνην, οὐ κατάστασιν λογισμῶν, οὐ τοῦ κόσμου μῖσος, οὐκ ἀνάπαυσιν πνευματικήν, οὐκ ἐπιθυμίαν τῶν οὐρανίων ἐνεργῆσαι δύναται, οὐ πάθη καὶ ἡδονὰς καταπαῦσαι, ἅπερ φανερῶς εἰσι τῆς χάριτος ἐνεργήματα· ὁ γὰρ καρπός, φησί, τοῦ Πνεύματός ἐστιν ἀγάπη, χαρά, εἰρήνη, καὶ τὰ ἑξῆς*[114]*· τάχα δὲ καὶ τύφον*

[μόνο] ἔτσι θὰ αὐξήσῃς μέσα σου τὶς ἐνέργειες τῆς Χάριτος, τὶς ὁποῖες [βεβαίως] ἡ ἁμαρτία, κι ἂν ἀκόμη ὑποκρίνεται τὸ πρόσωπο τοῦ ἀγαθοῦ, ὅλως διόλου δὲν μπορεῖ νὰ [σοῦ] τὶς δώσῃ. Διότι γνωρίζει ὁ σατανᾶς, κατὰ τὸν Ἀπόστολο, καὶ «εἰς Ἄγγελο φωτὸς νὰ μετασχηματίζεται», προκειμένου νὰ ἐξαπατήσῃ· πλὴν ὅμως καὶ ἂν [ἀκόμη] περιβληθῇ λαμπρὴ ὄψι, τὴν ἀγαθὴ ἐνέργεια, γιὰ τὴν ὁποία ἔχει γίνει λόγος, δὲν μπορεῖ νὰ τὴν μεταδώσῃ· καὶ μὲ αὐτὸ πιστοποιεῖται τὸ χαρακτηριστικὸ γνώρισμα [τῆς παρουσίας τοῦ διαβόλου]. Διότι, δὲν μπορεῖ νὰ προξενήσῃ οὔτε ἀγάπη στὸν Θεὸ ἢ τὸν πλησίον, οὔτε πρᾳότητα, οὔτε ταπείνωσι, οὔτε χαρά, οὔτε εἰρήνη, οὔτε κατασίγασι λογισμῶν, οὔτε μῖσος πρὸς τὸ κοσμικὸ [φρόνημα], οὔτε πνευματικὴ ἀνάπαυσι, οὔτε ἐπιθυμία τῶν οὐρανίων, οὔτε [ἐπίσης μπορεῖ] νὰ καταπαύσῃ τὰ πάθη καὶ τὶς ἡδονές, τὰ ὁποῖα εἶναι ὁλοφάνερες ἐνέργειες τῆς Χάριτος. Διότι, ὁ καρπός, λέγει, τοῦ [Ἁγίου] Πνεύματος εἶναι ἀγάπη, χαρά, εἰρήνη καὶ τὰ λοιπά· [ἀντίθετα] δὲ εἶναι δυνατὸν

μᾶλλον ἐκεῖνος ἐμποιῆσαι καὶ ὑψηλοφροσύνην ἐπιτηδειότατός τε καὶ δυνατώτατος. Ἐκ γοῦν τῆς ἐνεργείας εἴσῃ τὸ ἐλλαμφθὲν ἐν τῇ ψυχῇ σου νοερὸν φῶς, πότερον τοῦ Θεοῦ ἢ τοῦ σατανᾶ πέφυκεν ὄν; Πλὴν ἀλλὰ καὶ αὐτῇ δὲ τῇ ψυχῇ, εἴπερ ἔῤῥωται τὰ τῆς διακρίσεως, εὐθὺς ἀπὸ τῆς νοερᾶς αἰσθήσεως, δῆλα τὰ τῆς διαφορᾶς γίνεται. Ὥσπερ γάρ ὄξος καὶ οἶνος, κατὰ μὲν τὴν ὅρασιν ἕν, ἐκ δὲ τῆς κατὰ τὴν γεῦσιν αἰσθήσεως ὁ λάρυγξ ἑκατέρου κρίνει τὸ ἴδιον· οὕτω δὴ καὶ ψυχὴ ἐξ αὐτῆς γε τῆς νοερᾶς αἰσθήσεως καὶ τῆς ἐνεργείας δύναται κρίνειν τά τε τοῦ Πνεύματος χαρίσματα καὶ τὰ τοῦ ἀλλοτρίου φαντάσματα.

μς΄. Χρὴ σκοπεῖν καὶ προβλέπειν ἄριστα τὴν ψυχὴν τοῖς ἑαυτῆς ὀφθαλμοῖς μή ποτε δὴ κἂν τῷ βραχυτάτῳ ὑπὸ τῆς τοῦ ἀντικειμένου ἁλῷ δυνάμεως. Ὥσπερ γὰρ ἑνὸς μέρους ζῴου παγίδι ληφθέντος,

καὶ ἔπαρσι μᾶλλον ἐκεῖνος καὶ ὑψηλοφροσύνη νὰ προκαλέσῃ, ὡς πολὺ ἐπιτήδειος καὶ ἱκανός. Ἀπὸ τὴν ἐνέργεια λοιπὸν θὰ γνωρίσῃς τὸ νοερὸ φῶς ποὺ ἔλλαμψε στὴν ψυχή σου, ἀπὸ ποῦ ἔχει τὴν προέλευσί του, ἀπὸ τὸν Θεὸ ἢ τὸν σατανᾶ; Πλὴν ὅμως καὶ σὲ αὐτὴ τὴν ἴδια τὴν ψυχή, ἂν [βεβαίως] εἶναι δυνατὴ μὲ τὰ γνωρίσματα τῆς διακρίσεως, εὐθὺς ἀπὸ τὴν νοερὴ αἴσθησι, γίνεται ἀντιληπτὴ ἡ διαφορά. Διότι, ὅπως ἀκριβῶς τὸ ξύδι καὶ τὸ κρασὶ εἶναι ἴδια μὲν γιὰ τὴν ὅρασι, ἀπὸ δὲ τὴν αἴσθησι τῆς γεύσεως ὁ λάρυγγας διακρίνει τοῦ καθενὸς τὸ χαρακτηριστικὸ γνώρισμα, ἔτσι λοιπὸν καὶ ἡ ψυχὴ ἀπὸ αὐτὴ τὴν νοερὴ αἴσθησι καὶ τὴν ἐνέργεια μπορεῖ νὰ διακρίνῃ καὶ τοῦ [Ἁγίου] Πνεύματος τὰ χαρίσματα καὶ τοῦ ἐχθροῦ τὶς φαντασίες.

46. Εἶναι ἀνάγκη ἡ ψυχὴ νὰ παρατηρῇ καὶ νὰ προλαμβάνῃ μὲ τὸν καλύτερο τρόπο, μὲ τὰ μάτια της, μὴ τυχόν ἔστω καὶ στὸ ἐλάχιστο, κυριευθῇ ἀπὸ τὴν δύναμι τοῦ ἐχθροῦ. Διότι, ὅπως ἀκριβῶς ἕνα ζῶο ὅταν πιαστῇ στὴν παγίδα ἀπὸ ἕνα

ὅλον ἀνάγκη τὸ ζῷον κάμπτεσθαι καὶ ὑπὸ ταῖς τῶν θηρευόντων χερσὶν γίνεσθαι, οὕτω δὴ καὶ ψυχῇ τὰ ὅμοια συμβαίνειν παρὰ τῶν ἐχθρῶν εἴωθε. Καὶ τοῦτο δῆλον καθίστησιν ὁ Προφήτης· παγίδα γάρ, φησίν, ἡτοίμασαν τοῖς ποσί μου, καὶ κατέκαμψαν τὴν ψυχήν μου[115].

μζ΄. Δεῖ τὸν βουλόμενον διὰ τῆς στενῆς[116] *εἰς τὴν οἰκίαν τοῦ ἰσχυροῦ εἰσελθεῖν καὶ τὰ σκεύη τὰ αὐτοῦ διαρπάσαι*[117]*, μὴ εὐδοκεῖν εὐπαθείᾳ καὶ ὄγκῳ σώματος, ἀλλ᾽ ἐνδυναμοῦσθαι τῷ ἀγαθῷ Πνεύματι, ἔχοντα διὰ μνήμης τὸν εἰπόντα, ὅτι σὰρξ καὶ αἷμα Βασιλείαν Θεοῦ οὐ κληρονομήσουσι*[118]*. Πῶς δὲ δεῖ ἐνδυναμωθῆναι Πνεύματι; Τῷ Ἀποστόλῳ λέγοντι, τὴν σοφίαν τοῦ Θεοῦ μωρίαν τοῖς ἀνθρώποις λογίζεσθαι*[119]*, προσεκτέον· καὶ ὁ Προφήτης δέ, εἶδον, φησί, τὸν υἱὸν τοῦ ἀνθρώπου, καὶ τὸ εἶδος αὐτοῦ ἄτιμον, ἐκλεῖπον*

μέρος του, ἀναγκαστικὰ αὐτὸ τὸ ζῶο λυγίζει καὶ πέφτει στὰ χέρια τῶν κυνηγῶν, ἔτσι τὸ ἴδιο συνηθίζεται νὰ γίνεται καὶ στὴν ψυχὴ ἀπὸ τοὺς ἐχθρούς. Καὶ αὐτὸ φανερώνει ὁ Προφήτης [ὅταν] λέγῃ: «διότι παγίδα ἑτοίμασαν στὰ πόδια μου καὶ ἐλύγισαν τὴν ψυχή μου».

47. Πρέπει ἐκεῖνος, ὁ ὁποῖος ἐπιθυμεῖ νὰ εἰσέλθῃ διὰ τῆς στενῆς [πύλης] στὴν οἰκία τοῦ ἰσχυροῦ [διαβόλου] καὶ νὰ λεηλατήσῃ τὰ σκεύη του, νὰ μὴν εὐχαριστῆται [καὶ ἐπιθυμῇ] τὴν τρυφὴ καὶ τὸ καλοθρεμμένο σῶμα, ἀλλὰ νὰ ἐνδυναμώνεται ἀπὸ τὸ ἀγαθὸ Πνεῦμα, καθὼς ἔχει [πάντα] στὴν μνήμη του Ἐκεῖνον, ποὺ εἶπε: «ὅτι σάρκα καὶ αἷμα [δηλαδὴ τὸ σαρκικὸ φρόνημα] δὲν θὰ κληρονομήσουν τὴν Βασιλεία τοῦ Θεοῦ». Πῶς ὅμως πρέπει νὰ ἐνδυναμωθοῦμε ἀπὸ τὸ Πνεῦμα; Πρέπει νὰ δώσωμε προσοχὴ στὸν Ἀπόστολο, ὁ ὁποῖος λέγει, ὅτι ἡ σοφία τοῦ Θεοῦ θεωρεῖται μωρία ἀπὸ τοὺς ἀνθρώπους· καὶ ὁ Προφήτης ἐπίσης, λέγει: «εἶδα τὸν Υἱὸ τοῦ ἀνθρώπου καὶ ἡ μορφή Του [ἦταν] χωρὶς καμμία τιμή, καταφρονεμένη ὅσο

παρὰ πάντας τοὺς υἱοὺς τῶν ἀνθρώπων[120]*. Δεῖ τοιγαροῦν τὸν βουλόμενον υἱὸν Θεοῦ γενέσθαι, κατὰ τὸ ὅμοιον ταπεινωθῆναι πρότερον καὶ μωρὸν καὶ ἄτιμον λογισθῆναι· μὴ ἀποστρέφοντα τὸ πρόσωπον ἀπὸ ἐμπτυσμάτων*[121]*, μὴ δόξαν, μὴ κάλλος τοῦ αἰῶνος τούτου, μηδὲν τοιοῦτον μεταδιώκοντα, μὴ ἔχοντα ποῦ τὴν κεφαλὴν ἀνακλῖναι*[122]*, ὀνειδιζόμενον καὶ ἐξουθενούμενον καὶ πάντων παρόραμά τε καὶ καταπάτημα λογιζόμενον, πολεμούμενον ἀφανῶς τε καὶ φανερῶς καὶ τῇ διανοίᾳ ἀντιμαχόμενον. Καὶ τότε αὐτὸς ὁ τοῦ Θεοῦ Υἱός, αὐτός γε ὁ εἰπὼν ἐνοικήσω καὶ ἐμπεριπατήσω ἐν ὑμῖν*[123]*, ἐμφανὴς ἔσται τῇ αὐτοῦ καρδίᾳ, καὶ λήψεται δύναμιν καὶ ἰσχύν, ὥστε δεσμεῦσαι τὸν ἰσχυρὸν καὶ τὰ σκεύη τὰ αὐτοῦ διαρπάσαι*[124]*, ἐπὶ Ἀσπίδα τε καὶ Βασιλίσκον*[125] *καὶ ἐπάνω Σκορπίων καὶ Ὄφεων ἐπιβῆναι*[126]*.*

κανενὸς ἀπὸ τοὺς υἱοὺς τῶν ἀνθρώπων». Πρέπει λοιπὸν αὐτός, ὁ ὁποῖος θέλει νὰ γίνῃ υἱὸς Θεοῦ, πρῶτα νὰ ταπεινωθῇ παρόμοια [μ᾽ Ἐκεῖνον] καὶ νὰ θεωρηθῇ καὶ μωρὸς [γιὰ τὸν κόσμο] καὶ περιφρονημένος· νὰ «μὴν ἀποστρέφῃ τὸ πρόσωπο ἀπὸ τὰ ἐμπτύσματα», νὰ μὴν ἐπιδιώκῃ οὔτε δόξα, οὔτε ὀμορφιὰ τοῦ κόσμου τούτου, οὔτε τίποτε παρόμοιο [μὲ αὐτά], νὰ μὴν «ἔχῃ ποῦ νὰ γείρῃ τὸ κεφάλι του», νὰ ὀνειδίζεται καὶ νὰ ἐξουθενώνεται, καὶ νὰ θεωρῆται ἀπὸ ὅλους παραγκωνισμένος καὶ καταφρονεμένος, νὰ πολεμῆται καὶ κρυφὰ καὶ φανερά, [καὶ] νὰ διεξάγῃ μάχη [κατὰ τοῦ πονηροῦ] μὲ τὴν διάνοιά του. Καὶ τότε ὁ Ἴδιος ὁ Υἱὸς τοῦ Θεοῦ, Αὐτός, ὁ Ὁποῖος εἶπε: «θὰ κατοικήσω μέσα σας καὶ θὰ συνοδοιπορήσω μαζί σας», θὰ γίνῃ φανερὸς μέσα στὴν καρδία του, καὶ [ἔτσι] θὰ πάρῃ [ἀπὸ Αὐτὸν] δύναμι καὶ ἰσχύ, ὥστε νὰ δέσῃ τὸν ἰσχυρὸ [ἐχθρό], καὶ νὰ λεηλατήσῃ [ἁρπάζοντας] «τὰ σκεύη του», καὶ νὰ πατήσῃ ἐπάνω «στὴν Ἀσπίδα καὶ τὸν Βασιλίσκο, καὶ πάνω σὲ Σκορπιοὺς καὶ Φίδια».

μη΄. Οὐ μικρὸς ἡμῖν ἀγὼν πρόκειται, διαῤῥῆξαι τὸν θάνατον· φησὶ γάρ, ἡ Βασιλεία τοῦ Θεοῦ ἐντὸς ὑμῶν ἐστιν[127]*· εὑρίσκεται δὲ τρόπον τινὰ καὶ αὐτὸς ὢν ἐντός, ὁ πολεμῶν ἡμᾶς καὶ αἰχμαλωτίζων. Μὴ οὖν ἐνδιδότω μηδαμῶς ἡ ψυχή, ἕως ἂν νεκρὸν θείη τὸν ταύτην αἰχμαλωτίζοντα. Καὶ τότε διαφεύξεται ὀδύνη πᾶσα καὶ λύπη καὶ στεναγμός*[128]*, διὰ τὸ ῥαγῆναι ὕδωρ ἐν γῇ διψώσῃ, καὶ γενέσθαι τὴν ἔρημον εἰς πλῆθος ὑδάτων*[129]*. Ἐπεὶ καὶ ἐπηγγείλατο τὴν ἔρημον καρδίαν ὕδατος πληρῶσαι ζῶντος, πρῶτα μὲν διὰ τοῦ Προφήτου, ἐγώ, λέγοντος, δώσω ὕδωρ τοῖς ἐν δίψει, τοῖς πορευομένοις ἐν ἀνύδρῳ*[130]*, ἔπειτα δὲ καὶ δι᾽ ἑαυτοῦ· ὁ γὰρ πίνων, φησίν, ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, οὐ μὴ διψήσει εἰς τὸν αἰῶνα*[131]*.*

μθ΄. Ψυχὴ ἁλώσιμος ἀκηδίᾳ, δήλη ἐστὶ κατάσχετος οὖσα καὶ ἀπιστίᾳ· καὶ διὰ

48. Δὲν εἶναι μικρὸς ὁ προκείμενος σὲ μᾶς ἀγώνας, [ποὺ ἀπαιτεῖται] γιὰ νὰ συντρίψωμε τὸν θάνατο· διότι λέγει: «ἡ Βασιλεία τοῦ Θεοῦ εἶναι μέσα σας»· εὑρίσκεται ὅμως, κατὰ κάποιο τρόπο[2], νὰ συνυπάρχῃ καὶ αὐτὸς [ὁ διάβολος] μέσα μας, αὐτὸς ποὺ μᾶς πολεμᾶ καὶ μᾶς αἰχμαλωτίζει. Ἂς μὴν ἐνδώσῃ λοιπὸν [καὶ ὑποχωρήσῃ] οὔτε στὸ ἐλάχιστο ἡ ψυχή, ἕως ὅτου θανατώσῃ αὐτὸν ποὺ τὴν αἰχμαλωτίζει. Καὶ τότε θὰ ἀπομακρυνθῇ [ἀπὸ τὴν ψυχὴ] κάθε «ὀδύνη καὶ λύπη καὶ στεναγμός», ἐπειδὴ «θὰ ἀναβλύσῃ νερὸ στὴν διψασμένη γῆ» καὶ θὰ καταστῇ «ἡ ἔρημος γεμάτη ἀπὸ πηγὲς ὑδάτων». Διότι [ὁ Κύριος] ἔδωσε ὑπόσχεσι, ὅτι θὰ γεμίσῃ τὴν ἔρημη καρδία, μὲ ζωντανὸ νερό, πρῶτα μὲν διὰ μέσου τοῦ Προφήτου ποὺ λέγει, «ἐγὼ θὰ δώσω νερὸ σ᾽ αὐτοὺς ποὺ βαδίζουν στὴν ἄνυδρη [καὶ κατάξερη] ἔρημο καὶ εἶναι διψασμένοι», ἔπειτα δὲ καὶ μὲ ὅσα ὁ Ἴδιος λέγει· «διότι ἐκεῖνος ποὺ πίνει ἀπὸ τὸ νερὸ ποὺ ἐγὼ θὰ τοῦ δώσω, δὲν θὰ διψάσῃ εἰς τὸν αἰῶνα.

49. Ἡ ψυχή, ἡ ὁποία εἶναι εὐάλωτη στὴν ἀκηδία, εἶναι φανερό, ὅτι κατέχεται καὶ ἀπὸ τὴν ἀπιστία. Γι᾽ αὐτὸ ἀναβάλλει

τοῦτο ἡμέραν ἐξ ἡμέρας ὑπερβιβάζει, τὸν λόγον οὐ δεχομένη. Ἀναπτεροῖ δὲ ἑαυτὴν καὶ ὀνείροις πολλάκις, τὸν ἔνδον μὴ κατανοοῦσα πόλεμον, ἅτε οἰήσει κατειλημμένη. Ἡ δὲ οἴησις πήρωσίς ἐστι τῆς ψυχῆς, οὐδαμοῦ ἀφιεῖσα τὴν ἑαυτῆς ἀσθένειαν ἐπιγνῶναι.

νʹ. Ὥσπερ βρέφος νεογενὲς εἰκόνα τοῦ τελείου διασῴζει ἀνδρός, οὕτω δὴ καὶ ψυχὴ εἰκών τις ἐστὶ τοῦ πεποιηκότος αὐτὴν Θεοῦ. Ὡς οὖν τὸ Παιδίον κατὰ μέρος μὲν αὐξόμενον, ἐκ μέρους ἐπιγινώσκει καὶ τὸν Πατέρα· ἐπειδὰν δὲ εἰς ἡλικίαν ἀφίκηται, τότε συνδιατίθεται, Υἱῷ τε Πατὴρ ἀκριβῶς, καὶ Υἱὸς Πατρί, ἀποκαλύπτεται δὲ αὐτῷ καὶ ὁ τοῦ Πατρὸς θησαυρός· οὕτω καὶ ἡ ψυχὴ πρὸ τῆς παρακοῆς προκόπτειν ἔμελλε καὶ εἰς ἄνδρα τέλειον καταντᾶν[132]· διὰ μέντοι τὴν παρακοὴν

[τὸν ἀγῶνα, μεταθέτοντάς τον] ἀπὸ ἡμέρα σὲ ἡμέρα χωρὶς νὰ δέχεται τὸν λόγο [τοῦ Θεοῦ]. Πολλὲς φορὲς μάλιστα ἀναπτερώνει [καὶ ἐνθαρρύνει ἡ ἴδια] τὸν ἑαυτό της μὲ ὄνειρα καὶ φαντασίες καὶ [ἔτσι] δὲν ἀντιλαμβάνεται τὸν ἐσωτερικό της πόλεμο, ἐπειδὴ ἔχει καταληφθῆ ἀπὸ τὴν ἔπαρσι. Ἡ δὲ οἴησι εἶναι ἀναπηρία τῆς ψυχῆς, ἡ ὁποία δὲν τὴν ἀφήνει καθόλου νὰ ἀποκτήσῃ ἐπίγνωσι τῆς ἀσθενείας της.

50. Ὅπως ἀκριβῶς τὸ νεογέννητο βρέφος διασώζει τὴν εἰκόνα [καὶ τὰ χαρακτηριστικὰ] τοῦ τελείου ἀνδρός, ἔτσι καὶ ἡ ψυχὴ εἶναι ἡ εἰκόνα τοῦ Θεοῦ, ὁ Ὁποῖος τὴν ἔπλασε. Ὅπως λοιπὸν τὸ παιδί, τὸ ὁποῖο αὐξάνεται σιγὰ σιγὰ κατὰ τὸ σῶμα [καὶ μεγαλώνει], μερικῶς ἀναγνωρίζει καὶ τὸν Πατέρα του· ὅταν ὅμως φθάσῃ νὰ ἐνηλικιωθῇ, τότε σταθεροποιοῦνται ἀπὸ κοινοῦ [καὶ διακρίνονται πλέον τὰ χαρακτηριστικὰ] τοῦ Πατέρα στὸν υἱό, καὶ τοῦ υἱοῦ στὸν Πατέρα, φανερώνεται δὲ [τότε] σ᾽ αὐτὸν καὶ ἡ πατρικὴ περιουσία· ἔτσι καὶ ἡ ψυχὴ πρὶν ἀπὸ τὴν παρακοή, ἐπρόκειτο νὰ προοδεύῃ καὶ νὰ φθάσῃ «σὲ τέλειο ἄνδρα»· ἐξ αἰτίας ὅμως τῆς παρακοῆς

εἰς πέλαγός τε λήθης καὶ εἰς βυθὸν πλάνης κατεβιβάσθη καὶ ἐν πύλαις ᾅδου κατῴκησεν. Ἀπὸ γοῦν πολλοῦ καθαπερεὶ διαστήματος μακρυνθεῖσα τοῦ Θεοῦ ἡ ψυχή, ἀδύνατος αὐτῷ προσελθεῖν ἦν καὶ ἐπιγνῶναι καλῶς τὸν πλάσαντα. Ἀλλ᾽ ὁ Θεὸς πρῶτα μὲν διὰ Προφητῶν ἐπέστρεφεν αὐτὴν καὶ προσεκαλεῖτο καὶ εἰς ἐπίγνωσιν εἶλκε τὴν ἑαυτοῦ· ἔσχατον δὲ καὶ αὐτὸς παρελθὼν ἐκεῖνος, ἀφείλετο μὲν τὴν λήθην, ἀφείλετο δὲ τὴν πλάνην. Εἶτα καὶ τὰς τοῦ ᾅδου διαῤῥήξας πύλας, ἐπὶ τὴν πεπλανημένην εἰσῆλθε ψυχήν, ἑαυτὸν ὑπόδειγμα ταύτῃ θέμενος· δι᾽ οὗ δυνατὸν αὐτῇ ἔσται πρὸς μέτρον ἡλικίας καὶ πρὸς τὴν τελειότητα τοῦ Πνεύματος καταντῆσαι. Πειράζεται τοιγαροῦν ὁ τοῦ Θεοῦ Λόγος πρὸς τοῦ πονηροῦ κατ᾽ οἰκονομίαν[133]. Ἔπειτα ὀνειδισμοὺς καὶ ἐξουδενώσεις, ὕβρεις τε καὶ ῥα-

ἐβυθίστηκε στὸ πέλαγος τῆς λήθης καὶ στὸν βυθὸ τῆς πλάνης καὶ κατοίκησε μέσα στὶς πύλες τοῦ Ἅδη. Ἀφοῦ λοιπὸν ἀπομακρύνθηκε σὲ τόσο μεγάλη ἀπόστασι ἡ ψυχὴ ἀπὸ τὸν Θεό, ἦταν ἀδύνατον [πλέον] σ᾽ αὐτὴ νὰ πλησιάσῃ καὶ νὰ γνωρίσῃ τὸν Πλάστη της. Ἀλλὰ ὁ Θεός, ἀρχικὰ μέν, διὰ τῶν Προφητῶν, τὴν προσκαλοῦσε νὰ ἐπιστρέψῃ καὶ τὴν προσήλκυε στὴν ἐπίγνωσί Του· στὸ τέλος δέ, ἀφοῦ ἦλθε καὶ ὁ Ἴδιος, κατήργησε μὲν τὴν λήθη, κατήργησε δὲ [καὶ] τὴν πλάνη. Κατόπιν δέ, ἀφοῦ καὶ τὶς πύλες τοῦ Ἅδου διέρρηξε, εἰσῆλθε μέσα στὴν ψυχή, ἡ ὁποία εἶχε πλανηθῆ, ἀφοῦ ἔδωσε σ᾽ αὐτὴν παράδειγμα τὸν [ἴδιο] τὸν Ἑαυτό Του· διὰ τοῦ Ὁποίου εἶναι δυνατὸν [πλέον] νὰ φθάσῃ στὰ μέτρα τῆς ἐνηλικιώσεως [δηλαδὴ στὴν πλήρη πνευματικὴ ὡριμότητα] καὶ στὴν τελειότητα τοῦ [Ἁγίου] Πνεύματος. Ὑποβάλλεται, λοιπόν, εἰς πειρασμὸν ὁ Λόγος τοῦ Θεοῦ [στὴν ἔρημο] ἀπὸ τὸν πονηρὸ κατὰ οἰκονομίαν. Ἔπειτα ὑπομένει ὀνειδισμοὺς καὶ ἐξευτελισμοὺς καὶ ὕβρεις καὶ ραπίσματα ἀπὸ

πίσματα χειρῶν ἐκείνων τῶν τολμηρῶν καὶ αὐτὸν ἔσχατον τὸν διὰ σταυροῦ θάνατον ὑπομένει[134]*, ὑποδεικνύς, ὥσπερ ἔφημεν, τίνα τὴν διάθεσιν ἐπιδεικτέον πρός γε τοὺς ὀνειδίζοντας, ἐξουθενοῦντας ἢ καὶ θάνατον ἡμῖν ἐπάγοντας· ἵνα καὶ αὐτὸς ὁ ἄνθρωπος δηλαδὴ τούτοις, ὡσεὶ κωφὸς καὶ ἄλαλος γένηται, μὴ ἀνοίγων τὸ στόμα*[135]*, ἵνα τὴν ἐνέργειαν καὶ λεπτότητα διαβλέπων τῆς πονηρίας, καὶ ὡς ἐν σταυρῷ τοῖς ἥλοις ἐμπεπαρμένος, μετὰ κραυγῆς ἰσχυρᾶς βοήσειε πρὸς τὸν δυνάμενον αὐτὸν ῥύσασθαι τοῦ θανάτου*[136]*, καὶ ἀπὸ τῶν κρυφίων μου, φαίη, καθάρισόν με*[137]*· καὶ ἐὰν μή μου κατακυριεύσωσι, τότε ἄμωμος ἔσομαι*[138]*. Τότε γοῦν ἄμωμος γεγονώς, εὑρίσκει τὸν ὑποτάξαντα αὐτῷ τὰ πάντα*[139]*, καὶ συμβασιλεύει*[140] *καὶ συναναπαύεται τῷ Χριστῷ. Καὶ γὰρ διὰ τὴν παρακοὴν ὑπὸ ὑλικῶν τε καὶ ῥυπαρῶν καταποθεῖσα λογισμῶν, οἱονεὶ ἄλογος γέγονεν ἡ*

τὰ χέρια ἐκείνων τῶν ἀναιδῶν καὶ στὸ τέλος [δέχεται] καὶ τὸ σταυρικὸ θάνατο, γιὰ νὰ μᾶς ὑποδείξῃ, ὅπως εἴπαμε, ποιὰ διάθεσι πρέπει νὰ δείχνωμε πρὸς αὐτούς, οἱ ὁποῖοι μᾶς ὀνειδίζουν, μᾶς ἐξευτελίζουν ἢ ἐπιδιώκουν [ἀκόμη] καὶ τὸν θάνατό μας· ὥστε καὶ αὐτὸς ὁ ἄνθρωπος νὰ γίνῃ δηλαδὴ ὡς κωφὸς καὶ ἄλαλος, χωρὶς «νὰ ἀνοίγῃ τὸ στόμα του», [καὶ] διακρίνοντας τὴν ἐνέργεια καὶ τὴν εὐστροφία τῆς πονηρίας, καὶ ὡς καρφωμένος μὲ καρφιὰ στὸν σταυρό, «νὰ φωνάξῃ μὲ δυνατὴ κραυγὴ πρὸς Ἐκεῖνον, ὁ Ὁποῖος μπορεῖ νὰ τὸν λυτρώσῃ ἀπὸ τὸν θάνατο» καὶ νὰ εἰπῇ: «ἀπὸ τὰ κρυφά μου [πάθη] καθάρισόν με» καὶ «ἐὰν αὐτὰ δὲν μὲ κατακυριεύσουν [ἐπιβάλλοντάς μου τὴν ἐξουσία τους], τότε [πλέον] θὰ εἶμαι ἄμεμπτος». Κατόπιν, λοιπόν, ἀφοῦ ἔχῃ γίνει ἄμεμπτος, ἀνακαλύπτει Ἐκεῖνον, «ποὺ ὑπέταξε στὴν ἐξουσία Του τὰ πάντα» καὶ «βασιλεύει μαζί Του» καὶ ἀναπαύεται μαζὶ μὲ τὸν Χριστό. Καὶ ἐπειδή, ἐξ αἰτίας τῆς παρακοῆς, ἔχει καταποθῆ ἡ ψυχὴ ἀπὸ ὑλικοὺς καὶ ἀκαθάρτους λογισμούς, ἔχει γίνει σὰν νά μὴν ἔχῃ λογική·

ψυχή· ὥστε οὐ μικροῦ πόνου τῆς τοιαύτης ἀνακῦψαι ὕλης καὶ τὴν λεπτότητα κατανοῆσαι τῆς πονηρίας, καὶ διελθεῖν, ἵνα καὶ τῷ ἀνάρχῳ νοΐ συγκραθῇ.

να΄. Εἰ βούλει ἐπανελθεῖν εἰς ἑαυτόν, ἄνθρωπε, καὶ ἣν πρώτην εἶχες δόξαν ἀναλαβεῖν, ἥτις ἄρα σοι καὶ ἐκ παρακοῆς παραπώλετο· ὥσπερ ἠμεληκὼς πρότερον τῶν τοῦ Θεοῦ ἐντολῶν, τοῖς τοῦ ἐχθροῦ διατάγμασι καὶ τῇ συμβουλῇ προσέσχες, οὕτως νῦν ἀποστὰς οὗ ἐπήκουσας, ἐπιστράφηθι πρὸς τὸν Κύριον. Πλὴν ἴσθι ὅτι ἐν πολλῷ κόπῳ καὶ ἱδρῶτι, φησί, τοῦ προσώπου σου[141]*, ἀπολήψῃ τὸν πλοῦτόν σου. Οὐ γάρ σοι λυσιτελὴς ἡ τοῦ ἀγαθοῦ ἄπονος κτῆσις, ἐπείπερ ἀπονητὶ λαβὼν καὶ ἱδρώτων ἐκτός, ἀπώλεσας ἅπερ εἴληφας καὶ τῷ ἐχθρῷ προΰδωκας τὴν κληρονομίαν σου. Ἐπιγνῶμεν οὖν ἕκαστος τί ποτε δὴ ἀπωλέσαμεν, καὶ τὸν*

ὥστε [νὰ ἀπαιτῆται] ὄχι λίγος κόπος γιὰ νὰ ἀνακύψῃ ἀπὸ τὶς ὑλικὲς ἀπολαύσεις καὶ νὰ κατανοήσῃ τὴν ἐπιδεξιότητα τῆς πονηρίας, καὶ νὰ διαφύγῃ, ὥστε νὰ ἑνωθῇ καὶ νὰ γίνῃ ἕνα μὲ τὸν Ἄναρχο Νοῦ.

51. Ἐὰν θέλῃς ἄνθρωπε νὰ ἐπιστρέψῃς στὸν ἑαυτό σου καὶ νὰ ἀποκτήσῃς πάλι τὴν πρώτη δόξα ποὺ εἶχες, ἡ ὁποία, λόγῳ τῆς παρακοῆς, χάθηκε ἀπὸ σένα· ὅπως ἀκριβῶς προηγουμένως εἶχες παραμελήσει τὶς ἐντολὲς τοῦ Θεοῦ καὶ ἔδωσες προσοχὴ στὴν συμβουλὴ καὶ τὶς προσταγὲς τοῦ ἐχθροῦ, ἔτσι [καὶ] τώρα, ἀφοῦ ἀπομακρυνθῇς ἀπὸ ἐκεῖνον, τὸν ὁποῖον ὑπάκουσες, ἐπίστρεψε πρὸς τὸν Κύριον. Πλὴν [ὅμως] γνώριζε, λέγει, «ὅτι μὲ πολὺ κόπο καὶ ἱδρῶτα τοῦ προσώπου σου» θὰ ἐπανακτήσῃς τὸν πλοῦτο σου. Διότι, δὲν σοῦ εἶναι ὠφέλιμη ἡ χωρὶς κόπο ἀπόκτησι τοῦ ἀγαθοῦ, ἐπειδή, ἀφοῦ ἔλαβες [τὰ ἀγαθὰ] χωρὶς κόπο καὶ χωρὶς ἱδρῶτες, ἔχασες ἐκεῖνα ποὺ εἶχες λάβει καὶ παρέδωσες στὸν ἐχθρὸ τὴν κληρονομία σου. Ἂς ἔχωμε λοιπὸν ἐπίγνωσι ὁ καθένας μας τί κάποτε ἐχάσαμε, καὶ ἂς ἀποκτήσω-

θρῆνον ἀναλάβωμεν τοῦ Προφήτου· τῷ ὄντι γὰρ ἡ κληρονομία ἡμῶν μετεστράφη ἀλλοτρίοις καὶ ὁ οἶκος ἡμῶν ξένοις[142]*, τῷ παρακούειν τῆς ἐντολῆς καὶ τοῖς ἑαυτῶν θελήμασιν εἴκειν, καὶ τοῖς ῥυπαροῖς καὶ γηΐνοις ἐνήδεσθαι λογισμοῖς· ὥστε καὶ πολλῷ διαστήματι τότε ἀπέχει ἡμῶν ἡ ψυχὴ ἀπὸ τοῦ Θεοῦ· καὶ ὡς ὀρφανοῖς ἐοίκαμεν μὴ ἔχουσι Πατέρα. Ὧτινι οὖν μέλει περὶ ψυχῆς, ἀγωνιστέον, ὁπόση δύναμις, καθαιρεῖν λογισμοὺς πονηροὺς καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ*[143]*· καὶ βιαζομένῳ τὸν ναὸν τοῦ Θεοῦ τηρεῖν ἄσπιλον, τότε ἔρχεται ὁ ἐπαγγειλάμενος ἐνοικῆσαι καὶ ἐμπεριπατῆσαι ἐν ἡμῖν*[144]*· καὶ τότε ἀπολαμβάνει τὴν ἑαυτῆς κληρονομίαν ἡ ψυχὴ καὶ ναὸς Θεοῦ γενέσθαι καταξιοῦται. Αὐτὸς γὰρ οὗτος αὐτῷ στρατεύματι τὸν πονηρὸν ἐκδιώξας, τὸ λοιπὸν ἐν ἡμῖν βασιλεύσει.*

με τὸν θρῆνο τοῦ Προφήτου[β′]. Διότι πραγματικὰ «ἡ κληρονομία μας ἐστράφηκε [καὶ ἐδόθηκε] στοὺς ἐχθροὺς καὶ τὸ σπίτι μας στοὺς ξένους», μὲ τὸ νὰ παρακούωμε τὴν ἐντολή [τοῦ Θεοῦ], καὶ νὰ ὑποχωροῦμε στὰ θελήματά μας, καὶ νὰ νιώθωμε εὐχαρίστησι μὲ τοὺς ἀκαθάρτους καὶ γηΐνους λογισμούς· [ἔτσι] ὥστε νὰ εὑρίσκεται τότε σὲ μεγάλη ἀπόστασι ἡ ψυχή μας ἀπὸ τὸν Θεό· καὶ νὰ εἴμαστε ὅμοιοι μὲ τοὺς ὀρφανούς, οἱ ὁποῖοι δὲν ἔχουν Πατέρα. Αὐτός, λοιπόν, ποὺ ἐνδιαφέρεται γιὰ τὴν ψυχή του, πρέπει νὰ ἀγωνισθῇ μὲ ὅλη του τὴν δύναμι, νὰ ἀνατρέπῃ τοὺς πονηροὺς λογισμοὺς καὶ «κάθε ὕψωμα ποὺ ὀρθώνεται μὲ ἀλαζονεία κατὰ τῆς γνώσεως τοῦ Θεοῦ», καὶ καθὼς βιάζει τὸν ἑαυτό του, νὰ διατηρῇ «τὸν ναὸ τοῦ Θεοῦ» ἄσπιλο, τότε ἔρχεται Ἐκεῖνος ποὺ ὑποσχέθηκε, ὅτι θὰ κατοικήσῃ μέσα μας καὶ «θὰ συμπορευθῇ μαζί μας», καὶ τότε [πλέον] ἀπολαμβάνει τὴν κληρονομία της ἡ ψυχὴ καὶ καταξιώνεται νὰ γίνῃ ναὸς Θεοῦ. Διότι Αὐτὸς ὁ Ἴδιος [ὁ Θεός], ἀφοῦ ἐκδιώξῃ μὲ τὸ στράτευμά του τὸν πονηρό, εἰς τὸ ἑξῆς θὰ βασιλεύσῃ μέσα μας.

νβ'. Ὁ τῷ Κάιν ῥηθεὶς ὑπὸ τοῦ Δημιουργοῦ κατὰ τὸ φανερὸν λόγος, στένων καὶ τρέμων καὶ παλλόμενος ἐπὶ τῆς γῆς ἔσῃ[145]*, τύπος τις καὶ εἰκὼν πάντων ἁμαρτωλῶν, κατὰ τὸ ἀπόῤῥητον, ἦν. Οὕτω γὰρ τὸ τοῦ Ἀδὰμ γένος τῆς ἐντολῆς ἐκπεσὸν καὶ ἁμαρτίαις ἔνοχον γεγονός, σαλεύεται λογισμοῖς ἀστάτοις, φόβου τε καὶ δειλίας καὶ ταραχῆς πληρούμενον· αὐτοῦ τε τοῦ ἐχθροῦ ἐπιθυμίαις καὶ ἡδοναῖς ποικίλαις πᾶσαν ψυχὴν τὴν μὴ γεγεννημένην ἐκ τοῦ Θεοῦ κλυδωνίζοντος καὶ ὡς σίτον τινὶ συνίῳ ἐνστρέφοντος. Οὐ μὴν ἀλλὰ καὶ αὐτός ὁ Κύριος, τοὺς τοῖς θελήμασιν ἑπομένους τοῦ πονηροῦ, δεικνύων ὅτι τὴν εἰκόνα τῆς τοῦ Κάιν διασῴζουσι πονηρίας, ἐλέγχων αὐτούς, ὑμεῖς, ἔλεγε, τὰς ἐπιθυμίας τοῦ πατρὸς ὑμῶν θέλετε ποιεῖν τοῦ ἀνθρωποκτόνου· ἐκεῖνος γὰρ ἀνθρωποκτόνος ἐστὶν ἀπ᾽ ἀρχῆς καὶ ἐν τῇ ἀλη-*

52. Ὁ λόγος, ὁ ὁποῖος ἐλέχθηκε ἀπὸ τὸν Δημιουργὸ πρὸς τὸν Κάϊν[γ'] κατὰ τὴν φανερή [του διατύπωσι]: «Μὲ στεναγμὸ καὶ τρόμο καὶ ἀγωνία θὰ εἶσαι [στὴν ζωή σου] πάνω στὴ γῆ», ἦταν, κατὰ τὸ μυστικό του [νόημα], κάποια προτύπωσι καὶ εἰκόνα [τῆς ζωῆς] ὅλων τῶν ἁμαρτωλῶν. Διότι, τὸ γένος τοῦ Ἀδάμ, ἀφοῦ ἔπεσε παραβαίνοντας τὴν ἐντολὴ τοῦ Θεοῦ, ἔχει γίνει ἔνοχο ἁμαρτιῶν [καὶ] ἔτσι διασαλεύεται ἀπὸ ἄστατους λογισμοὺς καὶ εἶναι γεμάτο ἀπὸ φόβο καὶ δειλία καὶ ταραχή. Καθὼς καὶ αὐτὸς ὁ ἐχθρὸς [ὁ σατανᾶς] κλυδωνίζει κάθε ψυχή, ποὺ δὲν ἔχει γεννηθῆ ἀπὸ τὸν Θεό, μὲ διάφορες ἐπιθυμίες καὶ ἡδονὲς καὶ τὴν περιστρέφει ὅπως τὸ σιτάρι στὸ κόσκινο. Ἀλλὰ ἀκόμη καὶ ὁ Ἴδιος ὁ Κύριος [θέλοντας] νὰ δείξῃ σ᾽ αὐτούς, ποὺ ἀκολουθοῦν τὰ θελήματα τοῦ πονηροῦ, ὅτι διατηροῦν τὴν εἰκόνα τῆς πονηρίας τοῦ Κάϊν, ἐλέγχοντάς τους, ἔλεγε, «ἐσεῖς θέλετε νὰ ἐκτελῆτε τὶς ἐπιθυμίες τοῦ πατέρα σας τοῦ ἀνθρωποκτόνου· διότι ἐκεῖνος ἐξ ἀρχῆς ἦταν ἀνθρωποκτόνος καὶ [ποτὲ] δὲν στάθηκε στὸν

θείᾳ οὐχ ἕστηκεν[146].

νγ΄. Κατανοεῖν προσήκει, φησί, πῶς ἡ τοῦ κατὰ γῆν βασιλέως θέα ἐπιπόθητός ἐστι καὶ περισπούδαστος τοῖς ἀνθρώποις, καὶ πᾶς ὅστις εἰς τὴν πόλιν ἐπιδημῶν, ἐν ᾗ περ ὁ βασιλεύς, ἐπιθυμητὸν αὐτῷ καὶ μόνον τῆς περιβολῆς ἰδεῖν τὸ πολυτελὲς καὶ φιλότιμον· ἐκτὸς εἰ μὴ ὑπὸ τῶν πνευματικῶν ἀμελεῖται ταῦτα καὶ ἀτιμάζεται, τῷ ἑτέρῳ κάλλει τετρῶσθαι καὶ ἄλλης αὐτοὺς δόξης ἐπιθυμεῖν. Εἰ οὖν οὕτω τοῖς σαρκικοῖς ἡ τοῦ θνητοῦ βασιλέως ἐσπούδασται θέα, πῶς οὐχὶ μᾶλλον ἡ τοῦ ἀθανάτου πολυέραστος ἐκείνοις ἐστίν, οἷς ἐνέσταξέ τις ῥανὶς τοῦ ἀγαθοῦ πνεύματος καὶ τὴν καρδίαν θεῖος ἔπληξεν ἔρως; Διὰ τοῦτο καὶ πάσης τῆς τοῦ κόσμου φιλίας ἑαυτοὺς λύουσιν, ἵνα δυνηθεῖεν ἐκεῖνον τὸν πόθον ἔχειν ἐγκάρδιον διηνεκῶς καὶ μηδένα ἕτερον πρὸ ἐκείνου· ὀλίγοι δὲ κο-

χῶρο τῆς ἀλήθειας».

53. Πρέπει νὰ σκεπτώμαστε, λέγει [ὁ Ἅγιος], πῶς ἡ θέα τοῦ ἐπιγείου βασιλέως εἶναι ποθητὴ καὶ ἐπιδιώκεται μὲ πολὺ ζῆλο ἀπὸ τοὺς ἀνθρώπους, καὶ κάθε ἕνας ποὺ ἐπισκέπτεται τὴν πόλι, στὴν ὁποία [βρίσκεται] ὁ βασιλιάς, ἔχει τὴν ἐπιθυμία νὰ ἰδῇ καὶ μόνο τὴν πολυτελῆ καὶ πολυδάπανη στολή του· ἐκτὸς καὶ ἂν αὐτὰ δὲν τυγχάνουν προσοχῆς ἀπὸ τοὺς πνευματικοὺς [ἀνθρώπους] καὶ καταφρονοῦνται, [ἐπειδὴ] αὐτοί, ἔχουν τρωθῆ ἀπὸ ἄλλη ὀμορφιὰ καὶ ἐπιθυμοῦν ἄλλη δόξα. Ἐὰν λοιπὸν στοὺς σαρκικοὺς [ἀνθρώπους] ἡ θέα τοῦ θνητοῦ βασιλέως εἶναι τόσο σφοδρὰ ἐπιθυμητή, πῶς νὰ μὴν εἶναι ἡ [θέα] τοῦ ἀθανάτου Βασιλέως πολὺ περισσότερο ἀγαπημένη σ᾽ ἐκείνους, στοὺς ὁποίους ἔσταξε μέσα τους κάποια σταγόνα τοῦ Ἀγαθοῦ Πνεύματος καὶ τὴν καρδία τους τὴν ἐπλήγωσε ὁ θεῖος ἔρως; Γι᾽ αὐτὸ καὶ ἀποδεσμεύουν τοὺς ἑαυτούς τους ἀπὸ κάθε φιλία τοῦ κόσμου, γιὰ νὰ μπορέσουν νὰ ἔχουν ἐκεῖνο τὸν πόθο ἀδιαλείπτως μέσα στὴν καρδιά τους, καὶ κανέναν ἄλλον ἐκτὸς ἀπὸ αὐτόν· [εἶναι] δὲ αὐτοὶ πολὺ

μιδῆ οὗτοι, οἵ γε τῇ ἀγαθῇ ἀρχῇ καὶ πέρας ἴσον ἐπιτιθέντες, καὶ μέχρι τέλους ἀπρόσκοπτοι διαμένοντες. Πολλοὶ μὲν γὰρ κατανύσσονται καὶ πολλοὶ χάριτος οὐρανίου μέτοχοι γίνονται καὶ ἔρωτι τιτρώσκονται θείῳ, ἀλλὰ τοὺς μεταξὺ πόνους καὶ τὰς τοῦ πονηροῦ πείρας, ποικίλῃ τέχνη καὶ πολυτρόπῳ προσβάλλοντος, οὐ διενεγκόντες, ὑπέμεινάν τε τῷ κόσμῳ καὶ ἐβυθίσθησαν ἐν τῷ ἐκείνου βυθῷ, διὰ γνώμης χαυνότητα καὶ ἀσθένειαν, ἢ καὶ τὸ προσπαθείᾳ τινὶ τῶν γηΐνων ἁλῶναι. Ὅσοι γὰρ πρὸς ἀσφάλειαν μέχρι τέλους διαδραμεῖν βούλονται, ἄλλον ἔρωτα καὶ ἄλλην ἀγάπην τῇ ἐπουρανίῳ ἐκείνη συμπαραμεῖξαι οὐχ ὑπομένουσιν.

νδʹ. Ὥσπερ μεγάλα δηλαδὴ καὶ ἀνεκδιήγητα τὰ παρὰ Θεοῦ ἐπηγγελμένα πεφύκασιν ἀγαθά, οὕτω καὶ πολλῶν δεῖται πόνων τε καὶ ἀγώνων τῶν μετ᾽ ἐλπίδος καὶ πίστεως. Καὶ δῆλον

λίγοι, οἱ ὁποῖοι στὴν ἀγαθὴ ἀρχὴ προσθέτουν ἐξ ἴσου καὶ καλὸ τέλος καὶ παραμένουν μέχρι τέλους ἄμεμπτοι [χωρὶς νὰ σκοντάψουν]. Διότι πολλοὶ μὲν ἔρχονται σὲ κατάνυξι καὶ πολλοὶ γίνονται μέτοχοι τῆς οὐρανίου Χάριτος καὶ πληγώνονται ἀπὸ τὸν θεῖο ἔρωτα, ἀλλὰ ἐπειδὴ δὲν ὑπέμειναν τοὺς ἐπακολουθοῦντες [αὐτὰ] κόπους καὶ τὶς δοκιμασίες τοῦ πονηροῦ, ὁ ὁποῖος ἐπιτίθεται μὲ διάφορα καὶ πολύτροπα τεχνάσματα, παρέμειναν στὸν κόσμο καὶ καταποντίσθηκαν στὸν βυθό του, ἀπὸ χαύνωσι καὶ ἀδυναμία τῆς προαιρέσεως, ἢ καὶ ἐπειδὴ κατακυριεύθηκαν ἀπὸ τὴν ἐμπαθῆ προσκόλλησι σὲ κάποιο ἀπὸ τὰ γήϊνα. Διότι ὅσοι θέλουν νὰ διατρέξουν μὲ ἀσφάλεια [τὸν δρόμο] ὥς τὸ τέλος, ἄλλον ἔρωτα καὶ ἄλλη ἀγάπη δὲν ἀνέχονται νὰ ἀναμείξουν μὲ ἐκείνη τὴν ἐπουράνιο.

54. Ὅπως δηλαδὴ εἶναι μεγάλα καὶ ἀπερίγραπτα τὰ ἀγαθά, τὰ ὁποῖα ὑπεσχέθη ὁ Θεός, ἔτσι καὶ χρειάζονται καὶ πολλοὺς κόπους καὶ ἀγῶνες, [οἱ ὁποῖοι γίνονται] μὲ ἐλπίδα καὶ πίστι. Καὶ εἶναι φανερὸ ἀπὸ

ἐντεῦθεν· εἴ τις θέλει ὀπίσω μου ἐλθεῖν, ἀπαρνησάσθω ἑαυτὸν καὶ ἀράτω τὸν σταυρὸν αὐτοῦ καὶ ἀκολουθείτω μοι[147]*. Καὶ πάλιν· ἐὰν μή τις μισήσῃ πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ γυναῖκα καὶ τέκνα, ἔτι δὲ καὶ τὴν ἑαυτοῦ ψυχήν, οὐ δύναταί μου εἶναι μαθητής*[148]*. Οἱ πλεῖστοι δὲ τῶν ἀνθρώπων οὕτως ἔχουσιν ἀνοήτως, ὡς τῆς βασιλείας ἐπιτυχεῖν βούλεσθαι καὶ τῆς αἰωνίου κληρονομῆσαι ζωῆς καὶ Χριστῷ διὰ τέλους συμβασιλεῦσαι, τὸ μέγα τοῦτο καὶ ὑπὲρ ἔννοιαν, τοῖς ἰδίοις ζῶντες θελήμασι καὶ τούτοις ἀκολουθοῦντες· μᾶλλον δὲ τῷ ἐνσπείροντι τὰ μάταια ταῦτα καὶ φανερῶς βλαβερά.*

νε΄. Οὗτοί εἰσιν οἱ μέχρι τέλους ἄπτωτοι διερχόμενοι, οἱ τὰς τοῦ κόσμου πάσας ἐπιθυμίας, καὶ ἑαυτούς, μετεωρισμούς τε τούτου καὶ ἡδονὰς καὶ τὰς πρὸς αὐτὸν ἀσχολίας τὸ παράπαν μισήσαντες· τοῦτο

τὰ ἑξῆς [λόγια τοῦ Κυρίου]: «ἐὰν θέλῃ κάποιος νὰ ἔλθῃ μαζί μου, ἂς ἀπαρνηθῇ τὸν ἑαυτόν του καὶ ἂς σηκώσῃ τὸν σταυρό του καὶ ἂς μὲ ἀκολουθήσῃ». Καὶ πάλι: «ἐὰν κανεὶς δὲν μισήσῃ πατέρα καὶ μητέρα καὶ ἀδελφοὺς καὶ γυναῖκα καὶ τέκνα, ἀκόμη καὶ τὴν ἴδια τὴν ψυχή του, δὲν μπορεῖ νὰ εἶναι μαθητής μου». Οἱ περισσότεροι ὅμως ἀπὸ τοὺς ἀνθρώπους εἶναι τόσο ἀνόητοι, ὥστε νὰ θέλουν νὰ ἐπιτύχουν τῆς [Οὐρανίου] Βασιλείας καὶ νὰ κληρονομήσουν τὴν αἰώνια ζωή, καὶ νὰ συμβασιλεύσουν μὲ τὸν Χριστὸ γιὰ πάντα [πρᾶγμα] μέγα καὶ πάνω ἀπὸ κάθε ἔννοια ἐνῶ ζοῦν [σύμφωνα] μὲ τὰ δικά τους θελήματα καὶ αὐτὰ ἀκολουθοῦν· μᾶλλον δὲ ἐκεῖνον ποὺ σπέρνει αὐτὰ τὰ μάταια καὶ καταφανῶς βλαβερά.

55. Αὐτοὶ εἶναι ποὺ παραμένουν μέχρι τὸ τέλος ἄπτωτοι, ἐκεῖνοι [δηλαδή], ποὺ ἔχουν ὅλως διόλου μισήσει ὅλες τὶς ἐπιθυμίες τοῦ κόσμου καὶ τοὺς ἑαυτούς των [ἀκόμη], καὶ τὶς ἐπάρσεις αὐτοῦ καὶ τὶς ἡδονές, καὶ τὶς περὶ αὐτὸν [τὸν κόσμο] ἐνασχολήσεις· διότι τοῦτο [ἀκριβῶς] εἶναι «τὸ ἀπαρνή-

γάρ ἐστι, τὸ ἀπαρνήσασθαι ἑαυτόν[149]. *Ὥστε ἰδίῳ θελήματι ἕκαστος τῆς βασιλείας ἐκβάλλεται· τῷ μὴ ἐξ ἀληθείας ἑλέσθαι τοὺς πόνους καὶ ἑαυτὸν ἀπαρνήσασθαι, ἀλλὰ ἐθέλειν ἔτι πρὸς ἐκείνῳ τῷ θεϊκῷ πόθῳ καί τισι τοῦ αἰῶνος τούτου συνήδεσθαι καὶ μὴ τὴν ῥοπὴν ὅλην τοῦ ἰδίου θελήματος τῷ Θεῷ διδόναι. Δι᾽ ἑνὸς δὲ ὑποδείγματος γνώρισμα ἔσται τῷ μετὰ χεῖρας· διακρίνων μὲν γὰρ διακρίνει ἕκαστος καὶ οὐ λέληθεν ἑαυτόν, ὅτι ἄτοπόν ἐστι τόδε τυχόν, ὅπερ ὥρμηται ποιῆσαι· πρῶτον μὲν γὰρ εἴσω κατὰ τὴν καρδίαν ἐπισημαίνεται ἡ ἀμφιβολία· ἡ στάθμη τε καὶ ὁ ζυγὸς τῷ ἑκάστου συνειδότι, φανεράν πρότερον τῆς τε τοῦ Θεοῦ καὶ τῆς τοῦ κόσμου ἀγάπης τὴν ῥοπὴν ἔνδον ποιεῖ, καὶ τότε περὶ τὰ ἔξω πρόεισι. Διακρίνων γὰρ ὡς εἴρηται, διακρίνει ἕκαστος, οἷον εἰ τύχοι τῷ ἀδελφῷ διαπληκτιζόμε-*

σασθαι ἑαυτόν». Ὥστε, μὲ τὴν δική του θέλησι ὁ καθένας ἀποβάλλεται ἀπὸ τὴν Βασιλεία [τῶν Οὐρανῶν]. Ὅποιος [δηλαδὴ] δὲν ἐπέλεξε ἀληθινὰ τοὺς κόπους καὶ τὸ νὰ ἀπαρνηθῇ τὸν ἑαυτόν του, ἀλλὰ θέλει ἀκόμη, μαζὶ μὲ ἐκεῖνον τὸν πόθο γιὰ τὸν Θεό, νὰ εὐχαριστῆται ταυτόχρονα καὶ μὲ κάποιες γήϊνες [ἀπολαύσεις] καὶ νὰ μὴν προσφέρῃ ὁλοκληρωτικὰ τὸ θέλημά του στὸν Θεό. [Εἶναι δυνατὸν] δὲ αὐτό, γιὰ τὸ ὁποῖο κάνουμε λόγο, νὰ γίνῃ γνωστὸ μὲ ἕνα παράδειγμα. Ὅταν καθένας ἐξετάζῃ [τὰ πράγματα, τὰ] διακρίνει καὶ δὲν τοῦ διαφεύγει, ὅτι ἐνδεχομένως εἶναι ἄτοπο αὐτό, ποὺ πάει νὰ κάνῃ. Διότι πρῶτα μὲν ἐσωτερικὰ στὴν καρδία του αἰσθάνεται τὴν ἀμφιβολία· καὶ τὰ σταθμὰ καὶ ἡ ζυγαριὰ τῆς συνειδήσεως τοῦ καθενὸς φανερώνουν ποῦ πρῶτα κλίνει ἡ ἐσωτερικὴ διάθεσι [τῆς καρδίας] του, [εἴτε] πρὸς τὸ μέρος τῆς ἀγάπης τοῦ Θεοῦ εἴτε τοῦ κόσμου, καὶ τότε ἐκδηλώνεται [καὶ] ἐξωτερικά. Ἐπειδή, ὅταν ὁ καθένας ἐξετάζῃ προσεκτικά, ὅπως ἔχει λεχθῆ, διακρίνει [καθαρά], ὅπως [γιὰ παράδειγμα] ἐὰν τύχῃ νὰ διαπληκτισθῆ μὲ ἕναν

νος, στασιάζει πρὸς ἑαυτὸν πρῶτον, καὶ ἀντιτίθησιν, εἴπω; ἀλλὰ μὴ εἴπω; ἀντιφθέγξομαι πρὸς ταυτί μοι τὰ ἐπενεχθέντα ὀνείδη; ἀλλὰ σιωπήσομαι μᾶλλον; ἐχόμενος μὲν καὶ τῶν τοῦ Θεοῦ ἐντολῶν, πλὴν ἀλλὰ καὶ τῆς ἰδίας δόξης οὐκ ἀπεχόμενος, οὐδὲ παντάπασιν ἑαυτὸν ἑλόμενος ἀπαρνήσασθαι. Εἰ οὖν καὶ μικρὸν ἡ ῥοπὴ τῆς τοῦ κόσμου φιλίας τὸν ἐν τῇ καρδίᾳ ζυγὸν καθελκύσειεν, εὐθὺς ὁ πονηρὸς λόγος πρόεισι ἄχρι καὶ τῶν χειλέων· εἶθ᾽ οὕτως, ὡσπερεὶ τόξον ἐντεινάμενος ὁ νοῦς ἔνδοθεν, βάλλει τὸν πλησίον διὰ τῆς γλώττης καὶ μέχρι χειρῶν, ἔστι δ᾽ ὅτε καὶ τραυμάτων, ἀλλὰ καὶ αὐτοῦ φόνου, τὸ κακὸν πρόεισιν. Ἔξεστι τοίνυν καὶ παραθεωρεῖν, ὅθεν ἀρξάμενον, οἷ προέβη δεινοῦ τὸ βραχὺ τοῦτο κίνημα τῆς ψυχῆς· οὕτω νόει μοι καὶ εἰς ἓν ἕκαστον συμβαίνειν ἁμάρτημά τε καὶ ἐπιτήδευμα, τῆς κακίας κολακευούσης τε καὶ

ἀδελφό, συγκρούεται μέσα του πρῶτα μὲ τὸν ἑαυτό του καὶ ἀντιστέκεται, νὰ μιλήσω; ἀλλὰ [μήπως] νὰ μὴ μιλήσω; νὰ ἀντιμιλήσω [ἀπαντώντας] στὰ ὑβριστικὰ λόγια ἐναντίον μου; ἀλλὰ καλλίτερα νὰ σιωπήσω; [ἔτσι] τηρεῖ μὲν καὶ τὶς ἐντολὲς τοῦ Θεοῦ, ἀλλὰ καὶ δὲν ἐγκαταλείπει καὶ τὴν ἰδική του γνώμη, οὔτε ἐπιλέγει νὰ ἀπαρνηθῇ ἐντελῶς τὸν ἑαυτό του. Ἐάν, λοιπόν, ἔστω καὶ λίγο ἡ ἀγαπητικὴ διάθεσι γιὰ τὸν κόσμο ἑλκύσῃ [πρὸς τὸ μέρος της] τὴν ζυγαριὰ τῆς καρδίας, ἀμέσως ὁ κακὸς λόγος προχωρεῖ μέχρι καὶ τὰ χείλη· ἔτσι ἀκολούθως ὁ νοῦς, ὅπως ἀκριβῶς ἕνα τόξο, τεντώνεται ἀπὸ μέσα [καὶ] βάλλει ἐναντίον τοῦ πλησίον μὲ τὴν γλῶσσα καὶ [κατόπιν] τὸ κακὸ προχωρεῖ μέχρι τὰ χέρια, καμμιὰ φορὰ συμβαίνει [νὰ φθάνῃ] καὶ σὲ τραυματισμοὺς ἀλλὰ καὶ σ᾽ αὐτὸν τὸν φόνο. Πρέπει λοιπὸν νὰ ἐξετάζωμε, ἀπὸ ποῦ ἄρχισε καὶ σὲ ποιὸ σημεῖο κακίας κατέληξε ἡ μικρὴ αὐτὴ κίνησι τῆς ψυχῆς. Ἔτσι λοιπὸν κατανόησέ με [λέγει ὁ Ἅγιος], ὅτι συμβαίνει καὶ σὲ κάθε ἁμάρτημα καὶ πρᾶξι, ὅταν ἡ κακία κολα-

περισαινούσης τὸ θέλημα τῆς ψυχῆς ἐπιθυμίαις κοσμικαῖς καὶ σαρκὸς ἡδοναῖς. Οὕτως ἀπαρτίζεται μοιχεία, οὕτω κλοπή, οὕτω πλεονεξία, οὕτω καὶ κενοδοξία, οὕτω πᾶν ὁτιοῦν πονηρόν.

νς΄. Καὶ αὐτὰ τὰ καλὰ πολλάκις ἐπιτηδεύματα διὰ κενὴν δόξαν ἐπιτελεῖται· ὅπερ ἴσον κλοπῆς τε καὶ ἀδικίας καὶ τῶν ἄλλων τῶν μεγάλων ἁμαρτημάτων τῷ Θεῷ κρίνεται· Θεὸς γάρ, φησί, διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων[150]. Ὥστε καὶ δι᾽ αὐτῶν τῶν καλῶν ὑπηρετεῖσθαι καὶ θεραπεύεσθαι ὁ ἐχθρὸς βούλεται, ἀπατηλὸς ὢν ἐκεῖνος καὶ ποικίλος καὶ σκολιός τε καὶ πολυμήχανος.

νζ΄. Ὅπερ τις ἐφίλησε τοῦ παρόντος κόσμου, τοῦτο δὴ καὶ βαρύνει τὴν ἐκείνου διάνοιαν καὶ οἱονεὶ κάτω καθέλκει καὶ συνωθεῖ καὶ ἀνακῦψαι αὐτὴν οὐκ ἀνίησι. Τῶν γὰρ τοιούτων τὸ στάθμιόν τε καὶ ἡ ῥοπὴ καὶ τὸ ζύγιον τοῦ θελήματος, τῆς καρδίας ὥσπερ,

κεύῃ καὶ θωπεύῃ τὸ θέλημα τῆς ψυχῆς μὲ κοσμικὲς ἐπιθυμίες καὶ σαρκικὲς ἡδονές. Κατὰ τὸν ἴδιο τρόπο φθάνει νὰ διαπράττεται ἡ μοιχεία, ἔτσι ἡ κλοπή, ἔτσι ἡ πλεονεξία, ἔτσι καὶ ἡ κενοδοξία, ἔτσι [καὶ] τὸ ὁποιοδήποτε κακό.

56. Καὶ αὐτὰ τὰ καλὰ ἔργα πολλὲς φορὲς γίνονται γιὰ κενοδοξία· τὸ ὁποῖο κρίνεται ἀπὸ τὸν Θεὸ ἴσο καὶ μὲ τὴν κλοπὴ καὶ τὴν ἀδικία καὶ τὰ ἄλλα μεγάλα ἁμαρτήματα· διότι, λέγει [ἡ Γραφή], «ὁ Θεὸς διασκόρπισε τὰ ὀστᾶ τῶν ἀνθρωπαρέσκων». Ὥστε καὶ μὲ αὐτὰ τὰ καλὰ ἔργα ἐπιθυμεῖ [καὶ ἐπιδιώκει] ὁ ἐχθρὸς νὰ ὑπηρετῆται καὶ νὰ λατρεύεται, ἐπειδὴ αὐτὸς εἶναι ἀπατεώνας καὶ πανοῦργος καὶ διεστραμμένος καὶ πολυμήχανος.

57. Ἐκεῖνο, τὸ ὁποῖο ἀγάπησε κανεὶς ἀπὸ αὐτὸν τὸν κόσμο, αὐτὸ λοιπὸν ἐπιβαρύνει καὶ τὴν διάνοιά του καὶ τρόπον τινὰ τὴν σύρει πρὸς τὰ κάτω καὶ τὴν πιέζει καὶ δὲν τὴν ἀφήνει νὰ σηκωθῇ πρὸς τὰ πάνω. Διότι αὐτῶν τῶν ἀνθρώπων τὰ σταθμὰ καὶ ἡ κλίσι καὶ ἡ ζυγαριὰ τῆς θελήσεως [εἶναι] σὰν νὰ κρέμωνται ἀπὸ τὴν καρ-

ἐξήρτηται, καὶ βάσανος ἔνθεν γίνεται παντὶ τῷ ἀνθρωπίνῳ γένει καὶ δοκιμή, ἤτοι τῶν ἐν πόλεσιν οἰκούντων Χριστιανῶν ἢ τῶν ἐν ὄρεσι, τῶν ἐν μοναῖς ἢ ἐν ἀγροῖς ἢ ἐν ἐρημίαις, ὅτι ἑκών τις δελεαζόμενος ὑφ' οὗπερ φιλεῖ, δῆλός ἐστιν οὔπω τὴν ἀγάπην αὐτοῦ ὅλην παραδοὺς τῷ Θεῷ. Οἷον, ἠγάπησέ τις, εἰ τύχοι κτήματα, χρυσίον ἄλλος, ἕτερος τὸ γαστρὶ δουλεύειν, ἢ ἐπιθυμίαις ταῖς τῆς σαρκὸς χαρίζεσθαι, ἄλλος σοφίαν λόγων διὰ δόξαν ἐπίκαιρον· ὁ μὲν ἀρχήν, ὁ δὲ τὰς ἐξ ἀνθρώπων τιμάς, ὀργὴν ἄλλος καὶ μῆνιν· τὸ γὰρ ἔκδοτον ἑαυτὸν παρασχεῖν τῷ πάθει, φιλῶν αὐτῷ φαίνεται· ἕτερος ὁμιλίας εἰς οὐδὲν δέον· ἄλλος, ἁπλῶς τὸ μετεωρίζεσθαι ἢ λόγοις προσέχειν ἀργοῖς ἢ τὸ διδάσκαλος εἶναι, καὶ τοῦτο διὰ δόξαν τὴν ἐξ ἀνθρώπων. Καὶ ὁ μὲν χαυνώσει καὶ ἀμελείᾳ πρόσκειται, ὁ

διά τους καὶ ἀπὸ ἐδῶ γίνεται καὶ ὁ ἔλεγχος καὶ ἡ ἐξέτασι γιὰ ὅλο τὸ ἀνθρώπινο γένος, δηλαδὴ τῶν Χριστιανῶν ποὺ κατοικοῦν στὶς πόλεις, ἢ στὰ ὄρη, ἢ στὶς Μονές, ἢ στοὺς ἀγρούς, ἢ στὶς ἐρήμους, γιατὶ ἂν κάποιος μὲ τὴν θέλησί του δελεάζεται ἀπὸ ἐκεῖνο ποὺ ἀγαπᾶ, εἶναι φανερό, ὅτι ἀκόμη δὲν ἔχει παραδώσει ὅλη τὴν ἀγάπη του στὸν Θεό. Γιὰ παράδειγμα, ἀγάπησε κάποιος, ἂς ποῦμε, τὰ κτήματα, ἄλλος τὸν χρυσό, ἄλλος τὴν κοιλιοδουλεία ἢ τὸ νὰ χαρίζῃ τὸν ἑαυτό του στὶς ἐπιθυμίες τῆς σάρκας, ἄλλος τὴν σοφία στὸν λόγο γιὰ πρόσκαιρη δόξα· ἄλλος μὲν τὴν ἐξουσία, ἄλλος δὲ τὶς τιμὲς ἀπὸ τοὺς ἀνθρώπους, ἄλλος τὴν ὀργὴ καὶ τὴν μνησικακία. Διότι τὸ νὰ παραδώσῃ κανεὶς τὸν ἑαυτό του στὸ πάθος, φαίνεται ὅτι τὸ ἀγαπᾶ. Ἄλλος [ἀγάπησε] τὶς ἀνώφελες συνομιλίες· ἄλλος γενικὰ [νὰ ἀφήνῃ τὸν νοῦ του] νὰ μετεωρίζεται, ἢ νὰ δίνῃ προσοχὴ σὲ μάταιους λόγους ἢ νὰ κάνῃ τὸν δάσκαλο [στοὺς ἄλλους], καὶ αὐτὸ γιὰ νὰ δοξάζεται ἀπὸ τοὺς ἀνθρώπους. Καὶ ἄλλος μὲν κλίνει πρὸς τὴν χαύνωσι καὶ τὴν ἀμέλεια, ἄλλος δὲ εὐχαριστεῖ-

δὲ ἱματίων καλλωπισμοῖς ἥδεται· οὗτος ὕπνῳ, ἐκεῖνος εὐτραπελίᾳ· καὶ ἄλλος μικρῷ τινι ἢ μεγάλῳ τοῦ κόσμου δέδεται καὶ κατέχεται καὶ οὐκ ἀνίεται ἀνακῦψαι. Πρὸς ὃ γὰρ πάθος οὐ διαμάχεταί τις γενναίως οὐδὲ ἀντικαθίσταται, ἐκείνῳ πάντως καὶ ἥδεται· κἀκεῖνο κατέχον αὐτὸν καὶ καθέλκον οἱονεὶ δεσμός τις καὶ κύφων τῆς διανοίας αὐτοῦ γίνεται, τοῦ μὴ πρὸς Θεὸν ἀναφέρεσθαι, μηδ᾽ αὐτῷ μόνῳ λατρεύειν[151]*. Ψυχὴ γὰρ ἡ ἀληθῶς πρὸς Κύριον τὴν ὁρμὴν ἀπευθύνασα, πᾶσαν αὐτῷ τὴν ἔφεσιν ἐπιτρέπει, αὐτή τε ἑαυτῆς ἔξαρνος γίνεται καὶ τοῦ ἰδίου νοὸς τοῖς θελήμασιν οὐκ ἀκολουθεῖ.*

νη΄. Διδακτέον ἐκ παραδείγματος, πῶς θελήματι ἰδίῳ παραπόλλυται ἄνθρωπος· διὰ γὰρ ἀγάπην τινὸς τῶν τοῦ κόσμου, ἔν τε πυρὶ βάλλεται καὶ ἐν

ται νὰ στολίζεται μὲ ὡραῖα] ἐνδύματα· αὐτὸς μὲ τὸν ὕπνο, ἐκεῖνος μὲ τὴν ἀστειολογία· καὶ ἄλλος δένεται μὲ κάποιο μικρὸ ἢ μεγάλο [πρᾶγμα] τοῦ κόσμου καὶ κυριεύεται καὶ δὲν ἔχει τὴν εὐχέρεια νὰ σηκωθῆ πρὸς τὰ πάνω [ἀπὸ τὴν πτῶσι]. Διότι πρὸς ὅποιο πάθος κανεὶς δὲν πολεμᾶ μὲ γενναιότητα, οὔτε τοῦ ἀντιστέκεται, μὲ ἐκεῖνο ὁπωσδήποτε εὐχαριστεῖται. Καὶ ἐκεῖνο τὸ πάθος, ὅταν τὸν κυριεύῃ καὶ τὸν παρασύρῃ, τοῦ γίνεται [πλέον] σὰν ἁλυσίδα ποὺ τὸν δένει, καὶ σὰν κυρτὸ ξύλο[δ'] [ἐπάνω] στὸν νοῦ, [ποὺ τὸν κρατᾶ σκυμμένο πρὸς τὰ κάτω, ὥστε] νὰ μὴν ἀνυψώνεται πρὸς τὸν Θεό, μήτε μόνον Αὐτὸν νὰ λατρεύῃ. Διότι, ἡ ψυχὴ ποὺ ἀληθινὰ κατευθύνει τὴν ὁρμή της πρὸς τὸν Κύριο, πρὸς Αὐτὸν στρέφει ὅλη τὴν ἐπιθυμία της καὶ αὐτὴ [πλέον] ἀπαρνεῖται τὸν ἑαυτό της καὶ δὲν ἀκολουθεῖ τὰ θελήματα τοῦ νοῦ της.

58. Ἂς διδαχθοῦμε μὲ ἕνα παράδειγμα, πῶς χάνεται τελείως ὁ ἄνθρωπος μὲ τὴν θέλησί του· γιὰ τὴν ἀγάπη βεβαίως κάποιου ἐκ τῶν [πραγμάτων] τοῦ κόσμου καὶ στὴν φωτιὰ ρίχνε-

θαλάσσῃ βυθίζεται καὶ αἰχμαλωσίᾳ ἑαυτὸν ἐμπαρέχει. Ὑποκείσθω γὰρ οἶκόν τινος ἢ ἀγρόν, οὕτω συμβάν, καταπίμπρασθαι. Ὁ τοίνυν ἑαυτὸν περισῶσαι βουλόμενος, ὡς τοῦ ἐμπρησμοῦ ᾔσθετο, γυμνὸς ἐκπέφευγε πάντων ἀμελήσας τῶν ἔνδον καὶ τῆς ἑαυτοῦ μόνης ψυχῆς γενόμενος. Ἕτερος δὲ εἰς νοῦν αὐτῷ ἐπελθὸν καί τινα τῶν σκευῶν ἐξελεῖν, ὑπέμεινεν ἆραι· καὶ ὡς ἐν τῷ λαμβάνειν αὐτὸς ἦν, κατακρατῆσαν ἤδη τῆς οἰκίας τὸ πῦρ, καὶ αὐτὸν συνέλαβε καὶ κατέκαυσεν. Ὁρᾷς, ὅπως ἰδίῳ θελήματι, φιλίᾳ τινὸς τῶν προσκαίρων, ὃ παρ᾽ ἑαυτὸν φαίνεται ἀγαπήσας, τῷ πυρὶ παραπώλετο; Ἑτέρων πάλιν ναυαγίῳ περιπεσόντων, ὁ μὲν σώζειν ἑαυτὸν βουλόμενος, ἀποδύεται καὶ γυμνὸς τοῖς ὕδασιν ἐπαφίεται· καὶ οὕτω δυνατὸν αὐτῷ γίνεται τὴν ἰδίαν περισῶσαι ψυχήν. Ὁ δὲ καὶ τῶν ἐνδυμάτων συνδιασῶσαί τινα θελήσας, ὑπὸ τῶν ὑδάτων

ται [κανεὶς] καὶ στὴν θάλασσα βυθίζεται καὶ σὲ αἰχμαλωσία [ὁ ἴδιος] τὸν ἑαυτόν του παραδίδει. Διότι, ἂς ὑποθέσωμε, ὅτι συμβαίνει νὰ πιάσῃ φωτιὰ τὸ σπίτι κάποιου ἢ τὸ χωράφι. Ἐκεῖνος, λοιπόν, ποὺ θέλει νὰ σώσῃ τὸν ἑαυτό του, μόλις ἀντιλήφθηκε τὴν πυρκαϊά, [ἀμέσως] διέφυγε γυμνός, ἀφοῦ ἀδιαφόρησε γιὰ ὅλα τὰ [πράγματα] μέσα [στὸ σπίτι] καὶ μόνο φρόντισε [νὰ σώσῃ] τὴν ζωή του. Κάποιος ἄλλος ὅμως, ποὺ ἔκανε τὸν λογισμὸ νὰ βγάλῃ ἔξω μερικὰ ἀπὸ τὰ σκεύη, παρέμεινε νὰ τὰ πάρῃ· καὶ ἐνῶ τὰ μάζευε νὰ τὰ πάρῃ, ἀφοῦ ἡ φωτιὰ κυρίευσε ὅλο τὸ σπίτι, καὶ αὐτὸν περικύκλωσε καὶ κατέκαυσε. Βλέπεις [λοιπόν], ὅτι μὲ τὴν θέλησί του, λόγῳ τῆς ἀγάπης του γιὰ κάτι ἐφήμερο, τὸ ὁποῖο φαίνεται νὰ ἀγάπησε παραπάνω ἀπὸ τὸν ἑαυτό του, χάθηκε μέσα στὴ φωτιά; Ἀπὸ ἄλλους, πάλι, ποὺ περιέπεσαν σὲ ναυάγιο, αὐτὸς μὲν ποὺ ἤθελε νὰ σώσῃ τὸν ἑαυτόν του, βγάζει τὰ ροῦχα του καὶ ἀφήνεται [νὰ πέσῃ] γυμνὸς στὰ νερά· καὶ ἔτσι, καταφέρνει νὰ διασώσῃ τὴν ζωή του. Αὐτὸς ὅμως, ποὺ θέλει νὰ διασώσῃ καὶ μερικὰ ἀπὸ τὰ ροῦχα του, καταποντί-

κατεβαπτίσθη καὶ διὰ βραχύ τι κέρδος, ὢ τῆς συμφορᾶς, καὶ ἑαυτὸν συναπώλεσεν. Καὶ πάλιν, ὑποκείσθω καὶ ἐχθρῶν τινὰ ἔφοδον κατηγγέλθαι, καὶ τὸν μέν, ἅμα τε ἀκοῦσαι, καὶ εὐθύς, ὡς εἶχε ποδῶν, ἐκφυγεῖν, μὴ μελῆσαν αὐτῷ τῶν ὄντων μηδενός· τὸν δέ, διαπιστήσαντα, ἢ καὶ τῶν πραγμάτων τινὰ βουληθέντα συνεκκομίσαι, εἶτα ἐφυστερήσαντα, συλληφθῆναι καταλαβόντων τῶν πολεμίων. Ὁρᾷς, ὅτι θελήματί τις ἰδίῳ δι᾽ ἀμέλειαν καὶ τὸ προσηλῶσθαί τισι τῶν τοῦ κόσμου, τήν τε τοῦ σώματος καὶ τὴν τῆς ψυχῆς ἀπώλειαν ὑπομένει;

νθ´. Ὀλίγοι μὲν ἀτεχνῶς οἱ τελείαν τὴν πρὸς Θεὸν ἀγάπην κτησάμενοι, πάσας τε ἡδονὰς τοῦ κόσμου καὶ τὰς ἐπιθυμίας τὸ μηδὲν λογιζόμενοι, καὶ τοὺς τοῦ πονηροῦ πειρασμοὺς φέροντες μακροθύμως. Πλὴν οὐ παρὰ τοῦτο ἀπογνωστέον, οὐδὲ τῆς ἀγαθῆς ἐλπίδος ἀμελητέον. Κἂν γὰρ

σθηκε μέσα στὰ νερά, καὶ διὰ τὸ μικρὸ αὐτὸ κέρδος – τί συμφορά! – ἔχασε μαζὶ [μὲ αὐτὰ] καὶ τὴν ζωή του. Καὶ πάλι, ἂς ὑποθέσωμε, ὅτι ἀναγγέλεται ἡ εἴδησι γιὰ κάποια ἐπίθεσι ἐχθρῶν, καὶ ὁ ἕνας μέν, μόλις τὸ ἄκουσε, ἀμέσως τὸ ἔβαλε στὰ πόδια, ὅπως ἦταν, χωρὶς νὰ ἐνδιαφερθῇ γιὰ τίποτε ἀπὸ τὰ ὑπάρχοντά του· ὁ ἄλλος δέ, ἐπειδὴ δὲν [τὸ] πίστεψε, ἢ καὶ [ἴσως] γιατὶ ἤθελε νὰ πάρῃ μαζί του μερικὰ ἀπὸ τὰ πράγματά του, ἀφοῦ κατόπιν καθυστέρησε, συνελήφθη, ἐπειδὴ ἐν τῷ μεταξὺ ἔφθασαν οἱ ἐχθροί. Βλέπεις [λοιπόν], ὅτι μὲ τὴν θέλησί του κανείς, ἀπὸ ἀμέλεια καὶ προσκόλλησι σὲ μερικὰ ἀπὸ [τὰ πράγματα] τοῦ κόσμου, φθάνει σὲ ἀπώλεια καὶ τοῦ σώματος καὶ τῆς ψυχῆς του;

59. Εἶναι μὲν λίγοι [αὐτοί], ποὺ ἀπέκτησαν πράγματι τὴν τέλεια ἀγάπη πρὸς τὸν Θεό, καὶ θεωροῦν μηδαμινὲς ὅλες τὶς ἡδονὲς καὶ τὶς ἐπιθυμίες τοῦ κόσμου καὶ ὑπομένουν τοὺς πειρασμοὺς τοῦ πονηροῦ μὲ μακροθυμία. Ἀλλὰ [ὅμως], δὲν πρέπει γι᾽ αὐτὸ νὰ ἀπελπιστοῦμε, οὔτε νὰ ἀδιαφορήσωμε γιὰ τὴν ἀγαθὴ ἐλπίδα [τῆς σωτηρίας μας]. Διότι,

πολλὰ τῶν πλοίων ὑπομένη ναυάγιον, ἀλλ᾽ εἰσὶ πάντως ἃ καὶ διαπερῶντα τοῦ λιμένος ἐπιλαμβάνεται. Διὰ τοῦτο πίστεως ἡμῖν πολλῆς, ὑπομονῆς τε καὶ προσοχῆς καὶ ἀγώνων χρεία· πρὸς δὲ πείνης τε καὶ δίψης τοῦ ἀγαθοῦ κατὰ πολλὴν σύνεσιν καὶ διάκρισιν· οὐ μήν, ἀλλὰ καὶ ὀξύτητός τε καὶ ἀναιδείας περὶ τὴν αἴτησιν. Οἱ γὰρ πλείους τῶν ἀνθρώπων, ὥσπερ προέφημεν, καμάτων ἄνευ καὶ ἱδρώτων τῆς βασιλείας ἐπιτυχεῖν βούλονται· καὶ τοὺς μὲν ἁγίους μακαρίζουσιν ἄνδρας καὶ τῆς τιμῆς αὐτῶν καὶ τῶν χαρισμάτων ἐπιθυμοῦσι, τῶν ἴσων δὲ θλίψεων αὐτοῖς, τῶν πόνων τε καὶ τῶν παθημάτων, οὐ βούλονται κοινωνεῖν. Τούτου δὲ πάντες, καὶ πόρναι καὶ τελῶναι καὶ πᾶς τις ἀνθρώπων ἐπιθυμεῖ, ἀλλὰ διὰ τοῦτο πειρασμοὶ πρόκεινται καὶ δοκιμασίαι· ἵνα δῆλοι γένωνται, τίνες οἱ πρὸς ἀλήθειαν τὸν ἑαυτῶν ἠγάπησαν Δεσπότην, καὶ δικαί-

ἂν καὶ πολλὰ ἀπὸ τὰ πλοῖα ναυαγοῦν, ἀλλὰ ὑπάρχουν πάντως καὶ ἐκεῖνα, τὰ ὁποῖα διαπλέοντας [τὴ θάλασσα] φθάνουν στὸ λιμάνι. Γι᾽ αὐτὸ ἔχομε ἀνάγκη ἀπὸ πολλὴ πίστι καὶ ὑπομονὴ καὶ προσοχὴ καὶ ἀγῶνες· ἀκόμη δὲ καὶ ἀπὸ πεῖνα καὶ δίψα τοῦ καλοῦ μὲ μεγάλη σύνεσι καὶ διάκρισι· [καὶ] ὄχι μόνο, ἀλλὰ καὶ [ἀνάγκη] ἀπὸ πολλὴ ἔντασι καὶ θάρρος στὴν προσευχή. Διότι, οἱ περισσότεροι ἀπὸ τοὺς ἀνθρώπους, ὅπως προείπαμε, θέλουν νὰ ἐπιτύχουν τὴν Βασιλεία [τῶν Οὐρανῶν] χωρὶς κόπους καὶ ἱδρῶτες· καὶ τοὺς μὲν Ἁγίους ἄνδρες μακαρίζουν καὶ ὀρέγονται τὴν τιμὴ καὶ τὰ χαρίσματά τους, ἀλλὰ νὰ μετέχουν σὲ ἴσες μὲ αὐτοὺς θλίψεις καὶ κόπους καὶ παθήματα [καθόλου] δὲν θέλουν. Τοῦτο, [δηλαδὴ τὴ Βασιλεία τῶν Οὐρανῶν], ὅλοι καὶ οἱ πόρνες καὶ οἱ τελῶνες καὶ ὁ κάθε ἄνθρωπος ἐπιθυμεῖ, ἀλλὰ γι᾽ αὐτὸ ὑπάρχουν οἱ πειρασμοὶ καὶ οἱ δοκιμασίες· γιὰ νὰ φανερώνωνται ποιοὶ ἀπὸ αὐτοὺς ἀγάπησαν ἀληθινὰ τὸν Δεσπότη τους, καὶ [ἔτσι] δίκαια αὐτοὶ θὰ ἐπιτύχουν [νὰ

ως οὗτοι τῆς τῶν οὐρανίων ἐπιτύχωσι βασιλείας.

ξ΄. Ταῖς θλίψεσι καὶ τοῖς παθήμασι, τῇ ὑπομονῇ τε καὶ πίστει, ἐγκεκρύφθαι νόμιζε τὰς ἐπαγγελίας, αὐτήν τε τὴν δόξαν καὶ τὴν τῶν οὐρανίων ἀγαθῶν ἀπόληψιν. Ἐπεὶ καὶ τὸν ῥιπτόμενον τῇ γῇ σίτον, ἢ καὶ τὸ δένδρον, φημί, τὸ ἐγκεντριζόμενον, ἀνάγκη σήψει πρότερον καὶ ἀτιμίᾳ δῆθεν ὑποπεσεῖν, καὶ οὕτω τὴν εὐπρέπειαν τοῦ ἐνδύματος καὶ τὸν πολλαπλάσιον καρπὸν ἀπολαβεῖν. Εἰ μὴ γὰρ διὰ τῆς σήψεως ταύτης, κἀκείνων τῶν ὥσπερ ἀτίμων διελθεῖν αὐτοῖς γένονεν, οὐκ ἂν τὴν ἐσχάτην εὐπρέπειαν καὶ τὸ τῆς θέας κάλλος περιεβάλλοντο. Τοῦτο δὲ καὶ τῷ Ἀποστόλῳ δοκεῖ· διὰ πολλῶν, γάρ, φησί, θλίψεων δεῖ ἡμᾶς εἰς τὴν βασιλείαν τοῦ Θεοῦ εἰσελθεῖν[152]. Καὶ ὁ Κύριος· ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθαι τὰς ψυχὰς ἡμῶν[153]. Καὶ πάλιν· ἐν τῷ κόσμῳ θλῖψιν ἕξετε[154].

κληρονομήσουν] τὴν Βασιλεία [τῶν Οὐρανῶν].

60. Γνώριζε, ὅτι μέσα στὶς θλίψεις καὶ στὰ παθήματα καὶ στὴν ὑπομονὴ καὶ τὴν πίστι εἶναι κρυμμένες οἱ ὑποσχέσεις [τοῦ Θεοῦ], [ὅπως] καὶ αὐτὴ ἡ δόξα καὶ ἡ ἀπόκτησι τῶν οὐρανίων ἀγαθῶν. Ἐπειδὴ καὶ τὸ σιτάρι ποὺ ρίχνεται [γιὰ σπόρος] στὴν γῆ, ἢ καὶ τὸ δένδρο, λέγω, ποὺ κεντρώνεται [μὲ τὸ μπόλιασμα], εἶναι ἀνάγκη νὰ περάσῃ πρῶτα ἀπὸ τὴν σῆψι καὶ τὴν ἐξουδένωσι κατὰ κάποιο τρόπο καὶ ἔτσι νὰ ἀπολαύσωμε τὴν ὀμορφιὰ τῆς στολῆς τους, [τὰ φύλλα καὶ τὰ ἄνθη] καὶ τὸν πολλαπλάσιο καρπό τους. Ἂν ὅμως δὲν εἶχαν [προηγουμένως] περάσει ἀπὸ αὐτὴ τὴν σῆψι καὶ ἀπὸ ἐκείνη τὴν φαινομενικὴ ἀτιμία, δὲν θὰ εἶχαν περιβληθῆ τὴν ὡραιοτάτη ἐμφάνισι καὶ τὴν ὀμορφιὰ τῆς ὄψεώς τους. Αὐτὸ πιστεύει καὶ ὁ Ἀπόστολος: «Μέσα λοιπὸν ἀπὸ πολλὲς θλίψεις, λέγει, πρέπει νὰ εἰσέλθωμε στὴν Βασιλεία τοῦ Θεοῦ». Καὶ ὁ Κύριος [λέγει]: «Μὲ τὴν ὑπομονὴ θὰ κερδίσετε [τὴν σωτηρία] τῶν ψυχῶν σας». Καὶ πάλι: «Στὸν κόσμο θὰ ἔχετε θλίψεις».


ξα΄. Ἕκαστος ἡμῶν, ὅσουπερ ἂν καταξιωθείη τῇ τε πίστει καὶ τῇ σπουδῇ μέτοχος Ἁγίου γενέσθαι Πνεύματος, τοσοῦτον ἐπ᾽ ἐκείνης τῆς ἡμέρας δοξασθήσεται αὐτοῦ καὶ τὸ σῶμα. Ὃ γὰρ νῦν ἔνδον ἀπεθησαύρισε τῇ ψυχῇ, τότε καὶ ἐκτός, ἐπὶ τοῦ σώματος, ἀποκαλυφθήσεται. Καὶ τὸ παράδειγμά φησιν ἐκ τῶν δένδρων· χειμῶνος γὰρ παρελθόντος καὶ ἡλίου φαιδρότερόν τε καὶ ἀκμαιότερον ἐπιλάμψαντος, ὡς δὲ καὶ ἀνέμων ἐπιπνευσάντων, ἔσωθεν ἐκεῖνα ἐκφύει καὶ ὡς ἔνδυμα τὰ φύλλα τε καὶ τὰ ἄνθη καὶ τοὺς καρποὺς περιβάλλεται· παραπλησίως δὲ καὶ τὸ τοῦ χόρτου ἄνθος κατ᾽ ἐκεῖνο καιροῦ, τῶν κόλπων τῆς γῆς ἀναδίδοται καὶ σκέπεται τούτοις ἡ γῆ καὶ ὡς εὐπρεπὲς αὐτὰ περιβόλαιον ἀμφιέννυται· περὶ ὧν καὶ ὁ τοῦ Θεοῦ λόγος, οὐδὲ Σολομῶντα οὕτως ἓν τούτων περιβάλλεσθαι ἔφη, διὰ πάσης αὐτοῦ τῆς δόξης[155]*. Ταῦτα γὰρ πάντα τύποι καὶ ὑποδείγματα καὶ*

61. Ὅσο ἀξιωθῇ κάθε ἕνας ἀπὸ ἐμᾶς καὶ μὲ τὴν πίστι καὶ μὲ τὴν ἐπιμελημένη ἄσκησι, νὰ γίνῃ μέτοχος τοῦ Ἁγίου Πνεύματος, τόσο σὲ ἐκείνη τὴν ἡμέρα [τῆς Κρίσεως] θὰ δοξασθῇ καὶ τὸ σῶμα αὐτοῦ. Διότι ἐκεῖνο, τὸ ὁποῖο ἀποθησαύρισε σὲ αὐτὸν τὸν κόσμο μέσα στὴν ψυχή του, τότε καὶ ἐξωτερικὰ θὰ ἐκδηλωθῇ καὶ στὸ σῶμα του. Καὶ τὸ παράδειγμα λέγει [τὸ παίρνομε] ἀπὸ τὰ δένδρα· διότι, ὅταν περάσῃ ὁ χειμώνας καὶ ὁ ἥλιος λάμψῃ λαμπρότερος καὶ ἐντονώτερος, ἀκόμη δὲ καὶ ὅταν πνεύσουν οἱ ἄνεμοι [εὐνοϊκοί], [τότε] ἀπὸ μέσα τους βγάζουν ἐκεῖνα [τὰ βλαστάρια] καὶ φορᾶνε ὡς ἔνδυμα καὶ τὰ φύλλα καὶ τὰ ἄνθη καὶ τοὺς καρπούς. Παραπλήσια ἐπίσης, τὸν ἴδιο καιρό βγαίνουν καὶ τὰ ἀγριολούλουδα ἀπὸ τὰ σπλάχνα τῆς γῆς καὶ σκεπάζεται μὲ αὐτὰ ἡ γῆ καὶ περιβάλλεται αὐτὰ ὡς ὡραιότατο ἔνδυμα· γιὰ τὰ ὁποῖα εἶπε ὁ Λόγος τοῦ Θεοῦ, «ὅτι οὔτε ὁ Σολομὼν δὲν ἦταν ντυμένος σὰν ἕνα ἀπὸ αὐτά, παρ᾽ ὅλη του τὴν δόξα [καὶ μεγαλοπρέπεια]». Διότι, ὅλα αὐτὰ εἶναι

εἰκόνες τῆς τῶν σωζομένων εἰσὶν ἐν τῇ ἀναστάσει δόσεως· ἐπεὶ καὶ πάσαις ταῖς φιλοθέοις ψυχαῖς, τοῖς ἀληθινοῖς δηλονότι Χριστιανοῖς, μὴν πρῶτος ξανθικός, ὥς ἐστιν ὁ Ἀπρίλιος, δι᾽ οὗ καὶ ἡ τῆς Ἀναστάσεως δύναμις δηλοῦται. Φησὶ γὰρ ἡ θεία Γραφή· οὗτος μὴν πρῶτος ἔσται ὑμῖν ἐν τοῖς μησὶ τοῦ ἐνιαυτοῦ[156]*· οὗτος ἀμφιάσει τὰ γυμνὰ δένδρα διὰ τῆς δόξης, ἣν πρώτην ἐγκεκρυμμένην εἶχον, εἴσω τοῦ σώματος. Καὶ γὰρ ἐνδοξασθήσονται δι᾽ αὐτοῦ, τοῦ ἀπό γε τοῦ νῦν ἐνυπάρχοντος αὐτοῖς ἀρρήτου φωτός, εἴτ᾽ οὖν τῆς τοῦ πνεύματος δυνάμεως· ὅπερ καὶ ἔσται αὐτοῖς τότε ἔνδυμα, βρῶσις πόσις, ἀγαλλίασις, χαρά, εἰρήνη, καί, τὸ πᾶν, ζωὴ αἰώνιος.*

προτυπώσεις καὶ ὑποδείγματα καὶ εἰκόνες τῆς ἀνταποδόσεως τῶν σωζομένων [δικαίων] κατὰ τὴν Ἀνάσταση. Ἐπειδὴ καὶ σὲ ὅλες τὶς φιλόθεες ψυχές, στοὺς ἀληθινοὺς πραγματικὰ Χριστιανούς, σὰν πρῶτος μήνας μὲ τὸν ὁποῖον δηλώνεται ἡ δύναμι τῆς Ἀναστάσεως εἶναι ὁ Ξανθικός[ε], δηλαδὴ ὁ Ἀπρίλιος, [ἐπειδὴ κατὰ τὸν Ἀπρίλιο συμπίπτει ἡ ἑορτὴ τῆς Ἀναστάσεως]. Διότι λέγει ἡ θεία Γραφή, αὐτός ὁ μήνας θὰ εἶναι γιὰ σᾶς πρῶτος μέσα σὲ ὅλους τοὺς μῆνες τοῦ ἔτους· αὐτὸς θὰ ντύση τὰ γυμνὰ δένδρα μὲ τὴ δόξα, τὴν ὁποίαν εἶχαν ἀρχικὰ κρυμμένη μέσα στὸ σῶμα τους. Καὶ διότι πράγματι θὰ δοξασθοῦν [οἱ δίκαιοι] μέσῳ αὐτοῦ [τοῦ σώματος], ἀπὸ τὸ ἄρρητον φῶς, τὸ ὁποῖο ἀπὸ τώρα ὑπάρχει [κρυμμένο] μέσα τους, δηλαδὴ ἀπὸ τὴν δύναμι τοῦ Πνεύματος· τὸ Ὁποῖο καὶ θὰ εἶναι γι᾽ αὐτοὺς τότε ἔνδυμα, τροφή, πόσι, ἀγαλλίασι, χαρά, εἰρήνη καὶ γενικὰ ζωὴ αἰώνιος[3].





ΛΟΓΟΣ Δ΄

ΠΕΡΙ ΥΨΩΣΕΩΣ ΤΟΥ ΝΟΟΣ

ξβ΄. Μωσῆς ὁ μακάριος ὑπέδειξε τύπον, διὰ τῆς τοῦ προσώπου αὐτοῦ ἐπιλαμπούσης τοῦ Πνεύματος δόξης, ᾗ οὐδεὶς ἀνθρώπων ἀτενίσαι ἐδύνατο[157]*, πῶς ἐν τῇ τῶν δικαίων ἀναστάσει τὰ σώματα δοξασθήσεται τῶν ἁγίων, ἣν δόξαν ἀπὸ τοῦ νῦν ἐν τῷ ἔσω ἀνθρώπῳ αἱ πισταὶ τῶν ἁγίων ἔχειν καταξιοῦνται ψυχαί. Ἡμεῖς γάρ, φησίν, ἀνακεκαλυμμένῳ προσώπῳ, τουτέστιν ἐν τῷ ἔσῳ ἀνθρώπῳ, τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν*[158]*. Περὶ τούτου γέγραπται πάλιν, τεσσαράκοντα ἡμέρας καὶ τὰς ἴσας νύκτας μὴ τροφῆς μνησθῆναι, μὴ πόσεως*[159]*, ὅπερ οὐκ ἀνθρωπίνης φύσεως ἔργον, εἰ μή τινος ἄρα τρο-*

62. Ὁ μακάριος Μωϋσῆς, [ὅταν κατέβηκε ἀπὸ τὸ ὄρος Σινᾶ], μὲ τὴν δόξα τοῦ [Ἁγίου] Πνεύματος, ἡ ὁποία ἔλαμπε στὸ πρόσωπό του, [καὶ] τὴν ὁποία κανεὶς ἀπὸ τοὺς ἀνθρώπους δὲν μποροῦσε νὰ ἀτενίσῃ, προετύπωσε πῶς θὰ δοξασθοῦν τὰ σώματα τῶν Ἁγίων κατὰ τὴν ἡμέρα τῆς Ἀναστάσεως τῶν δικαίων, τὴν ὁποία δόξα ἀπὸ τώρα καταξιώνονται νὰ ἔχουν, κατὰ τὸν ἔσω ἄνθρωπο, οἱ πιστὲς ψυχὲς τῶν Ἁγίων. Διότι, λέγει [ὁ Ἀπόστολος Παῦλος], «ἐμεῖς μὲ ἀκάλυπτο τὸ πρόσωπο, ἐννοεῖται τοῦ ἐσωτερικοῦ μας ἀνθρώπου, δεχόμαστε καὶ ἀντανακλοῦμε, σὰν ἄλλοι καθρέπτες τὴν δόξα τοῦ Κυρίου, καὶ μεταμορφωνόμαστε εἰς αὐτὴν τὴν εἰκόνα Του [καὶ] προοδεύομε ἀπὸ δόξα σὲ [ἀνώτερη] δόξα». Γι᾽ αὐτόν, [τὸν Μωϋσῆ[στ΄]], ἔχει γραφῆ πάλι, ὅτι σαράντα ἡμέρες καὶ ἄλλες τόσες νύκτες, δὲν θυμήθηκε καθόλου νὰ φάγῃ ἢ νὰ πίῃ, τὸ ὁποῖο δὲν εἶναι ἔργο τῆς ἀνθρώπινης φύσεως

φῆς ἐκοινώνει πνευματικῆς· ἧς περ δὴ καὶ αὐτῆς ἀπὸ τοῦ νῦν αἱ ἅγιαι ψυχαὶ μεταλαμβάνουσιν ἐκ τοῦ Πνεύματος.

ξγ'. Τὴν δόξαν, ἣν ἐντεῦθεν αἱ τῶν Ἁγίων, ὡς εἴρηται, πλουτοῦσι ψυχαί, ἐκείνη καλύψει καὶ ἀμφιάσει τὰ γυμνὰ σώματα ἐν τῇ ἀναστάσει καὶ εἰς οὐρανοὺς ἀνάρπαστα ποιήσει· καὶ τότε λοιπὸν σώματι καὶ ψυχῇ ἐν τῇ βασιλείᾳ Θεῷ ἅμα διηνεκῶς ἀναπαύσονται. Τὸν γὰρ Ἀδὰμ κτίσας ὁ Θεός, πτέρυγας αὐτῷ σωματικάς, ὡς τοῖς πετεινοῖς, οὐκ ἐνέθηκεν· ἅτε τὰς τοῦ Πνεύματος κατὰ τὴν ἀνάστασιν παρέξειν αὐτῷ μέλλων, ἵνα κουφίζηται δι' αὐτῶν καὶ ἁρπάζηται ὅπου πάντως τὸ Πνεῦμα βούληται. Ταύτας δὲ τὰς νοητὰς πτέρυγας ταῖς τῶν ἁγίων ψυχαῖς ἀπὸ τοῦ νῦν δέδοται ἔχειν, αἳ πρὸς τὸ οὐράνιον αὐτὰς μετεωρίζουσι φρόνημα. Χριστιανῶν γὰρ κόσμος ἄλλος καὶ ἄλλα ἐν-

[καὶ δὲν ἐξηγεῖται], ἐκτὸς ἐὰν δεχόταν κάποια τροφή, αὐτὴ τὴν ὁποία ὄντως γεύονται ἀπὸ τώρα οἱ ἅγιες ψυχὲς ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα.

63. Ἡ δόξα, τὴν ὁποία, ὅπως ἔχει λεχθῆ, ἔχουν ὡς πλοῦτο τους οἱ ψυχὲς τῶν Ἁγίων ἀπὸ αὐτὴ τὴ ζωή, ἐκείνη [εἶναι ποὺ] θὰ σκεπάσῃ καὶ θὰ ἐνδύσῃ τὰ γυμνὰ σώματα [τῶν δικαίων] στὴν [κοινὴ] Ἀνάστασι καὶ διὰ ἁρπαγῆς θὰ τὰ μεταφέρῃ εἰς τοὺς οὐρανούς. Καὶ τότε λοιπόν, μὲ τὸ σῶμα καὶ τὴν ψυχή, θὰ ἀναπαυθοῦν αἰώνια μαζὶ μὲ τὸν Θεὸ εἰς τὴν Βασιλεία [Του]. Ὅταν ὁ Θεὸς ἔπλασε τὸν Ἀδάμ, δὲν τοῦ ἔβαλε βεβαίως σωματικὰ πτερά[ς'], ὅπως στὰ πετεινά· ἐπειδὴ ἐπρόκειτο νὰ τοῦ δώσῃ τὶς πτέρυγες τοῦ [Ἁγίου] Πνεύματος κατὰ τὴν Ἀνάστασι, γιὰ νὰ ἀνυψώνεται μὲ αὐτὰ καὶ νὰ ἁρπάζεται, ὅπου μόνον τὸ Ἅγιο Πνεῦμα θέλει [νὰ τὸν ὁδηγῇ]. Αὐτὲς δὲ οἱ νοητὲς πτέρυγες ἔχουν δοθῆ ἀπὸ τώρα στὶς ψυχὲς τῶν Ἁγίων, γιὰ νὰ τὶς ἔχουν, [ἐπειδὴ εἶναι] ἐκεῖνες ποὺ ἀνυψώνουν αὐτὲς [τὶς ψυχὲς] πρὸς τὸ οὐράνιο φρόνημα. Διότι ὁ στολισμὸς τῶν Χριστιανῶν εἶναι διαφορετικὸς καὶ διαφορετικὰ [εἶναι] τὰ ἐνδύματα καὶ ἄλλη

δύματα καὶ τράπεζα ἄλλη καὶ ἄλλη ἀπόλαυσις. Ἐπεὶ καὶ οὐρανόθεν ἐλεύσεσθαι τὸν Χριστὸν οἴδαμεν, ἀναστῆσαί τε τοὺς ἐκ τοῦ παντὸς αἰῶνος κεκοιμημένους, καθὼς αἱ θεῖαι Γραφαὶ μαρτυροῦσι, καὶ εἰς δύω τούτους διελόντα μέρη[160], ἐφ᾽ οἷς τὸ σημεῖον τὸ ἴδιον, ὅπερ ἐστὶν ἡ τοῦ Πνεύματος τοῦ θείου σφραγίς, τούτους καὶ ἰδίᾳ ἐν δεξιᾷ στήσαντα, προσφωνῆσαι· τὰ ἐμὰ γάρ, φησί, πρόβατα, τῆς ἐμῆς ἀκούουσι φωνῆς καὶ γινώσκουσι[161]· καὶ τότε δόξῃ θείᾳ τὰ σώματα τούτων περιβληθήσεται, τῇ τε τῶν ἀγαθῶν ἔργων καὶ τῇ τοῦ Πνεύματος, ἣν ἐντεῦθεν αἱ τῶν ἁγίων ἔλαχον ἔχειν ψυχαί. Καὶ οὕτω δοξασθέντες θείῳ φωτὶ καὶ εἰς οὐρανοὺς ἁρπαγέντες, εἰς ἀπάντησιν τοῦ Κυρίου, κατὰ τὸ γεγραμμένον, σὺν τῷ Κυρίῳ διὰ παντὸς ἔσονται[162].

ξδ'. Οἷς μέλει τὸν τοῦ Χριστιανισμοῦ βίον ὡς κάλλιστα κατορθοῦν, τούτοις καὶ προσήκει προηγουμέ-

[ἡ τροφὴ] στὴν τράπεζά τους, καὶ [γενικὰ] ἄλλη ἡ ἀπόλαυσί [τους]. Ἐπειδὴ γνωρίζομε, ὅτι καὶ ἀπὸ τὸν οὐρανὸ θὰ ἔλθῃ ὁ Χριστὸς καὶ θὰ ἀναστήσῃ τοὺς κεκοιμημένους ὅλων τῶν αἰώνων, ὅπως μαρτυροῦν οἱ θεῖες Γραφές, καὶ θὰ τοὺς χωρίσῃ σὲ δύο μέρη, [καὶ] σ᾽ ἐκείνους στοὺς ὁποίους [θὰ ὑπάρχῃ] τὸ ἰδικό Του σημεῖο, τὸ ὁποῖο εἶναι ἡ σφραγίδα τοῦ Θείου Πνεύματος, ἀφοῦ τοὺς τοποθετήσῃ ξεχωριστά εἰς τὰ δεξιά Του, θὰ ἀπευθύνῃ λόγο: «τὰ δικά μου πρόβατα βεβαίως, λέγει, ἀκούουν τὴν φωνή μου καὶ τὴν ἀναγνωρίζουν». Καὶ τότε τὰ σώματα αὐτῶν θὰ περιβληθοῦν μὲ θεία δόξα, αὐτὴν [τὴν δόξα] τῶν ἀγαθῶν ἔργων καὶ ἐκείνη τοῦ [Ἁγίου] Πνεύματος, τὴν ὁποία, ἀπὸ αὐτὴ τὴ ζωή, ἀπέκτησαν ὡς κλῆρο τους οἱ ψυχὲς τῶν Ἁγίων. Καὶ ἔτσι, ἀφοῦ ἐδοξάσθησαν μὲ τὸ θεῖο φῶς, καὶ ἡρπάγησαν εἰς τοὺς οὐρανοὺς πρὸς συνάντησι τοῦ Κυρίου, ὅπως ἔχει γραφῆ, θὰ εἶναι [πλέον] παντοτινὰ μαζὶ μὲ τὸν Κύριο.

64. Ἐκεῖνοι, οἱ ὁποῖοι ἐνδιαφέρονται νὰ κατορθώσουν, κατὰ τὸν καλλίτερο τρόπο, τὸν χριστιανικὸ βίο, αὐτοὶ καὶ πρέπει

νως τοῦ διανοητικοῦ τε καὶ διακριτικοῦ καὶ ἡγεμονικοῦ μέρους τῆς ψυχῆς διὰ πάσης ἐπιμελεῖσθαι τῆς σπουδῆς· ἵνα τὴν τοῦ καλοῦ τε καὶ κακοῦ διάκρισιν ἀκριβώσαντες, καὶ ἃ παρὰ φύσιν ἐπεισήχθη πάθη τῆς καθαρᾶς ἀποκρίναντες φύσεως, ἀπροσκόπως ζῆν ἔχοιεν, ὡς ὀφθαλμῷ τῷ τῆς διακρίσεως μέλει χρωμένοις· καὶ ἀσύνθετοι πρὸς τὰς τῆς κακίας ἀφορμὰς εἶναι δυνάμενοι. Ἔστι γὰρ θέλημα τῇ ψυχῇ τὰ μέλη τοῦ σώματος τῆς τῶν αἰσθήσεων βλάβης ἄχραντα συντηρεῖν, ἀπεῖρξαί τε ἑαυτὴν τῶν τοῦ κόσμου περισπασμῶν καὶ φυλάξαι τὴν καρδίαν τοῦ μὴ ἐξαπλοῦν ἐν τῷ κόσμῳ τὰ μέλη τῶν αὐτῆς λογισμῶν, ἀλλὰ περισφίγγειν αὐτὰ πάντοθεν καὶ συνέχειν χαμαιζήλου μερίμνης καὶ ἡδονῆς. Ἐπειδὰν οὖν ὁ Κύριος ἴδῃ τινὰ ταύτη διάγοντα καὶ οὕτως ἑαυτὸν ἀκριβοῦντα καὶ

πρωταρχικὰ νὰ φροντίζουν μὲ κάθε ἐπιμέλεια τὸ διανοητικὸ καὶ τὸ διακριτικὸ καὶ τὸ ἡγεμονικὸ μέρος τῆς ψυχῆς. Ὥστε, ἀφοῦ μάθουν πλήρως τὴν διάκρισι [μεταξὺ] τοῦ καλοῦ καὶ τοῦ κακοῦ, καὶ ἀφοῦ ἀπομακρύνουν ἀπὸ τὴν καθαρὰ φύσι, ὅσα πάθη εἰσῆλθαν παρὰ φύσιν [μετέπειτα σὲ αὐτήν], νὰ [φθάσουν] νὰ ζοῦν χωρὶς τὰ προσκόμματα [τῶν παθῶν], χρησιμοποιώντας ὡς ὀφθαλμὸ [τὴν ἀσφάλεια] τῆς διακρίσεως· καὶ [ἔτσι] νὰ μποροῦν νὰ παραμένουν ἀμέτοχοι [καὶ ἀνεπηρέαστοι] ἀπὸ τὶς ἀφορμὲς τῆς κακίας. Διότι εἶναι ἐπιθυμία τῆς ψυχῆς νὰ διατηρῇ τὰ μέλη τοῦ σώματος ἀμίαντα ἀπὸ τὴν βλάβη, ποὺ προκαλοῦν οἱ αἰσθήσεις, νὰ ἀπομακρύνῃ τὸν ἑαυτό της ἀπὸ τοὺς περισπασμοὺς τοῦ κόσμου, καὶ νὰ διαφυλάξῃ τὴν καρδία, [ὥστε] νὰ μὴν ἀφήνῃ [καὶ] τὸν παραμικρὸ λογισμό της νὰ πλανιέται στὰ κοσμικὰ [πράγματα], ἀλλὰ νὰ τοὺς περιζώνῃ σφιχτὰ ἀπὸ παντοῦ καὶ νὰ τοὺς συγκρατῇ ἀπὸ κάθε γήϊνη μέριμνα καὶ ἡδονή. Ὅταν λοιπὸν ὁ Κύριος ἰδῇ κάποιον νὰ ζῇ μὲ αὐτὴν τὴν διαγωγή, καὶ νὰ διαπλάθῃ τὸν ἑαυτό του μὲ τέτοια ἀκρίβεια

συντηροῦντα, φόβῳ τε καὶ τρόμῳ δουλεύειν[163] *αὐτῷ προθέμενον, ἐπορέγει καὶ τὴν ἐκ τῆς αὐτοῦ χάριτος ἐπικουρίαν. Ἐπεί, τί ποιήσειεν ὁ Θεὸς τῷ ἑκοντὶ τῷ κόσμῳ ἑαυτὸν ἐμπαρέχοντι καὶ ὀπίσω τῶν ἡδονῶν αὐτοῦ πορευόμενον [recte: πορευομένῳ];*

ξε'. Αἱ νήψασαι πέντε παρθένοι ἐκεῖναι καὶ τὸ ξένον τῆς ἑαυτῶν φύσεως ἔλαιον ἐν τοῖς ἀγγείοις παραλαβοῦσαι τῆς καρδίας, τοῦτο δέ ἐστιν ἡ χάρις τοῦ Πνεύματος, ἐδυνήθησαν εἰς τὸν νυμφῶνα συνεισελθεῖν τῷ νυμφίῳ. Αἱ ἄλλαι δὲ αἱ μωραί, αἱ κακαί, αἱ τῇ ἰδίᾳ φύσει ἐναπομείνασαι, οὐκ ἔνηψαν, οὐδὲ κατὰ σπουδῆς ἔσχον τὸ τοιόνδε τῆς ἀγαλλιάσεως ἔλαιον εἰς τὰς ἑαυτῶν καρδίας, ἔτι ἐν σαρκὶ οὖσαι, παραλαβεῖν· ἀλλ' οἱονεὶ ἀφύπνωσαν, δι' ἀμέλειάν τε καὶ χαυνότητα καὶ δικαιοσύνης οἴησιν· παρ' ὃ καὶ ὁ νυμφὼν αὐταῖς ἀπεκλείσθη τῆς βασιλείας[164]*. Δῆλον γὰρ ὅτι δεσμῷ*

καὶ νὰ [τὸν] διατηρῇ [στὴν ἀρετή], καὶ νὰ ἔχῃ τὴν πρόθεσι νὰ «δουλεύῃ [γιὰ τὸν Κύριο] μὲ φόβο καὶ τρόμο», τοῦ προσφέρει ἐπιπροσθέτως καὶ τὴν βοήθεια ἀπὸ τὴν Χάρι Του. Διαφορετικά, τί [θὰ μποροῦσε] νὰ κάνῃ ὁ Θεὸς σ' ἐκεῖνον, ὁ ὁποῖος παραδίδει τὸν ἑαυτό του στὸν κόσμο καὶ τρέχει πίσω ἀπὸ τὶς ἡδονές του;

65. Οἱ πέντε Παρθένες [τῆς Παραβολῆς τοῦ Εὐαγγελίου], ποὺ ἔμειναν [πνευματικῶς] ἄγρυπνες, καὶ πῆραν στὰ δοχεῖα τῆς καρδίας τους τὸ ξένο πρὸς τὴν [ἀνθρώπινη] φύσι τους ἔλαιον, αὐτὸ δὲ εἶναι ἡ Χάρις τοῦ Πνεύματος, μπόρεσαν νὰ εἰσέλθουν μαζὶ μὲ τὸν Νυμφίο στὸν [θεῖο] Νυμφῶνα. Οἱ ἄλλες ὅμως οἱ «μωρές», οἱ κακές, ποὺ παρέμειναν μέσα [στοὺς ὅρους] τῆς δικῆς τους [ἀνθρώπινης] φύσεως, δὲν ἀγρύπνησαν, οὔτε ἐφρόντισαν νὰ ἀποκτήσουν τὸ ἔλαιο αὐτὸ τῆς ἀγαλλιάσεως στὶς καρδίες τους, ὅσο ἀκόμη ἦσαν στὴν ζωὴ [αὐτή]· ἀλλὰ τρόπον τινὰ ἀποκοιμήθηκαν, ἀπὸ τὴν ἀμέλεια καὶ τὴν ραθυμία καὶ ἀπὸ τὴν ὑπεροψία γιὰ τὴν [νομιζόμενη] ἀρετή τους· γι' αὐτὸ καὶ ἀποκλείσθηκε γιὰ αὐτὲς ὁ νυμφὼν τῆς Βασιλείας. Διότι εἶναι φανερό, ὅτι τὶς κρα-

τινι τοῦ κόσμου καὶ φιλίᾳ γεγόνασι καθεκταί, καθότι τὴν ἀγάπην αὐτῶν ἐντελῆ καὶ τὸν ἔρωτα τῷ ἐπουρανίῳ μὴ παρέσχον νυμφίῳ· καὶ γὰρ αἱ τὸ ξένον τῆς φύσεως τὸν ἁγιασμὸν τοῦτον ζητοῦσαι ψυχαὶ τοῦ Πνεύματος, ὅλην τὴν ἀγάπην αὐτῶν ἐξάπτουσαι τῷ Χριστῷ, ἐκεῖ περιπατοῦσιν, ἐκεῖ εὔχονται, ἐκεῖ λογίζονται, ἐκεῖ μελετῶσι, πάντων ἀποστᾶσαι τῶν ἄλλων. Αἱ γὰρ πέντε τῆς ψυχῆς αἰσθήσεις, σύνεσις, γνῶσις, διάκρισις, ὑπομονή, ἔλεος, ἂν τὴν ἄνωθεν χάριν καὶ τὸν ἁγιασμὸν τοῦ Πνεύματος δέξωνται, καὶ φρόνιμοι τῇ ἀληθείᾳ παρθένοι ἔσονται[165]*· εἰ δὲ τῇ φύσει τῇ ἑαυτῶν ἐγκαταλειφθεῖεν, μωραὶ τῷ ὄντι εὑρίσκονται καὶ τέκνα οὖσαι τοῦ κόσμου δείκνυνται καὶ ὀργῆς*[166].

ξς΄. Ὥσπερ ξένην τῆς φύσεως ἡμῶν τὴν κακίαν οὖσαν, διὰ δὲ τῆς παραβάσε-

τοῦσε κάποιος δεσμὸς καὶ [κάποια] φιλία τοῦ κόσμου, ἀφοῦ δὲν προσέφεραν ὁλοκληρωτικὰ τὴν ἀγάπη καὶ τὸν ἔρωτά τους στὸν ἐπουράνιο Νυμφίο. Καὶ πράγματι οἱ ψυχές, οἱ ὁποῖες ζητοῦν τὸν ἁγιασμὸν αὐτὸν τοῦ [Ἁγίου] Πνεύματος, [ποὺ εἶναι] ξένος πρὸς τὴν [ἀνθρώπινη] φύσι, ὅλη τὴν ἀγάπη τους τὴν ἀνάβουν [ὡς φλόγα] γιὰ τὸν Χριστό, [καὶ] ἐκεῖ [μέσα στὰ πλαίσια τῆς ἀγάπης τους γιὰ τὸν Χριστὸ] πορεύονται, ἐκεῖ προσεύχονται, ἐκεῖ ἔχουν τοὺς λογισμούς τους, ἐκεῖ [καὶ] τὴ μελέτη [τους], ἔχοντας ἀποστασιοποιηθῆ ἀπὸ ὅλα τὰ ἄλλα. Οἱ πέντε, λοιπόν, αἰσθήσεις τῆς ψυχῆς, [δηλαδὴ] ἡ σύνεσι, ἡ γνῶσι, ἡ διάκρισι, ἡ ὑπομονὴ [καὶ] τὸ ἔλεος, ἂν τυχὸν δεχθοῦν τὴν ἐκ τῶν ἄνω [Θεία] Χάρι καὶ τὸν ἁγιασμὸ τοῦ [Ἁγίου] Πνεύματος, [τότε] θὰ εἶναι καὶ πραγματικὰ «φρόνιμες παρθένες». Ἐὰν ὅμως εἶχαν ἐγκαταλειφθῆ [στὰ ὅρια] τῆς δικῆς τους [ἀνθρωπίνης] φύσεως, ἀποδεικνύονται πράγματι «μωρὲς» καὶ ἐνῶ εἶναι «τέκνα τοῦ κόσμου, φανερώνονται καὶ [τέκνα] ὀργῆς».

66. Ὅπως ἀκριβῶς τὴν κακία, ποὺ εἶναι ξένη πρὸς τὴν φύσι μας, τὴν δεχθήκαμε, ἀφοῦ εἰ-

ως τοῦ πρώτου παρεισδύσασαν ἀνθρώπου κατεδεξάμεθα, φύσιν ἡμῖν τῷ χρόνῳ καθαπερεὶ γενομένην, οὕτω δὴ καὶ διὰ τοῦ ξένου τούτου τῆς ἡμετέρας φύσεως, τῆς ἐπουρανίου, φημί, τοῦ Πνεύματος δωρεᾶς, ἀποσκορακισθῆναι πάλιν αὐτὴν τῆς ἡμετέρας προσήκει φύσεως, καὶ εἰς τὴν ἀρχαίαν ἡμᾶς καθαρότητα καταστῆναι. Ὡς εἰ μὴ τοῦτο τῇ πολλῇ δεήσει καὶ πίστει, τῇ προσοχῇ τε καὶ τῶν τοῦ κόσμου ἀποστροφῇ γένοιτο, καὶ ἡ μιανθεῖσα πρὸς τῆς κακίας φύσις ἡμῶν ὑπὸ τῆς ἀγάπης ἐκείνης, ἥτις ἐστὶν ὁ Κύριος, ἁγιασθείη, καὶ μέχρι τέλους ἄπτωτοι διαμείνομεν τῶν ἐντολῶν αὐτοῦ τῶν θείων μεταποιούμενοι, τῆς ἐπουρανίου Βασιλείας ἐπιτυχεῖν οὐ δυνάμεθα.

ξζʹ. Λεπτόν τινα καὶ βαθὺν λόγον κατὰ τὰ ἐμοὶ δυνατά, φησί, διελθεῖν βούλομαι· σωματοποιεῖ ἑαυτὸν ὁ ἄπειρος καὶ ἀσώματος Κύριος διὰ χρηστότητα ἄπειρον καὶ σμικρύνει, ὡς

σεχώρησε [μέσα μας] μὲ τὴν παράβασι τοῦ πρώτου ἀνθρώπου καὶ ἔγινε μὲ τὸν χρόνο ὡς φυσικὴ σὲ μᾶς, ἔτσι λοιπὸν καὶ μὲ αὐτὸ τὸ ξένο πρὸς τὴν φύσι μας, τὴν ἐπουράνια ἐννοῶ δωρεὰ τοῦ [Ἁγίου] Πνεύματος, πρέπει νὰ τὴν ἐξορίσωμε πάλι ἀπὸ τὴν δική μας φύσι, καὶ νὰ ἀποκατασταθοῦμε στὴν πρώτη μας καθαρότητα. Ἂν ὅμως αὐτὸ δὲν γίνῃ μὲ τὴν πολλὴ προσευχὴ καὶ πίστι καὶ τὴν προσοχὴ καὶ τὴν ἀποστροφὴ [τῶν πραγμάτων] τοῦ κόσμου, καὶ [ἐὰν] ἡ φύσις μας, ποὺ ἐμολύνθηκε ἀπὸ τὴν κακία, δὲν ἤθελε ἐξαγιασθῆ μὲ τὴν ἀγάπη ἐκείνη, ἡ ὁποία εἶναι ὁ [ἴδιος] ὁ Κύριος, καὶ ἂν δὲν παραμείνωμε μέχρι τέλους ἄπτωτοι [μακρυὰ ἀπὸ τὴν κακία], καὶ δὲν μεταμορφωθοῦμε μὲ τὶς θεῖες Αὐτοῦ ἐντολὲς [ὥστε νὰ μὴν τὶς παραβαίνωμε καθόλου], δὲν θὰ μπορέσωμε νὰ ἐπιτύχωμε τὴν ἐπουράνια Βασιλεία.

67. Ἐπιθυμῶ νὰ σᾶς ἐκθέσω μὲ λεπτομέρεια ἕνα λεπτὸ καὶ βαθὺ λόγο, κατὰ τὴν δύναμί μου, [ὅπως] λέγουν· παίρνει σῶμα [ἀνθρώπου] ὁ ἄπειρος καὶ ἀσώματος Κύριος ἀπὸ ἄπειρη ἀγαθότητα, καὶ σμικρύνεται,

ἄν τις φαίη, ὁ μέγας καὶ ὑπερούσιος τοῦ δυνηθῆναι τοῖς νοεροῖς αὐτοῦ κτίσμασι συγκραθῆναι, ψυχαῖς ἁγίων, φημί, καὶ Ἀγγέλων, ἵνα δυναταὶ γένοιντο καὶ αὗται ζωῆς ἀθανάτου τῆς ἑαυτοῦ θεότητος μετασχεῖν. Ἐπεὶ καὶ ἕκαστον κατὰ τὴν ἰδίαν φύσιν, σῶμά ἐστιν, ὁ Ἄγγελος, ἡ ψυχή, ὁ δαίμων. Κἂν γὰρ λεπτὰ εἶεν, ἀλλ' ὅμως ἐν ὑποστάσει, χαρακτῆρί τε καὶ εἰκόνι κατὰ τὴν λεπτότητα τῆς ἑαυτῶν φύσεως σῶμα τυγχάνει λεπτόν. Ὥσπερ γὰρ ἐν ὑποστάσει τουτὶ τὸ σῶμα παχύ ἐστι, οὕτω καὶ ἡ ψυχή, σῶμα οὖσα λεπτόν, περιέβαλε καὶ ἐνεδύσατο τὰ μέλη τοῦδε τοῦ σώματος. Περιέβαλε γὰρ τὸν ὀφθαλμόν, δι' οὗπερ γοῦν καὶ ὁρᾷ· περιέβαλε τὸ οὖς, δι' οὗ καὶ ἀκούει· τὴν χεῖρα, τὴν ῥίνα, καὶ ἁπαξαπλῶς ὅλον τὸ σῶμα καὶ τὰ μέλη αὐτοῦ περιέβαλε καὶ συνεκράθη ὅλῳ αὐτῷ ἡ ψυχή, δι' οὗ καὶ πάντα ὅσα δή τῷ βίῳ ἐν-

ὅπως θὰ μποροῦσε νὰ πῇ κανείς, ὁ Μέγας καὶ Ὑπερούσιος, ὥστε νὰ μπορέσῃ νὰ ἑνωθῇ μὲ τὰ νοερὰ κτίσματά Του, τὶς ψυχές, λέγω, τῶν Ἁγίων καὶ τῶν Ἀγγέλων, γιὰ νὰ μπορέσουν καὶ αὐτὲς νὰ γίνουν μέτοχοι τῆς ἀθανάτου ζωῆς καὶ τῆς θεότητος Αὐτοῦ, [νὰ γίνουν θεοὶ κατὰ Χάριν]. Ἐπειδὴ καὶ κάθε ἕνα [ἀπὸ τὰ κτίσματα], σύμφωνα μὲ τὴν φύσι του, εἶναι σῶμα, ὁ Ἄγγελος, ἡ ψυχή, ὁ δαίμονας[4]. Διότι κι ἂν ἀκόμη εἶναι λεπτά, ἀλλὰ ὅμως τὸ κάθε ἕνα κατὰ τὴν ὑπόστασι, τὴν μορφὴ καὶ τὴν εἰκόνα, ἀναλόγως πρὸς τὴν λεπτότητα τῆς φύσεώς του, εἶναι σῶμα λεπτό. Καὶ ὅπως ἀκριβῶς κατὰ τὴν ὑπόστασί του, τὸ σῶμα τοῦτο [τὸ δικό μας] εἶναι παχύ, ἔτσι καὶ ἡ ψυχή, ἡ ὁποία εἶναι σῶμα λεπτό, περιέβαλε καὶ ἐνεδύθη τὰ μέλη αὐτοῦ τοῦ σώματος. Περιέβαλε [καὶ τρόπον τινὰ ἐνεδύθη] τὸ μάτι, μὲ τὸ ὁποῖο πλέον καὶ βλέπει, περιέβαλε τὸ αὐτί, μὲ τὸ ὁποῖο καὶ ἀκούει· τὸ χέρι, τὴν μύτη, καὶ γενικὰ ὅλο τὸ σῶμα καὶ τὰ μέλη αὐτοῦ τὰ περιέβαλε, καὶ ἡ ψυχὴ ἑνώθηκε ἄρρηκτα μὲ ὅλο τὸ σῶμα, μὲ τὸ ὁποῖο ἐνεργεῖ καὶ ὅλες τὶς ἀσχολίες, ποὺ ὑπάρ-

στρέφεται ἐπιτηδεύματα διανύει. Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνεκλάλητός τε καὶ ἀνεννόητος τοῦ Χριστοῦ χρηστότης σμικρύνει καὶ σωματοποιεῖ ἑαυτὴν καὶ συγκιρνᾶται καὶ περιλαμβάνει τὰς πιστὰς καὶ φίλας αὐτῇ ψυχὰς καὶ εἰς ἓν αὐταῖς πνεῦμα γίνεται κατὰ τὸ λόγιον Παύλου[167]*, ψυχὴ εἰς ψυχήν, ὡς φάναι, καὶ ὑπόστασις γοῦν εἰς ὑπόστασιν ὡς ἂν τῇ τοιᾷδε ψυχῇ ἐν τῇ αὐτοῦ θεότητι ζῆσαί τε ὑπάρξῃ καὶ ἀθανάτου ζωῆς ἐφικέσθαι καὶ ἡδονῆς ἀφθάρτου καὶ ἀῤῥήτου δόξης κατατρυφῆσαι.*

ξη'. Τῇ τοιαύτῃ ψυχῇ, φησίν, ὁ Κύριος, ὅτε μὲν βούλεται πῦρ γίνεται, πᾶν φαῦλον αὐτῆς καὶ ἐπείσακτον διακαῖον, ὥσπερ καὶ ὁ Προφήτης φησίν, ὁ Θεὸς ἡμῶν πῦρ καταναλίσκον[168]*· ὅτε δέ, ἀνάπαυσις*[169] *ἄφραστός τε καὶ ἄρρητος· ὅτε δὲ χαρὰ καὶ εἰρήνη*[170]*, περιθάλπων καὶ περιβάλλων αὐτήν. Μόνον, ἐν σπουδῇ θετέον φιλεῖν αὐτὸν καὶ*

χουν, μέσα στὸν [ἀνθρώπινο] βίο. Κατὰ τὸν ἴδιο λοιπὸν τρόπο καὶ ἡ ἀνέκφραστη καὶ ἀκατανόητη [στὸν ἀνθρώπινο νοῦ] ἀγαθότητα τοῦ Χριστοῦ, σμικρύνει τὸν ἑαυτό Της καὶ παίρνει σῶμα καὶ ἑνοποιεῖται καὶ ἐναγκαλίζεται τὶς πιστὲς καὶ ἀγαπητὲς σ' Αὐτὴν ψυχὲς καὶ γίνεται ἕνα πνεῦμα μὲ αὐτὲς κατὰ τὸν λόγο τοῦ [Ἀποστόλου] Παύλου, ὥστε νὰ φαίνεται μιὰ ψυχὴ μέσα σὲ ἄλλη ψυχὴ καὶ μιὰ ὑπόστασι μέσα στὴν ἄλλη ὑπόστασι, ἔτσι ποὺ νὰ εἶναι δυνατὸ σ' αὐτὴ τὴν ψυχὴ νὰ ζήσῃ καὶ νὰ ὑπάρξῃ μέσα στὴν θεότητά Του καὶ νὰ φθάσῃ στὴν ἀθάνατη ζωή, καὶ νὰ ἀπολαύσῃ ἄφθαρτη ἡδονὴ καὶ ἀνέκφραστη δόξα.

68. Γιὰ τὴν ψυχὴ αὐτή, λέγει [ὁ Ἅγιος], ὁ Κύριος, ὅταν θέλῃ, γίνεται ἄλλοτε μὲν φωτιά, ἡ ὁποία κατακαίει κάθε κακὸ καὶ παρείσακτο μέσα της, ὅπως ἀκριβῶς λέγει καὶ ὁ Προφήτης, «ὅτι ὁ Θεός μας εἶναι φωτιὰ ποὺ κατακαίει», ἄλλοτε δὲ [γίνεται] ἀνάπαυσι ἀνέκφραστη καὶ ἀνεκλάλητη· ἄλλοτε πάλι χαρὰ καὶ εἰρήνη, ποὺ περιθάλπει καὶ περιβάλλει τὴν ψυχή. Μόνο ποὺ θὰ πρέπει νὰ θέτῃ κανεὶς [ὡς σκοπό του] νὰ ἀγα-

χαρίζεσθαι τρόποις ἀγαθοῖς, καὶ αὐτῇ πείρᾳ, αὐτῇ αἰσθήσει ὄψεται ἁψάμενος ἀλαλήτων ἀγαθῶν, ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη[171]*, ὅσα τὸ Πνεῦμα Κυρίου γίνεται, τοῦτο μὲν εἰς ἀνάπαυσιν, τοῦτο δ' εἰς ἀγαλλίασίν τε καὶ τρυφὴν καὶ ζωὴν τῆς ἀξίας ἐκείνου δεικνυμένης ψυχῆς. Σωματοποιεῖ γὰρ ἑαυτόν, ὥσπερ εἰς βρῶσιν πνευματικήν, οὕτω καὶ εἰς ἔνδυμά τε καὶ κάλλη ἀνεκδιήγητα, ἵν' εὐφροσύνης οὕτω πληρώσῃ πνευματικῆς. Ἐγὼ γάρ εἰμί, φησίν, ὁ ἄρτος τῆς ζωῆς*[172]*· καὶ ὁ πίνων ἐκ τοῦ ὕδατος οὗ ἐγὼ δώσω αὐτῷ, γενήσεται αὐτῷ πηγὴ ὕδατος ἀλλομένου εἰς ζωὴν αἰώνιον*[173]*.*

ξθ'. Οὕτω, φησί, καὶ ἑκάστῳ τῶν ἱερέων καὶ ἁγίων ὁ Θεὸς ὤφθη, ὡς αὐτῷ θέλημα ἦν, καὶ τῷ ὁρῶντι λυσιτελές· οἷον, ἄλλως

πᾷ μὲ ζῆλο Αὐτὸν καὶ νὰ Τὸν εὐχαριστῇ μὲ τοὺς ἀγαθοὺς τρόπους [του], καὶ μὲ αὐτὴ τὴν πεῖρα καὶ αὐτὴν τὴν αἴσθησι θὰ ἰδῇ, ἀφοῦ ἄγγιξε ἀνεκλάλητα ἀγαθά, «ὅσα ὀφθαλμὸς δὲν εἶδε, καὶ αὐτὶ δὲν ἄκουσε καὶ ἀνθρώπινος νοῦς δὲν κατανόησε», ὅσα [δηλαδὴ ἀγαθὰ] γίνεται τὸ Πνεῦμα τοῦ Κυρίου [γιὰ τὴν ψυχή], ἄλλο μὲν [γίνεται] εἰς ἀνάπαυσι, ἄλλο δὲ εἰς ἀγαλλίασι καὶ ἀπόλαυσι καὶ ζωὴ στὴν ψυχή, ποὺ ἀναδεικνύεται ἀξιά Του. Καὶ ὅπως ἀκριβῶς [γιὰ] τὴν πνευματική [μας] τροφή, [τὴν Θεία Κοινωνία, ὁ Κύριος] δίνει σῶμα στὸν ἑαυτό Του, ἔτσι [ὁ Ἴδιος γίνεται] καὶ ἔνδυμα καὶ κάλλη ἀπερίγραπτα, γιὰ νὰ γεμίσῃ [τὴν ψυχὴ] μὲ πνευματικὴ εὐφροσύνη. Διότι, λέγει, «ἐγὼ εἶμαι ὁ ἄρτος τῆς ζωῆς»· καὶ «αὐτὸς ποὺ πίνει ἀπὸ τὸ ὕδωρ, ποὺ ἐγὼ θὰ τοῦ δώσω, [αὐτὸ] θὰ μεταβληθῇ μέσα του σὲ πηγὴ ὕδατος, ποὺ θὰ ἀναβλύζῃ τὴν αἰώνιο ζωή».

69. Ἔτσι, λέγει, φανερώθηκε ὁ Θεὸς καὶ σὲ κάθε ἕναν ἀπὸ τοὺς ἱερεῖς καὶ τοὺς Ἁγίους [στὴν Π. Διαθήκη], ὅπως ἦταν τὸ θέλημα Του, καὶ [ὅπως ἦταν] ὠφέλιμο σ' ἐκεῖνον ποὺ Τὸν ἔβλεπε. Γιὰ παράδειγμα, δια-

τῷ Ἀβραὰμ[174] καὶ ἄλλως τῷ Ἰσαάκ[175], τῷ Ἰακὼβ[176] ἄλλως, τῷ Νῶε[177], τῷ Δανιήλ[178], τῷ Μωσεῖ[179], τῷ Δαβὶδ[180] καὶ ἑκάστῳ τῶν Προφητῶν[181], σμικρύνων ἑαυτὸν καὶ σωματοποιῶν, ὥσπερ εἴρηται, μεταμορφούμενός τε καὶ ὀπτανόμενος τούτοις τοῖς ἀγαπῶσιν αὐτόν, οὐ καθόσον αὐτός ἐστιν, ἀχώρητος γάρ, ἀλλὰ κατὰ τὴν ἐκείνων χώρησίν τε καὶ δύναμιν, διὰ τὴν πολλὴν καὶ ἀπερινόητον, ἣν ἔσχεν πρὸς αὐτούς, ἀγάπην.

ο΄. Ψυχὴ καταξιωθεῖσα τὴν ἐξ ὕψους εἰσοικίσασθαι δύναμιν καὶ τὸ πῦρ ἐκεῖνο τὸ θεῖον καὶ τὴν ἐπουράνιον τοῦ ἀγαθοῦ Πνεύματος ἀγάπην συγκεκραμένην σχοῦσα τοῖς ἑαυτῆς μέλεσι, πάσης κοσμικῆς ἀγάπης ἀτεχνῶς λύεται. Ὥσπερ γὰρ σίδηρος ἢ μόλυβδος, χρυσός τε καὶ ἄργυρος, πυρὶ παραδοθεὶς λύεται, καὶ τῆς φύσεως αὐτοῦ τὸ ἀντιτυπὲς εἰς ἁπαλότητα μεταβάλλει, ἐν ὅσῳ τε τῷ πυρὶ ὁμιλεῖ χαῦνός ἐστι καὶ

φορετικὰ [φανερώθηκε] στὸν Ἀβραὰμ καὶ διαφορετικὰ στὸν Ἰσαάκ, στὸν Ἰακὼβ διαφορετικά, στὸν Νῶε, στὸν Δανιήλ, στὸν Μωϋσῆ, στὸν Δαβὶδ καὶ σὲ κάθε ἕναν ἀπὸ τοὺς Προφῆτες, σμικρύνοντας τὸν ἑαυτό Του καὶ δίνοντας [μορφὴ σὰν νὰ εἶχε] σῶμα, ὅπως ἔχει λεχθῆ, ὅτι μεταμορφωνόταν καὶ ἐμφανιζόταν σ᾽ αὐτοὺς ποὺ Τὸν ἀγαποῦσαν, ὄχι ὅπως Αὐτὸς εἶναι, διότι [εἶναι] ἄπειρος, ἀλλὰ σύμφωνα μὲ τὴν δεκτικότητα καὶ τὴν δύναμι ἐκείνων [ποὺ Τὸν ἔβλεπαν], γιὰ τὴν πολλὴ καὶ ἀκατανόητη ἀγάπη, τὴν ὁποία εἶχε πρὸς αὐτούς.

70. Ἡ ψυχή, ἡ ὁποία καταξιώθηκε νὰ κατοικήσῃ μέσα της ἡ ἐξ ὕψους δύναμι καὶ ἐκεῖνο τὸ θεϊκὸ πῦρ, καὶ νὰ ἔχῃ τὴν ἐπουράνια ἀγάπη τοῦ Ἀγαθοῦ Πνεύματος, ἑνωμένη πλήρως μὲ τὰ μέλη της, ἀναμφίβολα ἐλευθερώνεται [ἀπὸ κάθε δεσμὸ] κοσμικῆς ἀγάπης. Διότι, ὅπως ἀκριβῶς ὁ σίδηρος, ἢ ὁ μόλυβδος, ὁ χρυσὸς καὶ ὁ ἄργυρος, ὅταν παραδοθῆ στὴν φωτιὰ λιώνει, καὶ μεταβάλλει τὴν τραχύτητα τῆς φύσεώς του σὲ μαλακότητα, καὶ ὅσο βρίσκεται μέσα στὴ φωτιὰ εἶ-

ἔκλυτος καὶ τὴν φυσικὴν ἀποβεβληκὼς ἀντιτυπίαν διὰ τὴν τοῦ πυρὸς δύναμιν· οὕτω καὶ ψυχὴ τὸ ἐπουράνιον ἐκεῖνο δεξαμένη πῦρ τῆς ἀγάπης τοῦ Πνεύματος, πάσης προσπαθείας τοῦ κοσμικοῦ Πνεύματος ἐκχωρεῖ καὶ τῶν δεσμῶν ἀφίεται τῆς κακίας, ἐξ αὐτῆς τε τῆς φυσικῆς σκληρότητος μεταβάλλει τῆς ἁμαρτίας, σμικρὰ πάντα λογιζομένη καὶ ἀτιμάζουσα. Φημὶ δ᾽ ὅτι κἂν τινες αὐτῇ εἶεν ἀδελφοὶ κατ᾽ ἄκραν φιλούμενοι, πρὸς δὲ ἐκείνην αὐτῇ παραποδίζοιεν τὴν ἀγάπην, καὶ αὐτοὺς ἂν ἀποστέρξοιεν ἡ τῷ τοιούτῳ ἔρωτι ἁλοῦσα ψυχή. Εἰ γὰρ σαρκικῆς κοινωνίας ἀγάπη γάμου, πατρός τε καὶ μητρὸς καὶ ἀδελφῶν διίστησι· κἂν τις φιλῇ τινα τούτων, ἐξ ἐπιπολῆς φιλεῖ, τὴν δὲ διάθεσιν ὅλην καὶ τὸν πόθον πρὸς τὴν συνῳκισμένην αὐτῷ τέτακεν· εἰ ἡ τῆς σαρκὸς φιλία οὕτω λύει πάσης ἄλλης τοῦ κόσμου φιλίας,

ναι μαλακὸς καὶ ρευστός, καὶ ἔχει ἀποβάλλει τὴν φυσική του σκληρότητα, ἐξ αἰτίας τῆς δυνάμεως τῆς φωτιᾶς· ἔτσι καὶ ἡ ψυχή, ἡ ὁποία ἐδέχθηκε τὸ ἐπουράνιο ἐκεῖνο πῦρ, τῆς ἀγάπης τοῦ [Ἁγίου] Πνεύματος, ἀπομακρύνεται ἀπὸ κάθε προσκόλλησι στὸ κοσμικὸ πνεῦμα καὶ ἐλευθερώνεται ἀπὸ τοὺς δεσμοὺς τῆς κακίας καὶ μεταβάλλει καὶ αὐτὴ τὴν φυσικὴ σκληρότητα τῆς ἁμαρτίας, μὲ τὸ νὰ τὰ θεωρῇ ὅλα εὐτελῆ καὶ νὰ τὰ περιφρονῇ. Λέγω δέ, ὅτι ἡ ψυχή, ἡ ὁποία κυριεύθηκε ἀπὸ ἕνα τέτοιο ἔρωτα, καὶ ἂν αὐτὴ εἶχε κάποιους ἀδελφούς, τοὺς ὁποίους ὑπεραγαποῦσε, παρεμπόδιζαν ὅμως αὐτή, πρὸς ἐκείνη τὴν [θεϊκὴ] ἀγάπη της, καὶ αὐτοὺς θὰ [τοὺς] ἀπεμάκρυνε. Διότι, ἐὰν ἡ ἀγάπη τῆς σαρκικῆς ἑνότητας τοῦ γάμου, χωρίζῃ [τὸν ἄνθρωπο] καὶ ἀπὸ τὸν πατέρα καὶ τὴν μητέρα καὶ τὰ ἀδέλφια· καὶ ἂν ἀκόμη κανεὶς ἀγαπᾷ κάποιον ἀπὸ αὐτούς, ἐπιφανειακὰ [φαίνεται ὅτι] τὸν ἀγαπᾷ, ἐνῶ ὅλη τὴν διάθεσι καὶ τὸν πόθο τὰ ἔχει ἀφιερώσει στὴν σύνοικο [καὶ σύζυγό] του. Ἐὰν [λοιπὸν] ἡ σαρκικὴ ἀγάπη [ἔχῃ τὴν δύναμι] νὰ λύῃ [τὸν ἄνθρωπο] ἀπὸ κάθε ἄλλη ἀγάπη τοῦ κόσμου,

σχολῇ γ' ἄν, οἱ ἐκείνῳ τῷ ἀπαθεῖ πόθῳ τρωθέντες, ἔρωτί τινι τῶν τοῦ κόσμου καθεκτοὶ γένοιτο.

οα'. Χρηστὸς ὢν καὶ φιλάνθρωπος ὁ Θεός, μακροθύμως ἔχει καὶ πολύς ἐστιν ἀναμένων τὴν ἑκάστου τῶν ἁμαρτανόντων μετάνοιαν· ἑορτήν τε οὐρανίαν τιθέμενος τὴν τοῦ μεταμελομένου ἐπιστροφήν. Χαρὰ γάρ, φησιν αὐτός, ἐν τῷ οὐρανῷ γίνεται ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι[182]. *Εἰ δέ τις τὴν χρηστότητα ταύτην καὶ μακροθυμίαν ὁρῶν, καὶ ὅτι μὴ τοῖς κατὰ μέρος ἁμαρτήμασιν ἐπεξέρχεται, τὴν μετάνοιαν, ὥσπερ ἔφημεν, ἐκδεχόμενος, κατολιγωρήσει τῆς ἐντολῆς, καὶ τὴν χρηστότητα, φεῦ, ἀφορμὴν σχοίη πρὸς καταφρόνησιν, ἁμάρτημα ἐπὶ ἁμαρτήματι προστιθείς, καὶ πρόσκομμα ἐποικοδομῶν, ῥαθυμίαν τε συνάπτων τῇ ῥαθυμίᾳ, πληροῖ τοὺς τῶν ἁμαρτιῶν ὅρους, καὶ τοιούτῳ λοιπὸν ἁλίσκεται παραπτώματι, ἐξ οὗ μηκέτι παρὸν αὐτῷ*

διόλου βέβαια δὲν θὰ μποροῦσαν ἐκεῖνοι, οἱ ὁποῖοι ἐτρώθησαν ἀπὸ τὸν ἀπαθῆ ἐκεῖνο [θεῖο] πόθο, νὰ κυριευθοῦν ἀπὸ τὸν ἔρωτα κάποιου ἀπὸ τὰ πράγματα τοῦ βίου.

71. Ὁ Θεός, ἐπειδὴ εἶναι ἀγαθὸς καὶ φιλάνθρωπος, μακροθυμεῖ καὶ πολὺ καιρὸ περιμένει τὴν μετάνοια καθενὸς ἁμαρτωλοῦ· καὶ ἀνάγει σὲ οὐράνια ἑορτὴ τὴν ἐπιστροφὴ τοῦ μετανοοῦντος. Διότι, λέγει ὁ Ἴδιος, «χαρὰ γίνεται στὸν οὐρανὸ γιὰ ἕναν ἁμαρτωλὸ ποὺ μετανοεῖ». Ἐὰν ὅμως κανείς, βλέποντας τὴν ἀγαθότητα αὐτὴ καὶ τὴν μακροθυμία [τοῦ Θεοῦ], καὶ ὅτι δὲν τιμωρεῖ [κάθε ἕνα ἀπὸ] τὰ ἐπὶ μέρους ἁμαρτήματα, ἐπειδή, ὅπως εἴπαμε, περιμένει τὴν μετάνοια, παραμελήσῃ τὴν ἐντολή, καὶ τὴν ἀγαθότητα [αὐτὴ τοῦ Θεοῦ], ἀλλοίμονο, τὴν λάβῃ ὡς ἀφορμὴ καταφρονήσεως, προσθέτοντας [ἔτσι] ἁμαρτία πάνω σὲ ἁμαρτία καὶ ὑψώνοντας ἐμπόδια, καὶ συνάπτοντας ραθυμία στὴ ραθυμία, [φθάνει] νὰ διαπράττῃ ὅλες τὶς ἁμαρτίες, καὶ ὀλισθαίνει λοιπὸν σὲ τέτοιο παράπτωμα, ἀπὸ τὸ ὁποῖο πλέον δὲν εἶναι δυνατὸν εἰς αὐτὸν νὰ σηκω-

ἀνακτήσασθαι, ἀλλ᾽ ἐσχάτην τὴν συντριβὴν ὑποστὰς καὶ τῷ πονηρῷ εἰς τέλος συγχωρηθείς, ἀπόλλυται. Οὕτως ἐπὶ Σοδόμων γέγονεν· ἀποπλήσαντες γὰρ καὶ ὑπερβάντες τοὺς τῶν ἁμαρτιῶν ὅρους, ἐπεὶ μηδέν, ὡς εἰπεῖν, ζώπυρον μετανοίας αὐτοῖς ὑπελείφθη, ἀνάλωμα πυρὸς ὑπὸ τῆς θείας δίκης γεγόνασι[183]*. Οὕτως ἐπὶ Νῶε· καὶ γὰρ ἀχαλίνοις χρώμενοι ταῖς ἐπὶ τὴν κακίαν ὁρμαῖς, καὶ μηδὲν εἶδος μετανοίας ἐπιδεικνύμενοι, τηλικοῦτον ἑαυτοῖς ἁμαρτιῶν ὄγκον ἐξεκορύφωσαν, ὡς ἅπασαν ὁμοῦ τὴν γῆν εἰσάπαξ διαφθαρῆναι*[184]*. Οὕτω τοῖς Αἰγυπτίοις πολλὰ πλημμελοῦσι καὶ εἰς τὸν τοῦ Θεοῦ λαὸν ἐξυβρίζουσι, χρηστὸς ἦν ἐκεῖνος· οὐ πανωλεθρίᾳ παραδιδούς, ἀλλὰ διὰ τῶν κατὰ μέρος μαστίγων εἰς μετάνοιαν ἐπαγόμενος· ἐπεὶ δέ, ἐπιστρέφοντες, ἀγαπητῶς πάλιν πρὸς τὴν κακίαν ἀνέστρεφον καὶ τῆς προτέρας εἴχοντο ἀπιστίας,*

θῆ, ἀλλὰ ἀφοῦ ὑποστῆ τελεία συντριβή, καὶ παραδοθῆ ὁλοκληρωτικὰ στὸν πονηρό, χάνει τὴν σωτηρία του. Ἔτσι ἔγινε [καὶ] στὰ Σόδομα· διότι, ἀφοῦ κατεπλήγωσαν [τοὺς ἑαυτούς των] καὶ ξεπέρασαν κάθε ὅριο ἁμαρτίας, [καὶ] διότι δὲν ἔμεινε πλέον σ᾽ αὐτούς, σὰν νὰ λέμε, καμμία σπίθα μετανοίας, καταστράφηκαν μὲ φωτιὰ ἀπὸ τὴν θεία δίκη. Ἔτσι καὶ στὸν καιρὸ τοῦ Νῶε· καὶ ἐπειδὴ [οἱ ἄνθρωποι] ὥρμησαν ἀχαλίνωτα πρὸς τὴν κακία καὶ δὲν ἐπέδειξαν κανένα εἶδος μετανοίας, συσσώρευσαν στοὺς ἑαυτούς των τόσο μεγάλο ὄγκο ἁμαρτιῶν, μὲ ἀποτέλεσμα ὅλη ἡ γῆ νὰ καταστραφῆ διὰ μιᾶς. Ἔτσι [καὶ] στοὺς Αἰγυπτίους, οἱ ὁποῖοι πολὺ ἁμάρτησαν καὶ ἀποθρασύνθηκαν ἐναντίον τοῦ λαοῦ τοῦ Θεοῦ, Ἐκεῖνος ἦταν ἐπιεικής. Διότι δὲν τοὺς κατέστρεψε ὁλοκληρωτικά, ἀλλὰ τοὺς ὁδηγοῦσε σὲ μετάνοια μὲ τὶς ἐπιμέρους μάστιγες [δηλαδὴ τὶς πληγὲς τοῦ Φαραώ]. Ἐπειδὴ ὅμως, ὅταν ἔδειχναν μεταμέλεια [ἐξαιτίας τῶν πληγῶν] ἐπέστρεφαν πάλι μὲ ἀγάπη πρὸς τὴν κακία καὶ ἀπιστοῦσαν ὅπως καὶ

ἔσχατον δὲ καὶ τὸν λαὸν τοῦ Κυρίου τῆς Αἰγύπτου ἀναγόμενον κατεδίωκον, ἀνάλωσεν αὐτοὺς ἡ θεία δίκη τὸ σύνολον καὶ ἀπώλεσεν[185]. Οὕτω τοῦ Ἰσραὴλ πολλὰ ἁμαρτάνοντος καὶ τοὺς Προφήτας ἀποκτενόντος τοῦ Θεοῦ, τῆς συνήθους οὗτος μακροθυμίας ἐγίνετο· ἐπεὶ δὲ εἰς τοῦτο κακίας προέκοψαν, ὡς μηδὲ τὸ δεσποτικὸν δυσωπηθῆναι ἀξίωμα, ἀλλὰ κἀκείνῳ μιαιφόνους χεῖρας ἐπιβαλεῖν[186], καὶ αὐτοὶ καθάπαξ ἀπεβλήθησάν τε καὶ κατεβλήθησαν· καὶ ἤρθη ἀπ᾽ αὐτῶν ἥ τε προφητεία καὶ ἡ ἱερατεία καὶ ἡ λατρεία· καὶ ἐπιστεύθη ταῦτα τοῖς πιστεύσασιν ἔθνεσι[187].

οβ'. Προσδράμωμεν τῷ καλοῦντι Χριστῷ προθύμως, ἐκχέοντες ἐπ᾽ αὐτὸν τὰς καρδίας· καὶ μὴ τὴν ἑαυτῶν, ἐθελοκακοῦντες, ἀπογινώσκομεν σωτηρίαν. Καὶ τοῦτο γὰρ τοῦ πονηροῦ σόφισμα, ὑπομνήσει προτέρων ἁμαρτιῶν

πρῶτα, καὶ τελικὰ καὶ τὸν λαὸν τοῦ Κυρίου, ὅταν ἔφευγε ἀπὸ τὴν Αἴγυπτο, κατεδίωκαν, τοὺς ἀφάνισε ἐντελῶς ἡ θεία δίκη καὶ τοὺς κατέστρεψε. Ἔτσι καὶ [στὸ λαὸ] τοῦ Ἰσραήλ, ποὺ ἁμάρτανε πολὺ καὶ ἐφόνευε τοὺς Προφῆτες, φερόταν ὁ Θεὸς μὲ τὴν συνήθη μακροθυμία Του. Ἐπειδὴ ὅμως προχώρησαν σὲ τόσο [βάθος] κακίας, ὥστε οὔτε τὸ Δεσποτικὸ [τοῦ Χριστοῦ] ἀξίωμα νὰ ἐντραποῦν, ἀλλὰ καὶ ἐναντίον Ἐκείνου νὰ ἁπλώσουν χέρια φονικά, καὶ αὐτοὶ ἅπαξ διὰ παντὸς ἐκδιώχθηκαν [ἀπὸ τὴν πατρίδα τους] καὶ καταστράφηκαν. Καὶ ἀφηρέθη ἀπὸ αὐτοὺς καὶ τὸ προφητικὸν ἀξίωμα καὶ τὸ λειτούργημα τῆς ἱερωσύνης καὶ ἡ λατρεία [στὸν Ναό τους]· καὶ [ὁ Θεὸς] ἐμπιστεύθηκε αὐτὰ στὰ ἔθνη, ποὺ ἐπίστευσαν.

72. Ἂς προστρέξωμε μὲ προθυμία στὸν Χριστό, ὁ Ὁποῖος [μᾶς] προσκαλεῖ, προσφέροντας σ᾽ Αὐτὸν τὶς καρδίες μας· καὶ ἂς μὴν ἀπελπιζώμαστε γιὰ τὴν σωτηρία μας, μὲ τὸ νὰ δειλιάζωμε ἐθελουσίως. Καὶ τοῦτο, βεβαίως, εἶναι τέχνασμα τοῦ πονηροῦ, νὰ μᾶς ὁδηγῆ στὴν ἀπόγνωσι, μὲ τὴν ὑπενθύμισι τῶν προηγουμέ-

ὁδοποιεῖν εἰς ἀπόγνωσιν. Ἀλλ᾽ ἡμῖν κατανοητέον, ὅτι περ εἰ Χριστὸς ἐλθὼν τυφλῶν τε καὶ παραλύτων καὶ κωφῶν ἰατρὸς καὶ διορθωτὴς ἦν, νεκρούς τε ἤδη καταφθαρέντας ἀνίστη[188]*, πόσῳ μᾶλλον τυφλότητα διανοίας καὶ ψυχῆς πάρεσιν καὶ ἀμελοῦς καρδίας οὐκ ἰάσεται κώφευσιν; Ἐπεὶ μηδὲ ἕτερος, ἀλλ᾽ αὐτὸς ὁ τὸ σῶμα κτίσας, αὐτός ἐστι ὁ καὶ τὴν ψυχήν. Καὶ εἰ πρὸς τὰ λυόμενα καὶ θνήσκοντα οὕτως εὐμενῶς καὶ ἱλέως εἶχε, πόσῳ μᾶλλον τῇ ἀθανάτῳ ψυχῇ, κακίας νόσῳ καὶ ἀγνοίας ἁλούσῃ, ἔπειτα προσερχομένῃ τούτῳ καὶ δεομένῃ, φιλανθρώπως καὶ θεραπευτικῶς χρήσεται; Αὐτοῦ γὰρ φωναὶ τό, ὁ Πατήρ μου ὁ οὐράνιος οὐ μὴ ποιήσει ἐκδίκησιν τῶν βοώντων πρὸς αὐτὸν νυκτὸς καὶ ἡμέρας; ναί, λέγω ὑμῖν, ποιήσει τὴν ἐκδίκησιν αὐτῶν ἐν τάχει*[189]*· καὶ τό, αἰτεῖτε καὶ δοθήσεται ὑμῖν, ζητεῖτε καὶ εὑρήσε-*

νων ἁμαρτιῶν μας. Ἀλλὰ ἐμεῖς πρέπει νὰ κατανοήσωμε, ὅτι ἐὰν ὄντως ὁ Χριστός, ὅταν ἦλθε, [καὶ ἐσαρκώθη] ἦταν ἰατρὸς καὶ τυφλῶν καὶ παραλύτων καὶ κωφῶν καὶ ἐθεράπευε [ὅλες αὐτὲς τὶς ἀσθένειες] καὶ ἀνάσταινε νεκρούς, στοὺς ὁποίους εἶχε ἤδη ἀρχίσει ἡ σῆψι, πόσο μᾶλλον δὲν θὰ θεραπεύσῃ τὴν τυφλότητα τῆς διανοίας καὶ τὴν παράλυσι τῆς ψυχῆς καὶ τὴν ἀναισθησία τῆς ἀμελοῦς καρδίας; Ἐπειδὴ δὲν εἶναι ἄλλος, ἀλλὰ Αὐτὸς ὁ Ἴδιος ποὺ ἔπλασε τὸ σῶμα, Αὐτὸς εἶναι καὶ ὁ [δημιουργὸς] τῆς ψυχῆς. Καὶ ἐὰν σ᾽ ἐκεῖνα, ποὺ διαλύονται καὶ πεθαίνουν, [ὅπως τὸ σῶμα], εἶχε τέτοια συμπάθεια καὶ ἔλεος, πόσο μᾶλλον τὴν ἀθάνατη ψυχή, δὲν θὰ τὴν μεταχειρισθῇ φιλάνθρωπα καὶ θεραπευτικά, ὅταν αὐτή, ἀφοῦ [πρῶτα] κυριεύθηκε ἀπὸ τὴ νόσο τῆς κακίας καὶ τῆς ἀγνοίας, προσέρχεται κατόπιν σ᾽ Αὐτὸν καὶ Τὸν παρακαλεῖ; Διότι δικοί Του εἶναι οἱ λόγοι, τό: «ὁ Πατήρ μου ὁ οὐράνιος δὲν θὰ ἀποδώσῃ δικαιοσύνη σ᾽ ἐκείνους, ποὺ κραυγάζουν πρὸς Αὐτὸν ἡμέρα καὶ νύκτα; Ναί, σᾶς λέγω, ὅτι γρήγορα θὰ ἀποδώσῃ τὸ δίκαιό τους»· καὶ τό: «αἰτεῖτε καὶ θὰ σᾶς δοθῇ, ζητεῖτε καὶ

τε, κρούετε καὶ ἀνοιγήσεται ὑμῖν[190]*. Καὶ αὖθις· ὅτι κἂν διὰ τὸ φίλον εἶναι οὐ δώσει αὐτῷ, διά γε τὴν ἀναίδειαν αὐτοῦ, ἀναστὰς δώσει αὐτῷ ὅσου χρῄζει*[191]*, ἀναιδῆ καὶ παράμονον τὴν αἴτησιν προτρεπόμενος γίνεσθαι. Ἐπεί τοι καὶ διὰ τοὺς ἁμαρτωλοὺς ἦλθεν, ἵνα ἐπιστρέψῃ πρὸς ἑαυτόν*[192]*. Μόνον ἡμεῖς τῶν κακῶν προλήψεων, ὅση δύναμις, ἀποστάντες, σχολάσωμεν τῷ Κυρίῳ· καὶ αὐτὸς οὐχ ὑπερορᾷ, ἀλλ᾽ ἕτοιμος ἔσται, παρέχων τὴν παρ᾽ αὐτοῦ βοήθειαν.*

ογ′. Ὥσπερ ἐπὶ τῶν νόσῳ τινὶ καὶ ἀσθενείᾳ κατειλημμένων, ἐπειδὰν μηκέτι τὸ σῶμα δυνατὸν ᾖ τροφῆς καὶ πόσεως μετασχεῖν, εἰς ἀπόγνωσιν τοῦτο συνωθεῖ καὶ θανάτου τεκμήριον γίνεται, θρηνοῦντάς τε ἐπὶ τούτῳ καὶ φίλους ἔχει καὶ τοὺς προσήκοντας, οὕτω δὴ καὶ Θεὸς καὶ Ἄγγελοι, ψυχὰς τὰς μὴ τροφῇ τῇ ἐπουρανίῳ χρήσασθαι δυναμένας, διὰ πολλῆς λύπης καὶ

θὰ βρῆτε, χτυπᾶτε [τὴ θύρα] καὶ θὰ σᾶς ἀνοιχθῇ». Καὶ πάλι· ὅτι: «ἀκόμη καὶ ἂν δὲ τοῦ δώσῃ ὅ,τι [τοῦ ζητεῖ], ἐπειδὴ εἶναι φίλος του, ἐξ αἰτίας ὅμως τῆς ἀναιδείας του, ἀφοῦ σηκωθῇ, θὰ τοῦ δώσῃ ὅ,τι χρειάζεται», [καὶ μὲ αὐτοὺς τοὺς λόγους Του], μᾶς προτρέπει νὰ γίνεται ἡ αἴτησί μας [πρὸς Αὐτὸν] μὲ θάρρος καὶ ἐπιμονή. Ἐπειδή, βεβαίως, ἦλθε καὶ γιὰ τοὺς ἁμαρτωλούς, γιὰ νὰ [τοὺς] ἐπαναφέρῃ κοντά Του. Μόνον ἐμεῖς, ἀφοῦ ἀπομακρυνθοῦμε μὲ ὅλη μας τὴν δύναμι ἀπὸ τὶς κακὲς συνήθειές μας, νὰ ἀφοσιωθοῦμε στὸν Κύριο· καὶ Αὐτὸς δὲν μᾶς παραβλέπει, ἀλλὰ θὰ εἶναι ἕτοιμος νὰ μᾶς δώσῃ τὴν βοήθειά Του.

73. Ὅπως ἀκριβῶς ἐκείνους, τοὺς ὁποίους ἔχει καταλάβει κάποια νόσος καὶ ἀσθένεια, ὅταν πλέον δὲν μπορῇ τὸ σῶμα [τους] νὰ δεχθῇ τροφὴ καὶ νερό, αὐτὸ τοὺς ὠθεῖ σὲ ἀπόγνωσι, καὶ γίνεται ἀποδεικτικὸ σημεῖο θανάτου καὶ γι᾽ αὐτὸ θρηνοῦν οἱ φίλοι καὶ οἱ συγγενεῖς τους, ἔτσι ἀκριβῶς καὶ ὁ Θεὸς καὶ οἱ Ἄγγελοι, [ἔχουν] πολλὴ λύπη καὶ θρηνοῦν γιὰ τὶς ψυχές, οἱ ὁποῖες δὲν μποροῦν νὰ δεχθοῦν τὴν ἐπουρά-

θρήνων ποιοῦνται. Εἰ τοίνυν ἐγένου τῷ Θεῷ θρόνος, ἐκεῖνον ἔχων ἐπικαθήμενον, εἰ γέγονεν ἡ ψυχή σου ὅλη πνευματικὸς ὀφθαλμός, ὅλη φῶς, εἰ ἐτράφης τὴν τροφὴν ἐκείνην τοῦ Πνεύματος, εἰ ποτίζῃ τοῦ ζῶντος ὕδατος[193] *καὶ τοῦ πνευματικοῦ οἴνου, τοῦ τὴν καρδίαν εὐφραίνοντος*[194]*, εἰ ἐνδέδυσαι τῇ ψυχῇ τὰ τοῦ ἀῤῥήτου φωτὸς ἐνδύματα, εἰ πάντων τούτων ὁ ἔσω σου ἄνθρωπος εἰς πεῖραν ἀφίκετο καὶ πληροφορίαν, ἰδοὺ ζῇς τὴν αἰώνιον ὄντως ζωήν, ἐκ τοῦ παρόντος ἤδη τῷ Χριστῷ συναναπαυόμενος. Εἰδ᾽ οὔπω εἴληφας ταῦτα, οὐδ᾽ εἰς κτῆσιν τούτων ἐλήλυθας, κλαῖε θερμῶς καὶ ὀδυρμοῖς κέχρησο, μήπω τοῦ τοιούτου πλούτου τετυχηκέναι· καὶ φροντὶς ἔστω σοι καὶ δέησις διηνεκὴς περὶ τῆς πτωχείας σου. Ἀλλ᾽ εἴθε κἂν τῆς ἑαυτοῦ πενίας αἴσθησις εἰσήει τῷ [addendum: μή] κεκτημένῳ καὶ μή, ὡς τοῦ θείου πλούτου κατακορὴς*

νια τροφή. Ἐὰν λοιπὸν ἔγινες θρόνος τοῦ Θεοῦ, πάνω στὸν ὁποῖο [μόνον] Ἐκεῖνος κάθεται, ἐὰν ἔχῃ γίνει ἡ ψυχή σου ὅλη ἕνας πνευματικὸς ὀφθαλμός, [καὶ] ὅλη φῶς, ἐὰν τράφηκες μὲ τὴν τροφὴ ἐκείνη τοῦ Πνεύματος, ἐὰν ἔχῃς ποτὸ τὸ ζῶν ὕδωρ καὶ τὸν πνευματικὸ οἶνο, ποὺ εὐφραίνει τὴν καρδία, ἐὰν ἔχῃ ἐνδυθῆ ἡ ψυχή σου τὰ τοῦ ἀνεκφράστου φωτὸς ἐνδύματα, ἐὰν ὁ ἐσωτερικός σου ἄνθρωπος ἔφθασε [νὰ λάβῃ] τὴν πεῖρα καὶ τὴν πληροφορία γιὰ ὅλα αὐτά, νὰ λοιπόν, ζῇς ἀπὸ τώρα τὴν ἀληθινὰ αἰώνια ζωή, καὶ ἀναπαύεσαι ἤδη ἀπὸ τὴν παροῦσα ζωή, μαζὶ μὲ τὸν Χριστό. Ἄν, ὅμως, ἀκόμη δὲν ἔχῃς λάβει αὐτά, οὔτε τὰ ἔκανες κτῆμα σου, νὰ κλαίῃς θερμὰ καὶ νὰ ὀδύρεσαι, ποὺ ἀκόμη δὲν ἐπέτυχες [νὰ ἀποκτήσῃς] αὐτὸν τὸν πλοῦτο. Καὶ ἂς σοῦ εἶναι [ἀφορμὴ αὐτὸ] γιὰ φροντίδα καὶ δέησι ἀδιάκοπη γιὰ τὴν [πνευματικὴ] πτωχεία σου. Ἀλλὰ μακάρι, τουλάχιστον, νὰ εἶχε τὴν αἴσθησι τῆς πτωχείας του αὐτός, ποὺ δὲν ἔχει ἀποκτήσει [αὐτὰ] καὶ νὰ μὴν περιέρχεται ἀμέριμνος, σὰν νὰ

ὢν, ἄφροντις περιῆγεν. Ὁ γὰρ ζητῶν, φησίν, εὑρήσει, καὶ τῷ κρούοντι ἀνοιγήσεται[195].

οδ'. Εἰ τὸ σύνθετον ἐκεῖνο ἔλαιον[196] *τοσαύτην εἶχε τὴν δύναμιν, ὡς τοὺς χρισαμένους αὐτῷ λοιπὸν βασιλικῆς ἐπιβαίνειν δόξης*[197]*· πόσῳ γε μᾶλλον οἱ τὸν νοῦν καὶ τὸν ἔσω ἄνθρωπον τῷ ἁγιαστικῷ τῆς ἀγαλλιάσεως ἐλαίῳ*[198] *χριόμενοι καὶ τὸν ἀῤῥαβῶνα τοῦ ἀγαθοῦ λαμβάνοντες πνεύματος, τῶν μέτρων τῆς τελειότητος ἐπιβήσονται, τῆς Χριστοῦ, φημί, Βασιλείας, καὶ υἱοθεσίας αὐτῷ συμμύσται τῷ Βασιλεῖ γινόμενοι, εἰσιέναι τε καὶ ἐξιέναι πρὸς τὸν Πατέρα κατὰ τὸ δοκοῦν αὐτοῖς ἔχοντες. Εἰ γὰρ καὶ μήπω τέλεον τὴν κληρονομίαν εἰλήφασι, τὸ βάρος ἔτι περικείμενοι τῆς σαρκός, ἀλλ᾽ οὖν διὰ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος*[199], *ἐν τῷ ἀσφαλεῖ αὐτοῖς κεῖται τὰ τῶν ἐλπίδων, καὶ ὅτι συμ-*

εἶναι ὑπερπλήρης ἀπὸ τὸν θεῖο πλοῦτο. Διότι λέγει: «Ἐκεῖνος ποὺ ζητᾶ θὰ εὕρῃ, καὶ αὐτὸς ποὺ κρούει [τὴν θύρα] θὰ τοῦ ἀνοιχθῇ».

74. Ἂν τὸ ἔλαιο ἐκεῖνο [τῆς Π. Διαθήκης], τὸ σύνθετο[η'] [ἀπὸ πολλὰ ἀρώματα], εἶχε τόσο μεγάλη δύναμι, ὥστε ἐκεῖνοι, ποὺ ἐχρίοντο μὲ αὐτό, νὰ ἀποκτοῦν τὴν δόξα τοῦ βασιλικοῦ [ἀξιώματος]· πόσο βεβαίως περισσότερο, ἐκεῖνοι ποὺ χρίονται στὸ νοῦ καὶ στὸν ἔσω ἄνθρωπο μὲ τὸ ἁγιαστικὸ «ἔλαιο τῆς ἀγαλλιάσεως» καὶ λαμβάνουν τὸν ἀρραβῶνα τοῦ Ἀγαθοῦ Πνεύματος, θὰ φθάσουν τὰ μέτρα τῆς τελειότητος, ἐννοῶ, τῆς Βασιλείας τοῦ Χριστοῦ καὶ [θὰ ἀξιωθοῦν] τῆς [θείας ὑπ᾽ Αὐτοῦ] υἱοθεσίας καὶ θὰ μυηθοῦν [στὰ οὐράνια μυστήρια] μαζὶ μὲ τὸν Βασιλέα [Χριστό], καὶ θὰ ἔχουν [τὴ δυνατότητα] νὰ εἰσέρχωνται καὶ νὰ ἐξέρχωνται, [ἤτοι νὰ πλησιάζουν] πρὸς τὸν Πατέρα, ὅποτε τὸ ἐπιθυμοῦν. Ἂν καὶ βεβαίως δὲν ἔχουν λάβει ἀκόμη τέλεια τὴν κληρονομία, ἐπειδὴ ἀκόμη φέρουν τὸ βάρος τῆς σάρκας, ἀλλὰ ὅμως [ἐπειδὴ ἔχουν] τὸν «ἀρραβῶνα τοῦ Πνεύματος», αὐτὰ ποὺ ἐλπίζουν ἔχουν τὴν ἀσφάλεια [τῆς βεβαιότητος], καὶ δὲν ἀμφιβάλ-

βασιλεύσουσι τῷ Χριστῷ[200]*, καὶ ἐν περιουσίᾳ καὶ πλεονασμῷ πνεύματος ἔσονται, οὐδὲν αὐτοῖς τὸ ἐνδοιαζόμενον· καθότι τῇ σαρκὶ περιόντες ἔτι, εἰς πεῖραν ἦλθον τῆς δυνάμεως καὶ τῆς ἡδονῆς ἐκείνης. Καὶ γὰρ τὸ ἐπιτεθὲν μετὰ τὴν παρακοὴν τοῖς ἀνθρώποις ὑπὸ τοῦ σατανᾶ κάλυμμα, ἡ χάρις ἐρχομένη, διὰ καθάρσεως τοῦ ἔσω ἀνθρώπου καὶ τοῦ νοός, περιαιρεῖ τέλεον καὶ πᾶν μίασμα καὶ λογισμὸν ἅπαντα ῥυπαρὸν τῆς ψυχῆς ἀποσκυβαλίζει, καθαρὰν αὐτὴν γενέσθαι βουλομένη, καὶ τὴν ἰδίαν ἀπολαβοῦσαν φύσιν, τρανοῖς καὶ ἀνεπικωλύτοις τοῖς ὀφθαλμοῖς τὴν δόξαν τοῦ ἀληθινοῦ φωτὸς κατοπτεύειν. Οἱ τοιοῦτοι, αὐτόθεν ἤδη πρὸς ἐκεῖνον ἁρπάζονται τὸν αἰῶνα καὶ τὰ ἐκεῖ κάλλη καὶ θαύματα καθορῶσι. Καθάπερ γὰρ ὁ σωματικὸς οὗτος ὀφθαλμός, ἀπαθῶς τε καὶ ὑγιῶς ἔχων, ταῖς ἡλιακαῖς αὐγαῖς θαῤῥούντως ἐνατενίζει, οὕτω καὶ οὗτοι· φωτεινῷ χρώμενοι καὶ διακεκαθαρμένῳ*

λουν καθόλου, ὅτι θὰ συμβασιλεύσουν μὲ τὸν Χριστό, καὶ θὰ εἶναι σὲ πνευματικὴ ἀφθονία καὶ πλεονασμό· διότι ἀπὸ αὐτὴ τὴν ζωὴ ἀκόμη ἀπέκτησαν τὴν πεῖρα τῆς δυνάμεως καὶ τῆς ἡδονῆς ἐκείνης. Καὶ βέβαια τὸ κάλυμμα, ποὺ τοποθετήθηκε πάνω στοὺς ἀνθρώπους, μετὰ τὴν παρακοή, ἀπὸ τὸν σατανᾶ, ὅταν ἔρχεται ἡ Χάρι, μὲ τὴν κάθαρσι τοῦ ἔσω ἀνθρώπου καὶ τοῦ νοῦ, τὸ ἀφαιρεῖ ἐντελῶς, καὶ ἀπορρίπτει περιφρονητικὰ κάθε μολυσμὸ καὶ κάθε ἀκάθαρτο λογισμὸ τῆς ψυχῆς, ἐπειδὴ [τὴν] θέλει νὰ γίνῃ καθαρή, και νὰ ἐπανακτήσῃ τὴν ἰδική της [ἀρχικὴ] φύσι, καὶ νὰ ἐποπτεύῃ μὲ μεγάλα καὶ καθαρὰ μάτια τὴν δόξα τοῦ ἀληθινοῦ φωτός. Αὐτοὶ [οἱ ἄνθρωποι], ἀπὸ αὐτὸν ἐδῶ τὸν κόσμο, ἁρπάζονται ἤδη [νοερὰ] πρὸς ἐκεῖνον τὸν [μέλλοντα] αἰῶνα καὶ βλέπουν τὰ κάλλη καὶ τὰ θαυμάσια, [ποὺ εὑρίσκονται] ἐκεῖ. Διότι, ὅπως ἀκριβῶς ὁ σωματικὸς αὐτὸς ὀφθαλμός, ὅταν ἔχῃ ὑγεία καὶ δὲν νοσῇ, ἀτενίζει χωρὶς δισταγμὸ τὶς ἡλιακὲς ἀκτῖνες, ἔτσι καὶ αὐτοί· ἐπειδὴ διαθέτουν φωτεινὸ καὶ κε-

τῷ νῷ, τὰς ἀδύτους αὐγὰς Κυρίου διὰ παντὸς κατοπτεύουσι.

οε΄. Τουτὶ τὸ μέτρον, φησίν, οὐ ῥαδίως ἐφικτὸν τοῖς ἀνθρώποις· ἀλλὰ πόνων δεῖται συχνῶν, ἀγώνων τε καὶ ἱδρώτων μυρίων. Πολλοὶ γάρ εἰσιν, οἷς καὶ ἡ χάρις σύνεστιν ἐνεργοῦσα καὶ ἡ κακία πάλιν, ἐνδομυχοῦσα, ἀφέστηκεν οὐδαμῶς· ἀλλὰ τὰ δύω πνεύματα, τό τε τοῦ φωτὸς καὶ τὸ τοῦ σκότους εἰς μίαν καὶ τὴν αὐτὴν ἐνεργεῖ καρδίαν. Ἐρεῖς γοῦν μοι πάντως, τίς δὲ κοινωνία φωτὶ πρὸς σκότος; ἢ τίς συγκατάθεσις ναῷ Θεοῦ μετὰ εἰδώλων[201]*; Κἀγὼ δὲ αὐτό σοι ἀποκρινοῦμαι, τίς γὰρ κοινωνία φωτὶ πρὸς σκότος; ἢ ποῦ τὸ θεῖον φῶς ἐπισκοτίζεται ἢ θολοῦται ἢ καταμιαίνεται, τὸ καθαρὸν ἀκριβῶς καὶ ἀμίαντον; Τὸ φῶς γὰρ ἐν τῇ σκοτίᾳ φαίνει, φησί, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν*[202]*· ὥστε οὐκ ἀνὰ*

καθαρμένο [ἀπὸ πάθη] νοῦ, ἐποπτεύουν πάντοτε τὶς ἄδυτες τοῦ Κυρίου ἐλλάμψεις.

75. Αὐτὸ ἐδῶ τὸ μέτρο, λέγει, δὲν εἶναι εὔκολα προσιτὸ στοὺς ἀνθρώπους· ἀλλὰ χρειάζεται συνεχεῖς κόπους καὶ μυρίους ἀγῶνες καὶ ἱδρῶτες. Διότι εἶναι πολλοὶ [ἐκεῖνοι], στοὺς ὁποίους καὶ ἡ Χάρι συνυπάρχει καὶ ἐνεργεῖ καὶ ἡ κακία πάλι, ἡ ὁποία ὑφίσταται ἐνδόμυχα [στὴν καρδία τους], δὲν ἀπομακρύνεται καθόλου· ἀλλὰ τὰ δύο πνεύματα, καὶ αὐτὸ τοῦ φωτὸς καὶ ἐκεῖνο τοῦ σκότους, ἐνεργοῦν μέσα σ᾽ αὐτὴ τὴν ἴδια καρδία. Θὰ μοῦ πῇς λοιπὸν ὁπωσδήποτε, «ποιὰ ἐπικοινωνία [ὑπάρχει] ἀνάμεσα στὸ φῶς καὶ τὸ σκότος;» Ἢ «ποιὰ συνύπαρξι [μπορεῖ νὰ νοηθῇ] μεταξὺ τοῦ ναοῦ τοῦ Θεοῦ καὶ [τοῦ ναοῦ] τῶν εἰδώλων;» Κι ἐγὼ λοιπὸν θὰ σοῦ ἀποκριθῶ αὐτό, τί κοινὸ βεβαίως ὑπάρχει ἀνάμεσα στὸ φῶς καὶ τὸ σκότος; Ἢ πῶς τὸ θεῖο φῶς σκιάζεται ἢ θολώνει ἢ ἐπιμολύνεται, [αὐτὸ ποὺ εἶναι] ἐντελῶς καθαρὸ καὶ ἀμόλυντο; Διότι, «τὸ φῶς, λέγει [ἡ Γραφή], λάμπει μέσα στὸ σκοτάδι καὶ τὸ σκοτάδι [δὲν μπόρεσε ποτὲ] νὰ ἐξουδετερώσῃ [τὸ φῶς]». Ὥστε,

μέρος ἐκληπτέον, οὐδὲ μονοτρόπως τὰ πράγματα. Καὶ γὰρ εἰς τοσοῦτόν τινες ἐναναπαύονται τῇ χάριτι τοῦ Θεοῦ, ἐς ὅσον ἑαυτῶν δύνασθαι κρατεῖν καὶ μὴ ἡττᾶσθαι τῆς ἐγκατοικούσης αὐτοῖς ἁμαρτίας· καὶ συμβαίνει νῦν εὐχὴν εὐπάρεδρον ἔχοντας καὶ ἀνάπαυσιν, ἔπειτα ὑπὸ ῥυπαρῶν λογισμῶν ἐνεργεῖσθαι καὶ ὑπὸ τῆς ἁμαρτίας κλέπτεσθαι, συνούσης δηλαδὴ καὶ τῆς χάριτος. Οἱ μὲν οὖν ἐλαφροί τε καὶ οὔπω τῆς ἀκριβείας ἐπειλημμένοι ποσῶς αὐτοῖς τῆς θείας χάριτος ἐνεργούσης, ἔδοξαν εἰσάπαξ ἀπολελύσθαι τῆς ἁμαρτίας· οἱ δὲ διάκρισίν τε καὶ νοῦν ἔχοντες, οὐκ ἂν ἀρνηθεῖεν, ὅτι καὶ τῆς τοῦ Θεοῦ χάριτος ἐνοικούσης, οὐχὶ καὶ ὑπὸ αἰσχρῶν καὶ ἀτόπων διασείονται λογισμῶν.

ος'. Εἴδομέν τινας ἐν τοῖς ἀδελφοῖς πολλάκις οὕτω πλουσίας τῆς χάριτος ἀπολελαυκότας, ὡς πέντε

δὲν πρέπει νὰ ἑρμηνεύωμε τὰ πράγματα ξεχωριστὰ [τὸ ἕνα ἀπὸ τὸ ἄλλο], οὔτε μὲ ἕνα καὶ μόνο τρόπο. Καὶ μερικοί, βέβαια, ἐπαναπαύονται [στὸ νὰ ἔχουν] τὴν Χάρι τοῦ Θεοῦ σὲ τέτοιο βαθμό, ὅσο νὰ μποροῦν νὰ συγκρατοῦν τοὺς ἑαυτούς των, καὶ νὰ μὴν νικῶνται ἀπὸ τὴν ἁμαρτία, ποὺ κατοικεῖ μέσα τους· καὶ [ἔτσι] συμβαίνει, τώρα νὰ ἔχουν καθαρὰ προσευχὴ καὶ ἀνάπαυσι καὶ ἔπειτα νὰ δέχωνται τὴν ἐνέργεια τῶν ἀκαθάρτων λογισμῶν καὶ νὰ κλέπτωνται ἀπὸ τὴν ἁμαρτία, ἐνῶ δηλαδὴ συνυπάρχει σ᾽ αὐτοὺς καὶ ἡ Χάρι. Ὅσοι μέν, λοιπόν, εἶναι ἐπιπόλαιοι καὶ ἀκόμη δὲν ἔχουν ἀποκτήσει τὴν ἀκρίβεια, ὅταν κάπως ἐνεργῇ σ᾽ αὐτοὺς ἡ Θεία Χάρι, νομίζουν ὅτι ἐλευθερώθηκαν γιὰ πάντα ἀπὸ τὴν ἁμαρτία· οἱ ἄλλοι δέ, ποὺ ἔχουν διάκρισι καὶ νοῦν δὲν θὰ μποροῦσαν νὰ ἀρνηθοῦν, ὅτι ἂν καὶ ἔχουν ἔνοικο [στὴν καρδία τους] τὴν Χάρι τοῦ Θεοῦ, δὲν ταράσσονται ἀπὸ αἰσχροὺς καὶ ἀνάρμοστους λογισμούς.

76. Γνωρίσαμε μερικοὺς ἀνάμεσα στοὺς ἀδελφούς, οἱ ὁποῖοι τόσο πλούσια, εἶχαν ἀπολαύσει τὴν Χάρι, ὥστε γιὰ πέντε

χρόνων καὶ ἓξ ἀπομαρανθῆναι τέλεον αὐτοῖς καὶ ἀποσβῆναι τὰ τῆς ἐπιθυμίας· εἶτα ὡς ἔδοξαν ὅρμου καὶ γαλήνης ἐπιλαβέσθαι, τότε καθάπερ ἐξ ἐνέδρας ἐπιφανεῖσα τούτοις ἡ κακία, οὕτω δυσμενῶς ἐπέθετο καὶ ἀγρίως, ὡς ἔκπληξιν αὐτοῖς ἐνθεῖναι καὶ ἀπορίαν. Τεθάῤῥηκε τοίνυν οὐδεὶς τῶν ὀξὺ διὰ σύνεσιν βλεπόντων, εἰπεῖν, ὅτι τῆς χάριτός μοι συνούσης, ἀπήλλαγμαι λοιπὸν καὶ τῆς ἁμαρτίας. Ἐνεργεῖ γάρ, ὥσπερ εἴρηται, καὶ τὰ δύω ἐν τῷ ἑνὶ καὶ τῷ αὐτῷ νῷ, κἂν οἱ εὔκολοί τε καὶ ἀμαθεῖς μικρόν τι κίνημα πνευματικὸν ἐσχηκότες, νενικήκαμεν ἤδη λέγουσιν. Ἐμοὶ δὲ δοκῶ τὰ πράγματα οὕτως ἔχειν. Ὥσπερ ὅταν ἡλίου καθαρῶς ἐπιλάμποντος, σκοτεινὸς ἀὴρ ἄφνω ἢ ὁμίχλη ἐπιδραμοῦσα ἐπισκοτίσειεν αὐτοῦ τῷ καλῷ φωτί, τούτῳ γὰρ παραπλησίως ἔχουσι τῷ λόγῳ οἱ τῆς μὲν τοῦ Θεοῦ χάριτος ἐπιτυχόντες,

καὶ ἕξι χρόνια νὰ ἔχουν σ᾽ αὐτοὺς τελείως μαραθῆ καὶ σβήσει τὰ [κινήματα] τῆς [κακῆς] ἐπιθυμίας· κατόπιν, ὅταν ἐνόμισαν ὅτι ἔφθασαν σὲ λιμάνι καὶ γαλήνη, τότε σὰν ἀπὸ ἐνέδρα, ἐμφανίσθηκε σ᾽ αὐτοὺς ἡ κακία, καὶ [τοὺς] ἔκανε ἐπίθεσι μὲ τόσο σκληρὸ καὶ ἄγριο τρόπο, ὥστε νὰ τοὺς ἐμβάλῃ σὲ ἔκπληξι καὶ ἀπορία. Κανένας ὅμως, ἀπὸ ὅσους βλέπουν [τὰ πράγματα] μὲ ὀξυδέρκεια, λόγῳ τῆς συνέσεώς τους, δὲν ἔχει τολμήσει νὰ εἰπῇ, ὅτι ἀφοῦ ἔχω τὴν Χάρι μαζί μου, ἔχω ἀπαλλαγὴ ἀπὸ τὴν ἁμαρτία. Διότι, ὅπως ἔχει λεχθῆ, ἐνεργοῦν καὶ τὰ δύο, [ἡ Χάρι καὶ ἡ ἁμαρτία], στὸν ἕνα καὶ τὸν ἴδιο νοῦ, ἂν καὶ οἱ ἐπιπόλαιοι καὶ ἀμαθεῖς, μόλις ἔχουν [νοιώσει] κάποια μικρὰ πνευματικὴ κίνησι [μέσα τους], ἀμέσως λένε «ἔχομε νικήσει». Ἐγὼ λοιπὸν νομίζω, ὅτι τὰ πράγματα ἔτσι ἔχουν. Ὅπως, ἀκριβῶς, ἐάν, ἐνῶ ὁ ἥλιος φώτιζε λαμπρὰ [τὴ γῆ,] ἐρχόταν ξαφνικὰ σκοτεινὸς ἄνεμος ἢ ἁπλωνόταν ὁμίχλη, θὰ ἐσκότιζαν τὸ λαμπερὸ φῶς αὐτοῦ [τοῦ ἡλίου], ἔτσι παρόμοια μ᾽ αὐτὰ τὰ λόγια [συμβαίνει] μ᾽ αὐτούς, οἱ ὁποῖοι ἀξιώθηκαν μὲν τῆς Χάριτος τοῦ Θεοῦ,

μήπω δὲ πρὸς ἀκρίβειαν διακαθαρθέντες, ἀλλ' ἐν τῷ βάθει ἔτι κατάσχετοι ὄντες ὑπὸ τῆς ἁμαρτίας, ὥστε πολλῆς τῷ ὄντι τῆς διακρίσεως δεῖ πρὸς τὸ πείρᾳ ταῦτα τῇ τελεωτάτῃ παραλαβεῖν.

οζ'. Ὥσπερ ἀμήχανον ὀφθαλμῶν ἄνευ καὶ γλώττης, ὤτων τε καὶ ποδῶν, βλέπειν ἢ λαλεῖν ἢ ἀκούειν ὅλως ἢ περιπατεῖν· οὕτως ἐπίσης ἀδύνατον ἄνευ τοῦ Θεοῦ καὶ τῆς ἐκεῖθεν διαδιδομένης ἐνεργείας, μυστηρίων κοινωνῆσαι θείων καὶ εἰδέναι Θεοῦ σοφίαν ἢ κατὰ Πνεῦμα πλουτεῖν. Οἱ μὲν γὰρ σοφοὶ τῶν Ἑλλήνων ἐν λόγοις ἀσκοῦνται καὶ πρὸς λογομαχίας ἐκθύμως ἠσχόληνται. Οἱ δὲ τοῦ Θεοῦ δοῦλοι, κἂν ἀνομίλητοι λόγῳ ὦσιν, ἀλλ' οὖν θείᾳ γνώσει καὶ Θεοῦ χάριτι καταρτίζονται διὰ παντός.

οη'. Πείθομαι λέγειν, φησίν, ὅτι καὶ αὐτοῖς ἐκείνοις τοῖς Ἀποστόλοις, τοῦ ἀγαθοῦ Παρακλήτου πεπλη-

δὲν ἔφθασαν ὅμως νὰ καθαρθοῦν τελείως, ἀλλὰ στὸ βάθος τους κατέχονται ἀκόμη ἀπὸ τὴν ἁμαρτία, ὥστε χρειάζεται ὄντως μεγάλη διάκρισι, γιὰ νὰ τὰ καταλάβῃ [κανεὶς] αὐτὰ μὲ τὴν τέλεια πεῖρα.

77. Ὅπως [εἶναι] ἀδύνατο, χωρὶς μάτια καὶ γλῶσσα καὶ αὐτιὰ καὶ πόδια, νὰ βλέπῃ [κανεὶς] ἢ νὰ ὁμιλῇ ἢ νὰ ἀκούῃ καθαρὰ ἢ νὰ βαδίζῃ· ἔτσι ἐπίσης [εἶναι] ἀδύνατο χωρὶς τὸν Θεὸ καὶ [χωρὶς] τὴν ἐνέργεια, ποὺ δίδεται ἀπὸ Ἐκεῖνον, νὰ γίνῃ [κάποιος] κοινωνὸς τῶν θείων μυστηρίων καὶ νὰ γνωρίσῃ τὴν σοφία τοῦ Θεοῦ ἢ νὰ ἀποκτήσῃ τὸν πλοῦτο τοῦ [Ἁγίου] Πνεύματος. Διότι, οἱ μὲν σοφοὶ τῶν Ἑλλήνων, [δηλαδὴ τῶν εἰδωλολατρῶν], ἀσκοῦνται σὲ λόγους [καὶ ρητορεῖες] καὶ μετέχουν πρόθυμα σὲ λογομαχίες. Οἱ δοῦλοι ὅμως τοῦ Θεοῦ, καὶ ἂν [ἀκόμη] εἶναι ἀδαεῖς στὸ λόγο, ἀλλὰ ὅμως καταρτίζονται συνεχῶς [καὶ τελειοποιοῦνται] μὲ τὴν ἐκ Θεοῦ γνῶσι καὶ τὴν Θεία Χάρι.

78. Ἔχω τὴν πεποίθησι, λέγει [ὁ Ἅγιος], ὅτι καὶ σ' αὐτοὺς τοὺς ἴδιους τοὺς Ἀποστόλους, ποὺ ἦταν γεμάτοι ἀπὸ τὴν Χάρι τοῦ

ρωμένοις, οὐ μενοῦν καθαρῶς ὑπῆρχε φροντίδων ἀνεῖσθαι· ἀλλά, πρὸς τῇ ἀγαλλιάσει καὶ ἀῤῥήτῳ χαρᾷ, καὶ φόβος τις εἵπετο ἐξ αὐτῆς δήπου τῆς χάριτος, οὐχὶ τοῦ τῆς κακίας μέρους ἔχων τὰς ἀφορμάς· αὐτὴ γὰρ ἡ χάρις, ἐν ἀσφαλεῖ τὰ ἐκείνων ἐτίθει, τοῦ μηδὲ πρὸς μικρὸν ἐκβῆναι τοῦ καλῶς ἔχοντος. Καὶ ὥσπερ τι παιδίον μικρᾷ ψηφίδι τεῖχος βεβληκὸς οὐδὲν ἤνυσεν, ἢ ὥς τι βέλος ἀσθενὲς θώρακα ἰσχυρὸν ἥκιστα ἂν βλάψειεν, οὕτω δὴ καὶ μέρος τι τῆς κακίας προσβάλλον αὐτοῖς, ἄπρακτόν τε καὶ μάταιον ἀπηλέγχετο, ἅτε τῇ τοῦ Χριστοῦ δυνάμει καλῶς φραξαμένοις· πλὴν ἀλλὰ καὶ τελείοις αὐτοῖς οὖσιν ἡ τοῦ αὐτεξουσίου ἐλευθερία παρῆν, καὶ οὐχ ὥς τινες ἀνοήτως φασίν, ὅτι μετὰ χάριν τὸ ἀπὸ τοῦδε φροντίδων λύσις καὶ ἄνεσις. Ζητεῖ γὰρ ὁ Κύριος, κἂν τοῖς τελείοις τὸ θέλη-

Ἀγαθοῦ Πνεύματος, δὲν ὑπῆρχε δυνατότητα νὰ ἀπαλλαγοῦν τελείως ἀπὸ τὶς φροντίδες· ἀλλά, μαζὶ μὲ τὴν ἀγαλλίασι καὶ τὴν ἀνέκφραστη χαρά, τοὺς ἀκολουθοῦσε καὶ κάποια ἀγωνία, ἡ ὁποία εἶχε τὶς ἀφορμὲς ἀπὸ αὐτὴ βέβαια τὴν Χάρι καὶ ὄχι ἐκ μέρους τῆς κακίας· διότι αὐτὴ ἡ ἴδια ἡ Χάρι ἐξασφάλιζε ὅσα τοὺς ἀφοροῦσαν, ὥστε νὰ μὴν ξεφύγουν οὔτε καὶ στὸ ἐλάχιστο ἀπὸ τὴν καλὴ κατάστασί [τους]. Καὶ ὅπως ἕνα παιδάκι, ποὺ πετᾶ ἕνα χαλικάκι σὲ ἕνα τεῖχος δὲν κατάφερε τίποτε [ἐναντίον του], ἢ ὅπως ἕνα ἀσθενικὸ βέλος πολὺ λίγο θὰ ἔβλαπτε ἕνα ἰσχυρὸ θώρακα, ἔτσι λοιπὸν καὶ ὅταν κατὰ τὸ ἐλάχιστο προσέβαλλε αὐτούς, [τοὺς Ἀποστόλους δηλαδή], ἡ κακία, ἀποδεικνυόταν ἄπρακτη καὶ μάταιη, ἐπειδὴ ἦταν πολὺ καλὰ προστατευμένοι μὲ τοῦ Χριστοῦ τὴν δύναμι. Ἀλλὰ ὅμως, ἂν καὶ ἦταν τέλειοι, ἦταν παροῦσα σ᾽ αὐτοὺς καὶ ἡ ἐλευθερία τοῦ αὐτεξουσίου, καὶ [δὲν συνέβαινε αὐτό], ποὺ μερικοὶ ἀνόητα λέγουν, ὅτι μετὰ τὴν Χάρι καὶ εἰς τὸ ἑξῆς παύουν οἱ φροντίδες καὶ [ἔρχεται] ἡ ἄνεσι [τῆς ἀναπαύσεως]. Διότι ζητεῖ ὁ Κύριος, ἀκόμη καὶ ἀπὸ τοὺς

μα τῆς ψυχῆς εἰς διακονίαν τοῦ Πνεύματος, ὥστε συμβῆναι ταῦτα ἀλλήλοις· λέγει γὰρ ὁ Ἀπόστολος· τὸ Πνεῦμα μὴ σβέννυτε[203].

οθ΄. Τὸ μὲν ἁπλῷ λόγῳ παραδιδόναι τὰ πράγματα, πρόχειρόν τι καὶ εὐπετές. Ῥᾴδιον γὰρ τῷ παντὶ λέγειν τὸν ἄρτον τοῦτον, ὑποδείγματος δὲ λόγῳ φαμέν, ἀπὸ σίτου γεγενῆσθαι· τὴν μέντοι κατὰ μέρος αὐτοῦ κατασκευὴν ἐκθέσθαι, οὐ τοῦ παντὸς γνῶναι, ἀλλὰ μόνων ἐστὶ τῶν πεπειραμένων. Οὕτω γοῦν καὶ τὸ μὲν ἁπλῶς περὶ ἀπαθείας λέγειν καὶ τελειότητος εὐχερές· τὸ δὲ πείρᾳ καὶ ἀληθείᾳ τὸ πρᾶγμα παραλαβεῖν, τοῦτό ἐστι τὸ ἔργῳ καὶ ἀληθείᾳ καταλαβεῖν τὴν κατασκευὴν τῆς τελειότητος.

π΄. Ὅσοι λόγους πνευματικούς, γεύσεώς τε καὶ πείρας ἐκτός, φθέγγονται, τούτους ἐοικέναι, φημί, ἀνθρώπῳ, θέρους ὥρᾳ,

τελείους, ἡ βούλησι τῆς ψυχῆς [νὰ τίθεται] στὴν διακονία τοῦ [Ἁγίου] Πνεύματος, ὥστε νὰ συνυπάρχουν καὶ τὰ δύο, διότι λέγει ὁ Ἀπόστολος: «[Τὰ χαρίσματα] τοῦ Πνεύματος, [ποὺ εἶναι φῶς], μὴν σβήνετε».

79. Νὰ ἀσχολῆται κανεὶς μὲ τὰ πράγματα μόνο διὰ τῶν λόγων, [εἶναι] κάτι πρόχειρο καὶ εὐκολοκατόρθωτο. Διότι, εἶναι πολὺ εὔκολο στὸν καθένα νὰ λέγῃ, ὅτι αὐτὸς ὁ ἄρτος, γιὰ παράδειγμα τοῦ λόγου τὸ λέμε, ἔχει γίνει ἀπὸ σιτάρι· ὅμως τὸ νὰ ἐκθέσῃ [κανεὶς] μὲ λεπτομέρεια τὸν [τρόπο] τῆς κατασκευῆς του, δὲν μπορεῖ ὁ καθένας νὰ [τὸ] γνωρίζῃ, ἀλλὰ εἶναι μόνον [ἐφικτὸ] σ᾿ ἐκείνους ποὺ ἔχουν αὐτὴν τὴν ἐμπειρία. Ἔτσι λοιπόν, καὶ ἐνῶ τὸ νὰ ὁμιλῆ [κανεὶς] ἁπλῶς [καὶ μόνον] γιὰ τὴν ἀπάθεια καὶ τὴν τελειότητα [εἶναι] εὔκολο· τὸ νὰ ἀντιληφθῇ ὅμως κατὰ ἀλήθεια καὶ ἐμπειρικὰ αὐτὸ τὸ θέμα, αὐτὸ σημαίνει νὰ κατανοήσῃ ἀληθινὰ στὴν πρᾶξι πῶς κατορθώνεται ἡ τελειότητα.

80. Ὅσοι ὁμιλοῦν γιὰ πνευματικὰ θέματα, [τῶν ὁποίων ὅμως δὲν ἔχουν] οὔτε γεῦσι οὔτε πεῖρα, αὐτοί, λέγω, ὁμοιάζουν μὲ ἄνθρωπο, ποὺ σὲ ὥρα καλοκαι-

μεσημβρίας ἀκριβοῦς ἱσταμένης, πεδίον ἔρημόν τι καὶ ἄνυδρον διϊόντι· εἶτα ὑπὸ πολλῆς καὶ φλογώδους τῆς δίψης κατὰ νοῦν αὐτῷ ὑπογράφοντι πηγήν τινα ψυχρὰν ἐγγὺς οὖσαν, γλυκύ τε καὶ διειδὲς ὕδωρ ἔχουσαν, καὶ αὐτὸν οὐδενὸς εἴργοντος ἀπολαύοντα κατὰ κόρον· ἢ ἀνθρώπῳ μέλιτος μὲν οὐδὲ βραχὺ γευσαμένῳ, ἑτέροις δὲ ὅπως ἔχει γλυκύτητος πειρωμένῳ διασαφεῖν. Τοιοῦτοι γὰρ ἀληθῶς, ὅσοι μὴ ἔργῳ καὶ πληροφορίᾳ τῇ ἑαυτῶν τὰ περὶ τελειότητός τε καὶ ἁγιασμοῦ καὶ ἀπαθείας παραλαβόντες, ἑτέροις εἰσηγεῖσθαι βούλονται· καὶ γὰρ εἰ δῴη Θεὸς μικράν τινα τῶν παρ᾽ αὐτῶν λεγομένων λαβεῖν αἴσθησιν, εἴσονται πάντως, ὅτι μὴ κατὰ τὴν ἐκείνων εἰσήγησιν, ἀλλὰ πολλῷ τῷ διαφέροντι τὰ τῆς ἀληθείας εἶχε καὶ τῶν πραγμάτων. Κινδυνεύει γάρ πως ὁ Χριστιανισμὸς τοῦ εἰκότως κατὰ μικρὸν παρεκφέρεσθαι, καὶ νοεῖν

ριοῦ [καὶ] ἐνῶ εἶναι ἀκριβῶς μεσημέρι, περνάει μέσα ἀπὸ ἕνα ἄνυδρο καὶ ἔρημο τόπο. Ἔπειτα ἀπὸ τὴν πολλὴ καὶ ἔντονη δίψα, ποὺ τὸν φλογίζει, σχεδιάζει μὲ τὸν νοῦ του, ὅτι κοντὰ εἶναι κάποια κρύα πηγή, ἡ ὁποία ἔχει καὶ γλυκὸ καὶ καθαρὸ νερό, καὶ ὅτι τὴν ἀπολαμβάνει [πίνοντας] μέχρι κορεσμοῦ, χωρὶς νὰ τὸν ἐμποδίζῃ κανείς. Ἢ [ὁμοιάζει] μὲ ἄνθρωπο ποὺ δὲν ἔχει [ποτὲ] γευθῆ οὔτε λίγο ἀπὸ τὸ μέλι, καὶ προσπαθεῖ νὰ διευκρινίσῃ στοὺς ἄλλους, πῶς εἶναι ἡ γλυκύτητά [του]. Τέτοιοι εἶναι πράγματι, ὅσοι ἂν καὶ δὲν ἔμαθαν στὴν πρᾶξι καὶ μὲ δική τους [ἐσωτερικὴ] πληροφορία, τὰ σχετικὰ μὲ τὴν τελειότητα καὶ μὲ τὸν ἁγιασμὸ καὶ τὴν ἀπάθεια, θέλουν ὅμως νὰ τὰ ἀναλύουν στοὺς ἄλλους. Καὶ βέβαια ἐὰν δώσῃ ὁ Θεὸς νὰ λάβουν μιὰ μικρὴ αἴσθησι γιὰ αὐτὰ ποὺ λέγουν, τότε πάντως θὰ ἐννοήσουν, ὅτι δὲν [ἦταν] ὅπως τὰ ἔλεγαν ἐκεῖνοι, ἀλλὰ ἦταν πολὺ διαφορετικὴ ἡ ἀλήθεια ἀπὸ τὰ πράγματα [ποὺ ἔλεγαν]. Κινδυνεύει δηλαδὴ κάπως ὁ Χριστιανισμὸς νὰ ἐκτρέπεται λίγο λίγο ἀπὸ τὴν σωστή του [πορεία] καὶ νὰ

ἀθεΐαν· καὶ οὕτως ὁ Χριστιανισμός, οἱονεὶ βρῶσίς τις εἶναι καὶ πόσις, καὶ ὅσῳ τίς αὐτῷ κέχρηται, τοσούτῳ καὶ πρὸς πλείονα τὴν ἐπιθυμίαν ἀνάπτεται, καὶ γίνεται αὐτῷ ὁ νοῦς ἀκόρεστός τε καὶ ἀνεπίσχετος, ὡς εἴ τις διψῶντι πόμα ἡδὺ παρασχών, παρασκευάσειε τοῦτον, οὐχ ὑπὸ τῆς δίψης μόνης, ἀλλὰ καὶ ὑπ' αὐτῆς ἔτι τῆς ἡδονῆς, λιχνότερόν πως προσκεῖσθαι τῷ πινομένῳ. Ταῦτα δὲ ὥσπερ εἴρηται, οὐ λόγοις ψιλοῖς μόνοις νοοῦμεν, ἀλλ' ἐργασίᾳ Πνεύματος Ἁγίου ἐν μυστηρίῳ κατὰ νοῦν ἐπιτελούμενά ἐστι, καὶ λέγεται οὕτως.

πα'. Τὸ μὲν Εὐαγγέλιον, φησίν, ἀποφαντικῶς διακελεύεται πάντα ἄνθρωπον τόδε μὴ ποιεῖν ἢ ποιεῖν, ὥστε φίλον γενέσθαι τῷ φιλανθρώπῳ Βασιλεῖ· μὴ ὀργισθῇς[204] γάρ, φησί· μὴ ἐπιθυμήσῃς[205]· ἐὰν τίς σε ῥαπίσῃ εἰς τὴν δεξιὰν σιαγόνα, στρέψον αὐτῷ καὶ τὴν ἄλλην[206]. Ὁ δὲ Ἀπόστολος κατὰ πόδας τῶν ἐπιτε-

νοῆται ὡς ἀθεΐα[5]. Καὶ ἔτσι ὁ Χριστιανισμός, εἶναι σὰν κάποια τροφὴ καὶ ποτό, καὶ ὅσο [περισσότερο] κανεὶς τὸν δοκιμάζει, τόσο ἀνάβει τὴν ἐπιθυμία του γιὰ περισσότερα, καὶ γίνεται σ' αὐτὸν ὁ νοῦς ἀκόρεστος καὶ ἀσυγκράτητος, ὅπως σὰν νὰ δώσῃ κανεὶς σ' ἕναν διψασμένο ἕνα γλυκὸ ποτό, καὶ ἔτσι νὰ τὸν κάνῃ ὄχι ἀπὸ τὴν δίψα μόνη, ἀλλὰ καὶ ἀπὸ αὐτὴ ἀκόμη τὴν ἡδονή, νὰ ποθῇ πιὸ ἄπληστα τὸ ποτό. Αὐτὰ ὅμως, ὅπως ἔχει λεχθῆ, δὲν τὰ κατανοοῦμε μόνο μὲ ἁπλᾶ λόγια, ἀλλὰ ἐπιτελοῦνται μὲ τὴν μυστικὴ νοερὰ ἐργασία τοῦ Ἁγίου Πνεύματος, καὶ ἔτσι λέγονται.

81. Λέγει [ὁ Ἅγιος], ὅτι τὸ μὲν Εὐαγγέλιο διατάσσει κατηγορηματικὰ κάθε ἄνθρωπο νὰ κάνῃ ἢ νὰ μὴν κάνῃ κάτι, ὥστε νὰ γίνῃ φίλος τοῦ φιλανθρώπου Βασιλέως· διότι λέγει: «Μὴν ὀργισθῇς, μὴν ἐπιθυμήσῃς, ἐὰν σὲ ῥαπίσῃ κάποιος στὴ δεξιὰ σιαγόνα, γύρισε [πρόθυμα] καὶ τὴν ἄλλη». Ὁ δὲ Ἀπόστολος, ἀκολουθώντας πιστὰ τὰ προστάγματα [τοῦ

ταγμένων ἐλθών, καὶ ὅπως χρὴ κατὰ μικρὸν γενέσθαι τὸ τῆς καθάρσεως ἔργον, ὅτι μεθ᾽ ὑπομονῆς καὶ μακροθυμίας, ἐκπαιδεύει· πρῶτα μὲν γαλακτοτροφῶν ὡς νηπίους[207], εἶτα φέρων εἰς αὔξησιν[208], καὶ αὖθις εἰς τελειότητα[209]· οἷον, ὡς ἐν παραδείγματι φάναι, τὸ μὲν Εὐαγγέλιον τέλειος ἐξ ἐρίου, εἶπε, γινέσθω χιτών· ὁ δὲ Ἀπόστολος καὶ πῶς δεῖ ξαίνεσθαι τοῦτον, ὑφαίνεσθαί τε καὶ κατασκευάζεσθαι τὸν χιτῶνα καλῶς διεσάφησεν.

πβ'. Εἰσί τινες πορνείας μὲν τῆς φαινομένης καὶ κλοπῆς καὶ πλεονεξίας καὶ τῶν ὁμοίων ἀπεχόμενοι μοχθηρῶν· καὶ κατὰ τοῦτο, ἐγκρίνοντες τοῖς Ἁγίοις· πολλοῦ δὲ δέουσι τῶν πραγμάτων γίνεσθαι καὶ τῆς ἀληθείας. Οἰκουρεῖ γὰρ ἐν τῷ νῷ τούτων ἡ κακία πολλάκις, ζῇ τε καὶ ἕρπει· καὶ οὕτω ἀπολιποῦσα τούτους ᾤχετο. Ἅγιος δέ ἐστιν ὁ ἁγιασθεὶς καὶ τὸν

Κυρίου], καὶ ὅτι πρέπει σταδιακὰ νὰ γίνεται τὸ ἔργο τῆς καθάρσεως, μὲ ὑπομονὴ δηλαδὴ καὶ μακροθυμία, [μὲ αὐτὸ τὸν τρόπο] ἐκπαιδεύει [τοὺς πιστούς]. Πρῶτα μὲν [τοὺς] τρέφει μὲ γάλα «σὰν νήπια», κατόπιν τοὺς φέρει «εἰς αὔξησιν» [πνευματικῆς ἡλικίας] καὶ ἀμέσως [μετὰ τοὺς ὁδηγεῖ] «στὴν τελειότητα»· τὸ ὁποῖο γιὰ νὰ τὸ ποῦμε μὲ ἕνα παράδειγμα, τὸ μὲν Εὐαγγέλιον εἶπε νὰ κατασκευάζεται ὁ τέλειος χιτώνας ἀπὸ μαλλί· ὁ δὲ Ἀπόστολος ἐξήγησε καθαρὰ καὶ πῶς πρέπει αὐτὸς νὰ ἐπεξεργάζεται καὶ νὰ ὑφαίνεται [στὸν ἀργαλειὸ] καὶ νὰ ράβεται.

82. Εἶναι μερικοί, οἱ ὁποῖοι ἀπέχουν μὲν ἀπὸ τὴν φανερὴ πορνεία καὶ κλοπὴ καὶ πλεονεξία καὶ ἀπὸ τὰ ὅμοια κακά· καὶ γι᾽ αὐτὸ [πιστεύουν], ὅτι λογίζονται μεταξὺ τῶν Ἁγίων· τὰ πράγματα ὅμως χρειάζονται πολὺ [δρόμο] γιὰ νὰ εἶναι καὶ ἀληθινά. Διότι, πολλὲς φορές, ἐμφωλεύει ἡ κακία μέσα στὸ νοῦ τους καὶ ἐπιβιώνει καὶ ἐξαπλοῦται· καὶ μ᾽ αὐτὸ τὸν τρόπο τοὺς ἀφήνει τὴν ἐντύπωσι ὅτι ἔφυγε. Ἅγιος ὅμως [κατ᾽ ἀλήθειαν], εἶναι ἐκεῖνος, ὁ ὁποῖος

ἔσω τέλεον διακαθαρθεὶς ἄνθρωπον. Καὶ γάρ τις τῶν ἀδελφῶν, ἀδελφοῖς τισι συνευχόμενος, πρὸς τῆς θείας ἐξηχμαλωτίσθη δυνάμεως καὶ ἁρπαγεὶς εἶδε τὴν ἄνω πόλιν Ἱερουσαλὴμ καὶ τὰς ἐκεῖ φωτεινὰς οἰκίας καὶ φῶς ἄπειρον καὶ ἀπόρρητον· ἤκουσέ τε φωνῆς λεγούσης, τοῦτον εἶναι τὸν τόπον τῆς τῶν δικαίων ἀναπαύσεως· εἶτα φυσιωθεὶς καὶ μεγάλα περὶ ἑαυτοῦ οἰηθείς, βάθει κατέπεσεν ἁμαρτίας καὶ πολλοῖς ὕστερον ἑάλω κακοῖς· εἰ οὖν οὗτος, οὕτως; πῶς γε τῷ τυχόντι δυνατὸν λέγειν, ὡς ἐπεὶ νηστεύω καὶ ξενιτεύω, ψωμίζω τε τὰ ὑπάρχοντα[210] καὶ ἀπὸ τῶν εἰρημένων ἐφυλαξάμην κακῶν, καὶ οὐδέν ἐστι τὸ λειπόμενον, Ἅγιον κἀμὲ εἶναι. Καὶ γὰρ οὐχ ἡ τῶν φαινομένων κακῶν ἀποχὴ τελείωσίς ἐστιν, ὥσπερ εἴρηται, ἀλλ᾽ ἡ κατὰ διάνοιαν κάθαρσις, αὕτη τελεία.

πγʹ. Ἔσελθε, φησίν, ὁ ταῦ-

ἐξαγιάσθηκε καὶ ἐξαγνίσθηκε τελείως κατὰ τὸν ἐσωτερικό του ἄνθρωπο. Καὶ πράγματι, κάποιος ἀπὸ τοὺς ἀδελφούς, ἐνῶ προσευχόταν μαζὶ μὲ κάποιους [ἄλλους] ἀδελφούς, αἰχμαλωτίσθηκε [ὁ νοῦς του] ἀπὸ τὴν θεία δύναμι καὶ μὲ [ὑπὲρ φύσιν] ἁρπαγὴ εἶδε τὴν οὐράνια πόλι Ἱερουσαλὴμ καὶ τὰ ἐκεῖ φωτεινὰ κατοικητήρια καὶ φῶς ἄπειρο καὶ ἀνεκδιήγητο· καὶ ἄκουσε φωνή, ἡ ὁποία τοῦ ἔλεγε, ὅτι αὐτὸς εἶναι ὁ τόπος τῆς ἀναπαύσεως τῶν δικαίων. Κατόπιν, ἀφοῦ ὑπερηφανεύθηκε καὶ θεώρησε τὸν ἑαυτό του πολὺ σπουδαῖο, ἔπεσε σὲ βάθος ἁμαρτιῶν καὶ ὕστερα κατακυριεύθηκε ἀπὸ πολλὰ κακά. Ἐάν, λοιπόν, αὐτὸς ἔτσι [ἔπαθε], πῶς εἶναι δυνατὸν ὁ ὁποιοσδήποτε νὰ λέγῃ, ὅτι, ἐπειδὴ νηστεύω καὶ ἔχω ξενιτεία καὶ «δίνω ἐλεημοσύνη ἀπὸ τὰ ὑπάρχοντά μου» καὶ ἐφύλαξα τὸν ἑαυτό μου ἀπὸ τὰ κακὰ ποὺ ἔχουν προαναφερθῆ, καὶ τίποτε δὲν εἶναι ποὺ νὰ μοῦ λείπῃ, [ἄρα] εἶμαι κι ἐγὼ Ἅγιος. Καὶ πράγματι, δὲν εἶναι τελειότητα ἡ ἀποχὴ ἀπὸ τὰ ἐμφανῆ κακά, ὅπως ἔχει λεχθῆ, ἀλλὰ ἡ κάθαρσι τοῦ νοῦ, αὐτὴ [εἶναι] ἡ τέλεια [κάθαρσι].

83. Λέγει [ὁ Ἅγιος], ἐσὺ ποὺ


τα ὑπολαμβάνων διὰ τῆς τῶν λογισμῶν σου ἐπιστασίας, καὶ πρὸς τὸν αἰχμάλωτον καὶ δοῦλον τῆς ἁμαρτίας σου νοῦν διάκυψον, καὶ ἴδε καὶ τὸν ἔτι τούτου κατώτερον καὶ βαθύτερόν σου τῶν λογισμῶν, τὸν εἰς τὰ λεγόμενα τῆς ψυχῆς σου ταμιεῖα ἐμφωλεύοντα ὄφιν καὶ ἀναιροῦντά σε διὰ τῶν καιριωτάτων τῆς ψυχῆς σου μελῶν. Ἄβυσσος γὰρ ἀκατάληπτος ἀληθῶς ἡ καρδία. Εἰ οὖν τοῦτον ἀνεῖλες, εἰ τὴν ἀνομίαν τὴν ἐν σοὶ πᾶσαν ἐξεκάθηρας καὶ τὴν ἁμαρτίαν ἐκβέβληκας, καύχησαι περὶ καθαρότητος ἐν Θεῷ· εἰδ' οὖν, ἀλλὰ ταπεινωθείς, ὡς ἐνδεής τε καὶ ἁμαρτωλὸς ἔτι, πρόσελθε ὑπὲρ τῶν κρυφίων σου δεόμενος τοῦ Χριστοῦ[211]*. Πᾶσα γὰρ παλαιὰ καὶ νέα γραφὴ περὶ καθαρότητος φαίνεται διαλεγομένη. Καὶ παντὶ ἀνθρώπῳ, καὶ Ἰουδαίῳ καὶ Ἕλληνι ἐπέραστα τὰ τῆς καθαρότητος, κἂν μὴ*

ὑποστηρίζεις αὐτά, εἴσελθε ἐλέγχοντας τοὺς λογισμούς σου καὶ σκῦψε μέσα στὸν νοῦ σου, ὁ ὁποῖος εἶναι αἰχμάλωτος καὶ δοῦλος τῆς ἁμαρτίας, καὶ ἴδε τὸ φίδι, ποὺ φωλιάζει στὸν ἀκόμη πιὸ κάτω ἀπὸ τὸ νοῦ σου καὶ βαθύτερα ἀπὸ τοὺς λογισμούς σου [τόπο], εἰς τὰ λεγόμενα ταμεῖα τῆς ψυχῆς σου, καὶ ποὺ [ἐπιδιώκει] νὰ σὲ ἐξαφανίσῃ [μὲ τὸ νὰ πλήξῃ] τὰ πλέον οὐσιώδη μέρη τῆς ψυχῆς σου. Διότι, ἀληθῶς, ἡ καρδία [τοῦ ἀνθρώπου] εἶναι ἄβυσσος ἀκατανόητη. Ἐάν, λοιπόν, αὐτὸ [τὸ φίδι] τὸ ἐσκότωσες, ἐὰν ἐκαθάρισες ὅλη τὴν ἀνομία [ποὺ ὑπῆρχε] μέσα σου, καὶ ἐξόρισες τὴν ἁμαρτία, [τότε] καυχήσου γιὰ τὴν ἐν Θεῷ καθαρότητά σου. Ἐὰν ὅμως ὄχι, ἀφοῦ [πρῶτα] ταπεινωθῇς ὡς πτωχὸς καὶ ἀκόμη ἁμαρτωλὸς, πρόσελθε ἱκετεύοντας τὸν Χριστὸ [νὰ σὲ καθαρίσῃ] ἀπὸ τὰ κρύφιά σου [παραπτώματα]. Διότι, ὅλη ἡ Παλαιὰ καὶ ἡ Νέα Γραφή, [δηλαδὴ ἡ Παλαιὰ καὶ Καινὴ Διαθήκη], φαίνεται νὰ ὁμιλῇ γιὰ τὴν καθαρότητα [τῆς ψυχῆς]. Καὶ σὲ κάθε ἄνθρωπο, καὶ Ἰουδαῖο καὶ Ἐθνικό, εἶναι προσφιλῆ ὅσα [ἀφοροῦν] τὴν καθαρότητα, καὶ ἂν ἀκόμη δὲν

πᾶσιν ἀνύσιμα. Γενέσθαι δὲ τοῦτο, τὴν τῆς καρδίας φημὶ καθαρότητα, οὐ δυνατὸν ἄλλως, ὅτι μὴ διὰ Ἰησοῦ μόνου. Αὐτὸς γὰρ ἡ ἐνυπόστατός τε καὶ ὄντως ἀλήθεια· καὶ δίχα ταύτης τῆς ἀληθείας ἀμήχανον ἢ ἀλήθειαν γνῶναι ἢ σωτηρίας ἐπιτυχεῖν.

[εἶναι] σὲ ὅλους κατορθωτά. Νὰ πραγματοποιηθῆ βεβαίως αὐτό, ἡ καθαρότητα τῆς ψυχῆς ἐννοῶ, δὲν εἶναι δυνατὸν μὲ ἄλλο τρόπο, παρὰ μόνον διὰ τοῦ Ἰησοῦ. Διότι Αὐτὸς εἶναι ἡ ἐνυπόστατη καὶ ὀντολογικὴ Ἀλήθεια· καὶ χωρὶς Αὐτὴν τὴν Ἀλήθεια, εἶναι ἀδύνατον νὰ γνωρίσῃ κανεὶς τὴν ἀλήθεια ἢ νὰ ἐπιτύχῃ τὴν σωτηρία του.





ΛΟΓΟΣ Ε΄

ΠΕΡΙ ΑΓΑΠΗΣ

πδ΄. Ὥσπερ ἐν τοῖς φαινομένοις τούτοις τῷ ἐκτὸς ἀπετάξω ἀνθρώπῳ, ἐψώμισάς τε τὰ ὄντα καὶ διεσκόρπισας, οὕτως ἀποτάξασθαί σε ταῖς τῶν ἠθῶν προλήψεσι χρή. Καὶ εἰ σοφίαν ἔμαθες σαρκικὴν ἢ γνῶσιν ἔσχες πραγμάτων, ἄρνησαι ταύτην. Εἰ δικαιώμασι πέποιθας σαρκός, ἀπόστηθι τούτων, ταπεινῶν σεαυτὸν καὶ κατασμικρύνων. Οὕτω γὰρ καὶ δυνήσῃ τῇ τοῦ κηρύγματος μωρίᾳ[212] *μαθητευθῆναι. Ἐν ταύτῃ δὲ τὴν ἀληθινὴν εὑρήσεις σοφίαν, οὐκ ἐν λόγοις κεκομψευμένοις, ἀλλ᾿ ἐν τῇ τοῦ Σταυροῦ δυνάμει, τούτοις ἐνεργούμενος ἐν ὑποστάσει τοῖς καταξιωθεῖσι ταύτην κτήσασθαι. Ὁ γὰρ Σταυρός, φησὶν ὁ Παῦλος, τοῦ Χριστοῦ, τοῖς μὲν Ἰουδαίοις σκάνδαλον, Ἕλλησι δὲ μωρία· ἡμῖν δὲ τοῖς*

84. Ὅπως σ᾿ αὐτὰ τὰ [πράγματα] ποὺ φαίνονται ἀπαρνήθηκες τὸν ἐξωτερικὸ ἄνθρωπο, [διότι] ἔδωσες ἐλεημοσύνη καὶ διεσκόρπισες τὰ ὑπάρχοντά [σου], ἔτσι πρέπει νὰ ἀπαρνηθῇς καὶ τὶς ἁμαρτωλές σου συνήθειες. Καὶ ἐὰν ἐσπούδασες τὴν σαρκικὴ [κοσμικὴ] σοφία ἢ ἀπέκτησες γνῶσι [γηΐνων] πραγμάτων, ἀρνήσου αὐτήν. Ἐὰν στηρίζεσαι σὲ κοσμικὰ προνόμια, ἀπομακρύνσου ἀπὸ αὐτὰ μὲ τὸ νὰ ταπεινώνῃς καὶ νὰ σμικρύνῃς τὸν ἑαυτό σου. Διότι, ἔτσι θὰ μπορέσῃς νὰ γίνῃς μαθητὴς τῆς «μωρίας τοῦ κηρύγματος». Σ᾿ αὐτὴ λοιπὸν [τὴν μωρία] θὰ εὕρῃς τὴν ἀληθινὴ σοφία, ὄχι μὲ κομψὰ λόγια, ἀλλὰ μὲ τὴν δύναμι τοῦ Σταυροῦ, ὁ ὁποῖος ἐνεργεῖ ὑποστατικὰ[6] μέσα σὲ αὐτούς, ποὺ καταξιώθηκαν νὰ τὴν ἀποκτήσουν. Διότι ὁ Σταυρὸς τοῦ Χριστοῦ, λέγει ὁ Παῦλος, «[εἶναι] γιὰ τοὺς μὲν Ἰουδαίους σκάνδαλο, γιὰ δὲ τοὺς Ἕλληνες μωρία· γιὰ μᾶς ὅμως, ποὺ

σωζομένοις, Θεοῦ δύναμις καὶ Θεοῦ σοφία[213].

πε΄. Εἰ καὶ ἔλαβες, φησί, γεῦσιν ἐξ οὐρανοῦ, εἰ καὶ μετέσχες ἐκείνης τῆς σοφίας καὶ ἀνάπαυσιν ἔσχες ἐν τῇ ψυχῇ σου, μηδ᾽ οὕτως ἐπαίρου, μηδὲ ὡς ἐφθακὼς ἤδη καὶ πᾶσαν καταλαβὼν τὴν ἀλήθειαν τεθαῤῥηκὼς ἔσο, μὴ καὶ σὺ ἀκούσῃς, ἤδη κεκορεσμένοι ἐστέ, ἤδη πεπλουτήκατε· χωρὶς ἡμῶν ἐβασιλεύσατε, καὶ ὄφελόν γε ἐβασιλεύσατε, ἵνα καὶ ἡμεῖς ὑμῖν συμβασιλεύσωμεν[214]*. Ἀλλὰ καὶ γευσάμενος, ὡς μήπω τοῦ Χριστιανισμοῦ ἀψάμενος εἶναι νόμιζε· καὶ μὴ ἐξ ἐπιπολῆς ἔστω σοι τοῦτο, ἀλλ᾽ ὡς ἐμπεφυτευμένον διὰ παντὸς ὂν καὶ κεκυρωμένον τῇ διανοίᾳ σου.*

πς΄. Ὥσπέρ τις φιλόπλουτος, κἂν μυρία συναγαγὼν χρήματα ᾖ, οὔπω διακορὴς γίνεται, ἀλλὰ τὸ καθ᾽ ἡμέραν προστιθέμενον, αὔξησιν ποιεῖται μᾶλλον τῆς ἐπιθυμίας τοῦ πλείονος, ἤ, καθάπερ τις ποταμοῦ

σωζόμεθα [δι᾽ Αὐτοῦ], [εἶναι] Θεοῦ δύναμι καὶ Θεοῦ σοφία».

85. Καὶ ἂν ἔλαβες, λέγει [ὁ Ἅγιος], οὐράνια γεῦσι, καὶ ἂν ἔγινες μέτοχος ἐκείνης τῆς σοφίας καὶ ἀπέκτησες ἀνάπαυσι στὴν ψυχή σου, μήτε τότε νὰ ὑπερηφανεύεσαι, μήτε νὰ ἔχῃς θάῤῥος, ὅτι ἤδη ἔφθασες καὶ ἔγινες κάτοχος ὅλης τῆς ἀλήθειας, γιὰ νὰ μὴν ἀκούσῃς καὶ σὺ [τὸ τοῦ Παύλου]: «Τώρα πλέον εἴστε χορτᾶτοι, τώρα πλέον ἔχετε πλουτήσει [ἀπὸ πνευματικὲς δωρεές]· χωρὶς ἐμᾶς κατεκτήσατε τὴν βασιλείαν [τῶν οὐρανῶν]· καὶ εἴθε νὰ ἐβασιλεύατε γιὰ νὰ βασιλεύσωμε καὶ ἐμεῖς μαζί σας». Ἀλλὰ καὶ ἂν γεύθηκες [τὰ οὐράνια], νὰ θεωρῇς, ὅτι οὔτε [κἂν] ἄγγιξες τὸν Χριστιανισμό· καὶ νὰ μὴ σοῦ εἶναι αὐτὸ [τὸ φρόνημα] ἐπιπόλαιο, ἀλλὰ νὰ σοῦ εἶναι πάντοτε βαθειὰ φυτευμένο καὶ ἐπιβεβαιωμένο στὴ διάνοιά σου.

86. Ὅπως κάποιος φιλάργυρος, καὶ ἂν [ἀκόμη] συνάξῃ ἀναρίθμητα χρήματα, δὲν χορταίνει, ἀλλὰ αὐτὸ τὸ [ποσὸ] ποὺ προσθέτει κάθε μέρα, τοῦ αὐξάνει μᾶλλον τὴν ἐπιθυμία γιὰ περισσότερα, ἢ ὅπως ἀκριβῶς κανεὶς ὅταν ἀποτραβηχθῇ

ἡδυτάτου πρὸ τοῦ κόρου διασπασθείς, τὴν δίψαν μᾶλλον ἐξέκαυσεν· οὕτω δὴ καὶ ἡ τοῦ Θεοῦ γεῦσις παντὸς οὐκ οἶδε κόρον δηλονότι, ἢ τέλος, ἀλλὰ καὶ ὅσῳ πλουτεῖ τις τουτονὶ τὸν πλοῦτον, πένητα ἑαυτὸν εἶναι κατανοεῖ. Οἱ δὲ Χριστιανοὶ οὐκ ἔχουσι παρ᾽ ἑαυτοῖς τιμίαν τὴν ἰδίαν ψυχήν[215], ἀλλ᾽ ὥς τινες τῶν ἀκριβῶς ἐξουδενωμένων μᾶλλον παρὰ Θεῷ διάκεινται, δούλους τε πάντων ἀνθρώπων ἑαυτοὺς εἶναι λογίζονται. Ἐπὶ ταύτῃ πολλὰ χαίρει ὁ Θεὸς καὶ ἐπαναπαύεται τῇ ψυχῇ, διὰ τὴν ἑαυτῆς ταπείνωσιν. Εἰ οὖν καὶ ἔχῃ τίς τι ἢ καὶ πεπλούτηκε, μὴ παρὰ τοῦτο οἰηθῇ εἶναί τι ἢ ἔχειν τι. Ἡ γὰρ οἴησις βδέλυγμα Κυρίῳ καὶ αὐτὴ ἀπ᾽ ἀρχῆς ἐκβέβληκε τοῦ Παραδείσου τὸν ἄνθρωπον, ἀκούσαντα ὅτι ὡς θεοὶ ἔσεσθε[216], καὶ τῇ ἐλπίδι ταύτῃ τῇ ματαίᾳ ἐπιθαῤῥήσαντα. Κατάμαθε, πῶς ὁ Θεός σου καὶ

ἀπὸ ἕνα ποτάμι μὲ γλυκύτατο [νερό], πρὶν νὰ χορτάσῃ [καὶ ξεδιψάσῃ], αὐξάνει μᾶλλον τὴν δίψα του· ἔτσι πράγματι καὶ ἡ γεῦσι τοῦ Θεοῦ στὸν καθένα δὲν γνωρίζει καθόλου κορεσμὸ ἢ τέλος, ἀλλὰ καὶ ὅσο πλουτίζει κανεὶς μὲ αὐτὸν τὸν πλοῦτο, τόσο ἀντιλαμβάνεται [πόσο] πτωχὸς [εἶναι]. Οἱ Χριστιανοὶ ὅμως, δὲν θεωροῦν οἱ ἴδιοι τὴν ζωή τους πολύτιμη, ἀλλὰ μᾶλλον διατελοῦν μὲ τέτοια ψυχικὴ διάθεσι πρὸς τὸν Θεό, ὅπως ἀκριβῶς [νοιώθουν] μερικοὶ [τελείως] ἐξουδενωμένοι καὶ θεωροῦν τοὺς ἑαυτούς τους δούλους ὅλων τῶν ἀνθρώπων. Σ᾽ αὐτὴ τὴν ψυχὴ πολὺ χαίρεται ὁ Θεὸς καὶ ἐπαναπαύεται διὰ τὴν ταπείνωσί της. Ἐὰν λοιπὸν κανεὶς ἔχῃ κάτι [καλὸ] ἢ καὶ ἔχῃ πλουτήσει [πνευματικά], ἂς μὴν ὑπερηφανευθῇ ἐξ αἰτίας αὐτοῦ, ὅτι εἶναι κάτι [σπουδαῖο] ἢ ὅτι ἔχει [ἀποκτήσει] κάτι. Διότι ἡ ἀλαζονεία εἶναι βδελυκτὴ στὸν Κύριο καὶ αὐτὴ [εἶναι, ἡ ὁποία] ἀπὸ τὴν ἀρχὴ [τοῦ κόσμου] ἔχει βγάλει [ἔξω] ἀπὸ τὸν Παράδεισο τὸν ἄνθρωπο, ἐπειδὴ ἄκουσε [ἀπὸ τὸν πονηρό], ὅτι «θὰ εἶσθε σὰν θεοί», καὶ πῆρε θάρρος μὲ αὐτὴ τὴν μάταιη ἐλπίδα. Μελέτησε, πῶς ὁ Θεὸς καὶ Βασιλεύς [τῶν

Βασιλεύς, ἀλλὰ καὶ Θεοῦ Υἱός, ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβών[217]*; πῶς ἐπτώχευσε*[218]*, πῶς τοῖς ἀτίμοις συνελογίσθη*[219]*, πῶς πέπονθεν; Εἰ δὲ καὶ ὁ Θεὸς οὕτως, ὁ αἵματι καὶ σαρκὶ συνεστηκὼς ἄνθρωπος, ὁ γῆ καὶ σποδός*[220]*, οἴμοι, καὶ τὸ παράπαν ἀγαθοῦ μὴ μεταλαβών, ἀλλ᾽ ἀκαθαρσία ὤν, μέγα φρονεῖς καὶ ἀλαζονεύῃ; Σὺ δὲ ἀλλ᾽ εἴπερ εἶ συνετός, καὶ ὑπὲρ αὐτοῦ τούτου μᾶλλον, οὗπερ εἴληφας ἐκ Θεοῦ, οὐκ ἐμὸν λέγε τὸ χρῆμα, παρ᾽ ἑτέρου τοῦτο ἔχω λαβών· καὶ δόξαν αὐτῷ, πάντως ἀφαιρεῖται τὸ δοθὲν ἀπ᾽ ἐμοῦ. Οὕτω μὲν πᾶν ἀγαθὸν τῷ Κυρίῳ, τὸ δὲ κακὸν τῇ σεαυτοῦ ἐπίγραφε ἀσθενείᾳ.*

πζ΄. Ὅν περ φησὶν ὁ Ἀπόστολος θησαυρὸν ἐν ὀστρακίνοις ἡμᾶς ἔχειν τοῖς σκεύεσι[221]*, τὴν ἁγιαστικὴν οἷον τοῦ Πνεύματος δύναμιν, ἣν ἔτι τῇ σαρκὶ περιών, ἄξιος κατέστη λαβεῖν. Καὶ γάρ που πάλιν*

ὅλων] ἀλλὰ καὶ Υἱὸς τοῦ Θεοῦ, ἐκένωσε τὸν Ἑαυτόν Του καὶ «ἔλαβε μορφὴν δούλου», «πῶς ἐπτώχευσε», πῶς «συγκαταριθμήθηκε μεταξὺ τῶν ἀτίμων», πῶς ἔπαθε [τὸ θεῖον πάθος]. Ἐὰν δὲ ἔτσι [ἔγινε] μὲ τὸν Θεό, [ἐσὺ] ὁ ἄνθρωπος, ποὺ ἀποτελεῖσαι ἀπὸ σάρκα καὶ αἷμα, ποὺ [εἶσαι] «χῶμα καὶ στάκτη» καὶ ποὺ – ἀλλοίμονο – δὲν ἔχεις παντελῶς κανένα ἀγαθό, ἀλλὰ εἶσαι [μία] ἀκαθαρσία», μεγαλοφρονεῖς καὶ ἀλαζονεύεσαι; Ἀλλά, ἐὰν ἐσὺ εἶσαι ὄντως συνετός, καὶ γι᾽ αὐτὸ τοῦτο τὸ ὁποῖο ἔχεις λάβει ἀπὸ τὸν Θεὸ [πολὺ] περισσότερο νὰ λέγῃς, αὐτὸ δὲν εἶναι δική μου περιουσία, τὸ ἔχω διότι τὸ ἔλαβα ἀπὸ Ἄλλον· καὶ ἐὰν κρίνῃ Αὐτός, [μπορεῖ] βέβαια νὰ ἀφαιρέσῃ ἀπὸ ἐμένα αὐτὸ ποὺ [μοῦ] ἔδωσε. Ἔτσι, κάθε ἀγαθὸ μέν, νὰ τὸ ἀποδίδῃς στὸν Κύριο, τὸ δὲ κακὸ στὴ δική σου ἀδυναμία.

87. Τὸν θησαυρό, τὸν ὁποῖο λέγει ὁ Ἀπόστολος, ὅτι ἔχομε σὲ πήλινα σκεύη, νὰ θεωρῇς [ὅτι εἶναι] ἡ ἁγιαστικὴ δύναμι τοῦ [Ἁγίου] Πνεύματος, τὴν ὁποία ἔγινε ἄξιος νὰ λάβῃ, ὅταν ἀκόμη ἦταν μὲ σάρκα [σὲ αὐτὴ τὴν ζωή]. Διότι καὶ κάπου [ἀλλοῦ]

φησὶν ὁ αὐτός· ὃς ἐγεννήθη ἡμῖν σοφία ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις[222]. *Ὁ γοῦν εὑρὼν καὶ παρ᾿ ἑαυτῷ σχὼν τὸν ἐπουράνιον τοῦτον τοῦ Πνεύματος θησαυρόν, πᾶσαν δικαιοσύνην ἐντολῶν, πᾶσαν τὴν τῶν ἐντολῶν ἐργασίαν, οὐ καθαρῶς μόνον καὶ ἀμωμήτως, ἀλλὰ καὶ πόνων ἐκτὸς καὶ καμάτων ἀνύειν δύναται, ὅπερ ἀπονητὶ πρότερον πολλοῦ γε καὶ ἔδει ποιεῖν. Καὶ γὰρ οὐδὲ δύναταί τις, κἂν βούληται, τὸν καρπὸν τοῦ πνεύματος ἀληθινῶς γεωργῆσαι, πρὸ τῆς τοῦ ἀγαθοῦ πνεύματος μεταλήψεως· πλήν, ἀλλὰ καὶ βιαζέσθω πᾶς τις ἑαυτὸν ἑκάστοτε δ᾿ ὑπομονῆς τρέχων*[223] *καὶ πίστεως, καὶ θερμῶς τοῦ Χριστοῦ δεέσθω, ὥστε τοῦ θησαυροῦ τοῦδε τοῦ ἐπουρανίου ἐπιτυχεῖν· καὶ τὸ πᾶσαν δικαιοσύνην, καθάπερ εἴρηται, ἐν αὐτῷ τε καὶ δι᾿ αὐτοῦ ποιεῖν δύναται καθαρῶς*

πάλι λέγει ὁ ἴδιος: «ὁ Ὁποῖος [Χριστὸς] ἔγινε γιὰ μᾶς σοφία ἀπὸ τὸν Θεὸ καὶ δικαίωσι καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσι». Ἐκεῖνος λοιπόν, ὁ ὁποῖος βρῆκε καὶ ἔχει μέσα του τὸν ἐπουράνιο αὐτὸν θησαυρὸ τοῦ [Ἁγίου] Πνεύματος[7], μπορεῖ νὰ κατορθώνῃ ὅλες τὶς ἀρετές, [στὶς ὁποῖες ἀναφέρονται] οἱ ἐντολές, [καὶ] κάθε ἐργασία ποὺ ἀπαιτοῦν οἱ ἐντολές, ὄχι μόνο καθαρὰ καὶ ἄψογα, ἀλλὰ καὶ χωρὶς κόπους καὶ μόχθους, τὸ ὁποῖο προηγουμένως γιὰ νὰ τὸ κάνῃ ἀπαιτοῦσε [πολὺ ἀγῶνα καὶ δὲν ἦταν δυνατὸν νὰ γίνῃ] ἄκοπα. Καὶ πράγματι, δὲν μπορεῖ κανεὶς νὰ καλλιεργήσῃ ἀληθινὰ τὸν καρπὸ τοῦ [Ἁγίου] Πνεύματος, [ὅσο] καὶ ἂν τὸ θέλῃ, προτοῦ νὰ λάβῃ τὴν Χάρι τοῦ Ἀγαθοῦ Πνεύματος. Πλὴν ὅμως, ἂς βιάζῃ ὁ καθένας τὸν ἑαυτό του κάθε φορὰ «τρέχοντας μὲ ὑπομονὴ» καὶ πίστι καὶ ἂς ἱκετεύῃ τὸν Χριστὸ θερμά, ὥστε νὰ ἐπιτύχῃ [τὴν ἀπόκτησι] αὐτοῦ τοῦ ἐπουρανίου θησαυροῦ. Καὶ [τότε] τὸ «πᾶσαν δικαιοσύνην» [δηλαδὴ τὴν σύνολη ἀρετή], ὅπως ἔχει λεχθῆ, θὰ μπορῇ νὰ τὴν ἐπιτελῇ ἐν Αὐτῷ [τῷ Χριστῷ] καὶ δι᾿ Αὐτοῦ [μὲ τὴ Χάρι Του]

καὶ τελείως, ἀμόχθως τε, φημί, καὶ ἀταλαιπώρως.

πη΄. Οἱ τὸν θεῖον πλοῦτον τοῦ Πνεύματος ἐν ἑαυτοῖς ἔχοντες, ἐπειδάν τισι κοινωνῶσι λόγων πνευματικῶν, τοῦ ἰδίου ὥσπερ ἐκβάλλοντες θησαυροῦ[224] *τοῖς οἷς ὁμιλοῦσι μεταδιδόασιν. Ὅσοι δὲ τουτονὶ τὸν πλοῦτον ἐν μυχοῖς καρδίας οὐκ ἐθησαύρισαν, ἐξ οὗ θείων ἐνθυμημάτων καὶ μυστηρίων, λόγων τε ὑπερβαινόντων βρύει ἀγαθοσύνη, ἀλλ᾽ ἀπανθησάμενοί τινα μόνον ἐξ ἑκατέρας Γραφῆς, ἐπ᾽ ἄκρας τῆς γλώσσης φέρουσιν, ἢ καὶ ἀνδρῶν πνευματικῶν ἀκουσταὶ γενόμενοι, τοῖς τούτων λόγοις ἐπικομπάζουσιν, ὡς ἴδια τὰ ἐκείνων προτείνοντες, καὶ πρὸς ἀλλοτρίους τόκους ὑποβαλλόμενοι· οὗτοι, τοῖς μὲν ἄλλοις, ἄπονον παρέσχον τῶν εἰρημένων ἀπόλαυσιν· αὐτοὶ δέ, μετὰ τὴν διάλεξιν, πτωχοῖς εὑρέθησαν ἐοικότες· ἅτε τῶν μὲν λό-*

καθαρὰ καὶ τέλεια, λέγω, καὶ χωρὶς μόχθο καὶ ταλαιπωρία.

88. Ἐκεῖνοι, οἱ ὁποῖοι ἔχουν μέσα τους τὸν θεῖο πλοῦτο τοῦ [Ἁγίου] Πνεύματος, ὅταν συζητοῦν μὲ κάποιους [ἀνθρώπους] λόγους πνευματικούς, μεταδίδουν στοὺς συνομιλητές τους [ἀπὸ αὐτὸν τὸν πλοῦτο], σὰν νὰ βγάζουν ἀπὸ τὸν θησαυρό, [ποὺ ἔχουν μέσα] τους. Ὅσοι, ὅμως, αὐτὸν τὸν [πνευματικὸ] πλοῦτο δὲν [τὸν] ἔχουν ἀποθησαυρισμένο στὸ βάθος τῆς καρδίας τους, ἀπὸ τὸν ὁποῖο νὰ ἀναβλύζῃ ἀγαθοσύνη θείων ἐνθυμήσεων καὶ μυστηρίων καὶ λόγων ὑπερφυσικῶν, ἀλλὰ ἀφοῦ ἀνθολόγησαν μερικὰ μόνο ἀπὸ τὴ μία καὶ τὴν ἄλλη Γραφή, τὰ ἔχουν πρόχειρα στὴ γλῶσσα τους ἢ καὶ ἀφοῦ ἔχουν γίνει ἀκροατὲς πνευματικῶν ἀνδρῶν, κομπάζουν [ἀναφέροντας] τοὺς λόγους αὐτῶν, προβάλλοντας ὡς δικά τους τὰ [λόγια] ἐκείνων καὶ οἰκειοποιούμενοι ξένα τέκνα [τοὺς λόγους, δηλαδή, καὶ τὰ νοήματα ἐκείνων]. Αὐτοὶ [λοιπόν], στοὺς ἄλλους μὲν προσέφεραν χωρὶς κόπο τὴν ἀπόλαυσι τῶν λόγων· αὐτοὶ [οἱ ἴδιοι] ὅμως, μετὰ τὴν ὁμιλία τους, εὑρέθηκαν νὰ ὁμοιάζουν μὲ πτωχούς.

γων ἑκάστου, καθαπερεὶ πρὸς τὰ ἴδια, τῶν ἀφ᾽ ὧν ἐλήφθη, ἐπανελθόντος, ἐκείνων δὲ μὴ κεκτημένων ἴδιον θησαυρόν, ἀφ᾽ οὗ περ δυνατῶς εἶχον πρώτους τε ἑαυτοὺς εὐφραίνειν καὶ τοὺς ἄλλους κατὰ μετάδοσιν ὠφελεῖν. Διὰ τοῦτο ζητητέον πρῶτον παρὰ Θεοῦ τὸν πλοῦτον τοῦτον τὸν ἀληθινὸν εἰσοικίσασθαι καὶ τότε ῥᾴδιον ἡμῖν ἔσται καὶ ἑτέρους δύνασθαι ὠφελεῖν καὶ λόγων πνευματικῶν καὶ μυστηρίων θείων αὐτοῖς μεταδιδόναι. Οὕτω γὰρ ηὐδόκησεν ἡ τοῦ Θεοῦ ἀγαθότης παντὶ τῷ πιστεύοντι ἐγκατοικῆσαι. Καὶ γὰρ ὁ ἀγαπῶν με, φησίν, ἀγαπηθήσεται ὑπὸ τοῦ Πατρός μου· καὶ ἐγὼ ἀγαπήσω αὐτὸν καὶ ἐμφανίσω αὐτῷ ἐμαυτόν[225]*. Καὶ ἐν ἄλλοις· ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν*[226]*.*

πθ´. Οἱ τέκνα γενέσθαι Θεοῦ καταξιωθέντες καὶ τὸν Χριστὸν ἐν ἑαυτοῖς ἐλλάμποντα ἔχοντες, ἐν

Διότι κάθε ἕνας μὲν ἀπὸ τοὺς λόγους [ἦταν] ἀκριβῶς ὡς νὰ ἐπέστρεψε πρὸς τὰ ἴδια, πρὸς ἐκείνους [δηλαδὴ] ἀπὸ τοὺς ὁποίους ἐλήφθη, ἐκεῖνοι ὅμως [ἔμειναν] χωρὶς νὰ ἔχουν ἀποκτήσει δικό τους θησαυρό, ἀπὸ τὸν ὁποῖον θὰ ἦταν δυνατὸν καὶ τοὺς ἑαυτούς τους πρῶτα νὰ εὐφραίνουν καὶ τοὺς ἄλλους νὰ ὠφελοῦν μὲ τὴν μετάδοσί [του]. Γι᾽ αὐτό, πρέπει πρῶτα νὰ ζητοῦμε ἀπὸ τὸν Θεὸ νὰ βάλῃ μέσα μας τὸν ἀληθινὸ αὐτὸ πλοῦτο, καὶ τότε θὰ μᾶς εἶναι εὔκολο καὶ τοὺς ἄλλους νὰ μποροῦμε νὰ ὠφελοῦμε καὶ νὰ τοὺς μεταδίδωμε λόγους πνευματικοὺς καὶ μυστήρια θεῖα. Διότι ἔτσι εὐδόκησε ἡ ἀγαθότης τοῦ Θεοῦ, νὰ κατοικήσῃ [δηλαδὴ] μέσα σὲ κάθε ἕναν ποὺ πιστεύει. Καὶ πράγματι, «αὐτὸς ποὺ μὲ ἀγαπᾶ, λέγει, θὰ ἀγαπηθῆ ἀπὸ τὸν Πατέρα μου· καὶ ἐγὼ θὰ τὸν ἀγαπήσω καὶ θὰ ἐμφανίσω σ᾽ αὐτὸν τὸν ἑαυτό μου». Καὶ ἀλλοῦ· «Ἐγὼ καὶ ὁ Πατὴρ θὰ ἔλθωμε καὶ θὰ κατοικήσωμε μέσα σ᾽ αὐτόν».

89. Αὐτοί, οἱ ὁποῖοι καταξιώθηκαν νὰ γίνουν τέκνα Θεοῦ καὶ νὰ ἔχουν μέσα τους τὸν Χριστὸ λάμποντα, κατευθύνονται

ποικίλοις καὶ διαφόροις τοῦ Πνεύματος διέπονται τρόποις καὶ ἐν τῷ ἀφανεῖ τῆς καρδίας ὑπὸ τῆς χάριτος περιθάλπονται· οὐδὲν δὲ οἷον, καί τινας τῶν κατὰ κόσμον φαινομένων ἀπολαύσεων εἰς μέσον παραγαγεῖν πρὸς εἰκασίαν τῶν ἐν τῇ ψυχῇ θείων διαγωγῶν τῆς χάριτος. Ἔστι γὰρ ὅτε γίνονται, καθάπερ ἔν τινι βασιλικῷ δείπνῳ ἐνευφραινόμενοι καὶ ἀγαλλιῶντες, ἄφραστόν τινα καὶ ἄφατον ἀγαλλίασιν· καὶ νῦν μέν, ὡς νύμφη τῷ νυμφίῳ πνευματικῶς συνηδόμενοι· νῦν δὲ ὡς ἀσώματοί τινες Ἄγγελοι ἐπὶ τοσαύτῃ τοῦ σώματος ἐλαφρίᾳ τε καὶ κουφότητι ὡς μηδὲ νομίζειν σῶμα περιβεβλῆσθαι. Καὶ ἄλλοτε μέν, ὥσπέρ τινι τόπῳ ἐνευφραινόμενοι καὶ μεθύοντες μέθην ἄφραστον τῶν μυστηρίων τοῦ Πνεύματος· ἄλλοτε δέ, κλαυθμὸς καὶ ὀδυρμὸς αὐτοὺς ἔχει, τῆς τῶν ἀνθρώπων ἕνεκα

ἀπὸ ποικίλους καὶ διαφόρους τρόπους τοῦ [Ἁγίου] Πνεύματος καὶ περιθάλπονται στὸ βάθος τῆς καρδίας τους ἀπὸ τὴν [Θεία] Χάρι. Τίποτα δὲ δὲν εἶναι παρόμοιο[8] [μὲ αὐτά, ἂν καὶ μποροῦμε] νὰ φέρωμε στὴν μέση [ὡς παράδειγμα] καὶ μερικὲς ἀπὸ τὶς φαινομενικὲς ἀπολαύσεις τοῦ κόσμου [τούτου], γιὰ νὰ πάρωμε μία εἰκόνα [μόνο] τῶν θείων ἐνεργειῶν τῆς Χάριτος μέσα στὴν ψυχὴ [τοῦ ἀνθρώπου]. Συμβαίνει δηλαδὴ κάποτε [οἱ ἄνθρωποι] νὰ εὐφραίνωνται καὶ νὰ χαίρωνται, ὅπως ἀκριβῶς, ὅταν εὑρίσκωνται σὲ βασιλικὸ δεῖπνο, μὲ κάποια ἀνέκφραστη καὶ ἀνείπωτη ἀγαλλίασι. Καὶ κάποτε μὲν νὰ νοιώθουν πνευματικὴ ἡδονὴ ὅπως ἡ νύμφη μὲ τὸν νυμφίο [της], ἄλλοτε δὲ σὰν κάποιοι ἀσώματοι Ἄγγελοι [νὰ αἰσθάνωνται] τέτοια ἐλαφρότητα καὶ ἐλευθερία στὸ σῶμα τους, ὥστε οὔτε νὰ ἀντιλαμβάνωνται ὅτι ἔχουν σῶμα. Καὶ ἄλλοτε πάλι [νοιώθουν] σὰν [νὰ εὑρίσκωνται] σὲ κάποιο τόπο [καὶ] εὐφραίνονται καὶ μεθοῦν μὲ τὴν ἀνέκφραστη μέθη τῶν μυστηρίων τοῦ [Ἁγίου] Πνεύματος· ἐνῶ ἄλλοτε αὐτοὶ κλαίουν καὶ ὀδύρονται, ἐπικαλούμενοι

σωτηρίας ποτνιωμένους. Ὑπὸ γὰρ τῆς θείας ἀγάπης τοῦ πνεύματος τῶν ἀνθρώπων πάντων περικαιόμενοι, ὅλου τοῦ Ἀδὰμ τὸ πένθος ἀναλαμβάνουσι· καὶ ποτὲ μὲν πρὸς τοσαύτην ἀγάπην μεθ' ἡδονῆς, οὐ λόγῳ ῥητῆς, ὑπὸ τοῦ πνεύματος ἐξεκαύθησαν, ὡς, εἴγε δυνατὸν ὅλως ἦν, πάντα ἄνθρωπον τοῖς σπλάγχνοις ἐγκολπώσασθαι τοῖς ἰδίοις, κακοῦ διαφορὰν τὸ παράπαν ἀπὸ τοῦ ἀγαθοῦ μὴ ποιούμενοι· ποτὲ δὲ τοσοῦτον ἑαυτοὺς ἐξουδένωσαν, ὡς μηδένα εἶναι τὸν μετ' αὐτοὺς οἴεσθαι, ἀλλὰ πάντων ἐσχάτους ἑαυτοὺς λογίζεσθαι. Καὶ νῦν μὲν ἀνεκλαλήτῳ τινὶ χαρᾷ τοῦ πνεύματος κατεπόθησαν· νῦν δὲ καθάπερ τις τῶν ἰσχυρῶν βασιλικὴν λαβὼν πανοπλίαν καὶ πρὸς πόλεμον κατελθών, τοὺς ἐναντίους κατετροπώσατο, τὸν ἴσον καὶ οὗτοι τρόπον ὅπλοις φραξάμενοι τοῖς τοῦ πνεύματος, πρὸς τοὺς ἀφανεῖς κατῆλθον ἐ-

γοερῶς [τὸν Θεὸ] γιὰ τὴν σωτηρία [ὅλων] τῶν ἀνθρώπων. [Καὶ] ἐπειδὴ φλέγονται ἀπὸ τὸ [πῦρ] τῆς θείας ἀγάπης τοῦ [Ἁγίου] Πνεύματος, γιὰ ὅλους τοὺς ἀνθρώπους, ἀναλαμβάνουν τὸ πένθος γιὰ ὅλο [τὸ γένος] τοῦ Ἀδάμ[θ']. Καὶ ἄλλοτε μὲν ἐπυρπολήθηκαν ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα μὲ τόσο μεγάλη ἀγάπη μαζὶ μὲ ἀγαλλίαση, ἡ ὁποία δὲν περιγράφεται μὲ λόγια, ὥστε, ἂν ἦταν ποτὲ δυνατόν, νὰ ἀγκαλιάσουν μὲ τὴν καρδιά τους κάθε ἄνθρωπο, χωρὶς νὰ ξεχωρίσουν τὸν καλὸ ἀπὸ τὸν κακό· ἄλλοτε δέ, τόσο πολὺ ἐξουδένωσαν τοὺς ἑαυτούς τους, ὥστε νὰ νομίζουν, ὅτι κανένας δὲν εἶναι στὴν ἴδια κατάστασι μὲ αὐτούς, ἀλλὰ νὰ θεωροῦν τὸν ἑαυτό τους τελευταῖο ἀπὸ ὅλους. Καὶ κάποτε πλημμυρίζουν ἀπὸ κάποια ἀνέκφραστη πνευματικὴ χαρά· ἄλλοτε δέ, ὅπως ἀκριβῶς κάποιος ἀπὸ τοὺς δυνατοὺς [πολεμιστές], ἀφοῦ ἐφόρεσε τὴν βασιλικὴ πανοπλία καὶ κατέβηκε στὸν πόλεμο, κατατρόπωσε τοὺς ἐχθρούς, κατὰ τὸν ἴδιο τρόπο καὶ αὐτοί, ἀφοῦ ὡπλίσθηκαν μὲ τὰ ὅπλα τοῦ [Ἁγίου] Πνεύματος, ἐπιτέθηκαν ἐναντίον τῶν ἀφα-

χθροὺς καὶ τούτους τοῖς ποσὶν ὑπέθεντο τοῖς ἰδίοις. Ἄρτι μέν, πολλή τις γαλήνη αὐτοὺς περιβάλλει καὶ ἡσυχία, εἰρήνη τε περιθάλπει καὶ ἡδονῇ κάτοχοι γίνονται θαυμασίᾳ· ἄρτι δέ, συνέσει καὶ σοφίᾳ θείᾳ καὶ γνώσει πνεύματος ἀνεξερευνήτῳ· καὶ ἁπλῶς, τοιαῦτα πρὸς τῆς τοῦ Χριστοῦ σοφίζονται χάριτος, ἃ μηδὲ μιᾷ γλώσσῃ δύναμις ἐξειπεῖν. Ἔστι δ' ὅτε καὶ ὡς ἕνα τῶν πάντων αὐτοὺς ἀνθρώπων, ὄψει φαινομένους. Οὕτως ἡ θεία χάρις πολυτρόπως ἑαυτὴν ἐν τούτοις ἐξαλλάττουσα καὶ ποικίλλουσα, παιδοτριβεῖν ὥσπερ καὶ γυμνάζειν βούλεται τὴν ψυχήν, ἵνα τελείαν αὐτὴν καὶ ἄμωμον καὶ καθαρωτάτην τῷ ἐπουρανίῳ παραστήσῃ Πατρί.

ϟ΄. Τὰ εἰρημένα ταυτὶ τοῦ πνεύματος ἐνεργήματα, μεγάλων μέτρων εἰσὶ καὶ τῶν ἐγγυτάτω τῆς τελειότητος. Αὗται γὰρ αἱ ποικίλαι τῆς χάριτος παρακλήσεις, διαφόρως μέν,

νῶν ἐχθρῶν [τῶν δαιμόνων] καὶ τοὺς ὑπέταξαν κάτω ἀπὸ τὰ πόδια τους. Πότε μὲν τοὺς κυκλώνει μεγάλη γαλήνη καὶ ἡσυχία καὶ τοὺς παρηγορεῖ ἡ εἰρήνη καὶ τοὺς καταλαμβάνει θαυμαστὴ [πνευματικὴ] ἡδονή, πότε δὲ πληροῦνται ἀπὸ σύνεσι καὶ θεία σοφία καὶ μυστικὴ πνευματικὴ γνῶσι. Καὶ γενικά, [ὅλα] αὐτὰ τὰ διδάσκονται ἀπὸ τὴν Χάρι τοῦ Χριστοῦ, τὰ ὁποῖα δὲν εἶναι δυνατὸν νὰ εἰπωθοῦν μὲ καμμιὰ γλῶσσα. Συμβαίνει δὲ ἐνίοτε αὐτοὶ νὰ φαίνωνται ἐξωτερικά, ὅπως ἕνας [ὁποιοσδήποτε] ἀνάμεσα σὲ ὅλους τοὺς ἀνθρώπους. Ἔτσι [λοιπόν], ἡ θεία Χάρι μὲ πολλοὺς τρόπους ἀλλάζει καὶ ποικίλει [τὶς ἐνέργειές Της] σ' αὐτούς, σὰν νὰ θέλῃ νὰ παιδαγωγῇ καὶ νὰ γυμνάζῃ τὴν ψυχή, γιὰ νὰ τὴν παρουσιάσῃ τέλεια καὶ ἄσπιλη καὶ καθαρώτατη στὸν ἐπουράνιο Πατέρα.

90. Αὐτὰ ποὺ ἐδῶ ἐλέχθησαν [ὡς] ἐνέργειες τοῦ [Ἁγίου] Πνεύματος, εἶναι [χαρακτηριστικὰ] ὑψηλῶν [πνευματικῶν] μέτρων καὶ [ἐκείνων], ποὺ [εὑρίσκονται] πλησιέστερα στὴν τελειότητα. Διότι αὐτὲς οἱ ποικίλες παρηγορίες τῆς Χάριτος ἐνεργοῦνται σ' αὐτοὺς ἀπὸ τὸ

ἀλλ᾽ οὖν γε ἀδιαλείπτως ἐν αὐτοῖς ἀπὸ τοῦ πνεύματος ἐνεργοῦνται, ἐνεργείας ἐνέργειαν πνεύματος διαδεχομένης. Ὁπότε γὰρ εἰς τὴν τελειότητά τις τοῦ πνεύματος καταντήσειε, πάντων ἀκριβῶς τῶν παθῶν ἀποκαθαρθείς, καὶ ὅλως τῷ Παρακλήτῳ Πνεύματι διά τῆς ἀρρήτου κοινωνίας ἑνωθεὶς καὶ ἀνακραθείς, ἐπειδὰν καὶ αὐτή γε ἡ ψυχὴ καταξιωθείη πνεῦμα γενέσθαι ὡς συγκραθεῖσα τῷ πνεύματι, τότε ὅλον φῶς, ὅλον πνεῦμα, ὅλον χαρά, ὅλον ἀνάπαυσις, ὅλον ἀγαλλίασις, ὅλον ἀγάπη, ὅλον σπλάγχνα, ὅλον ἀγαθότης καὶ χρηστότης γίνεται· καὶ οἱονεὶ καταπέποται εἰς τὰς ἀρετὰς τῆς δυνάμεως τοῦ ἀγαθοῦ πνεύματος, ὡς ἐν ἀβύσσῳ θαλάσσης λίθος ὕδατι πανταχόθεν περιεχόμενος. Ταύτῃ τοιγαροῦν οἱ τοιοίδε κατὰ πάντα τρόπον τῷ τοῦ Θεοῦ Πνεύματι συναφθέντες αὐτῷ τῷ Χριστῷ ἀφωμοίωνται,

[Ἅγιο] Πνεῦμα, μὲ διαφόρους μὲν [τρόπους], ἀλλὰ οὐσιαστικὰ ἀδιάκοπα, [ὥστε] ἡ μία πνευματικὴ ἐνέργεια νὰ διαδέχεται τὴν ἄλλη. Ἐὰν κάποτε, λοιπόν, ἤθελε φθάσῃ κανεὶς στὴν πνευματικὴ τελειότητα, ἀφοῦ θὰ εἶχε καθαρθῆ πλήρως ἀπὸ ὅλα τὰ πάθη καὶ ἑνωθῆ καὶ ἀνακραθῆ ὁλοκληρωτικὰ διὰ τῆς ἀνεκφράστου κοινωνίας μὲ τὸ Παράκλητο Πνεῦμα, ὅταν βεβαίως καὶ αὐτὴ ἡ ψυχὴ θὰ εἶχε καταξιωθῆ νὰ γίνῃ πνεῦμα, ἀφοῦ θὰ εἶχε τέλεια ἑνωθῆ μὲ τὸ [Ἅγιο] Πνεῦμα, τότε γίνεται [ὁ ἄνθρωπος] ὅλος φῶς, ὅλος πνεῦμα, ὅλος χαρά, ὅλος ἀνάπαυσι, ὅλος ἀγαλλίασι, ὅλος ἀγάπη, ὅλος εὐσπλαχνία, ὅλος ἀγαθότητα καὶ καλωσύνη. Καὶ κατὰ κάποιο τρόπο βυθίζεται μέσα στὶς ἀρετὲς τῆς δυνάμεως τοῦ Ἀγαθοῦ Πνεύματος, ὅπως μιὰ πέτρα [ὅταν πέφτῃ] στὴν ἄβυσσο τῆς θάλασσας, περιβάλλεται ἀπὸ παντοῦ μὲ νερό. Μὲ αὐτή, λοιπόν, [τὴ δύναμι τοῦ Ἁγίου Πνεύματος, οἱ ἄνθρωποι] αὐτοί, ἀφοῦ ἑνώθηκαν πλήρως μὲ τὸ Πνεῦμα τοῦ Θεοῦ, κατεστάθησαν ὅμοιοι πρὸς τὸν ἴδιο τὸν Χριστό, καὶ

τὰς ἀρετὰς τοῦ πνεύματος ἀτρέπτους παρ' ἑαυτοῖς ἔχοντες, καὶ καρποὺς τοιούτους τοῖς πᾶσιν ἐπιδεικνύμενοι. Ἐπεὶ γὰρ ἔνδον ἄμωμοί τε καὶ καθαροὶ τῇ καρδίᾳ[227] *διὰ τοῦ πνεύματος ἀπηρτίσθησαν, ἀμήχανον ἔξω καρποὺς κακίας προσενεγκεῖν· ἀλλὰ πάντοτε διὰ πάντων οἱ καρποὶ τοῦ πνεύματος ἐν ἑαυτοῖς διαλάμπουσιν. Αὕτη ἐστιν ἡ προκοπὴ τῆς πνευματικῆς τελειότητος, τοῦ πληρώματος τοῦ Χριστοῦ, εἰς ἣν φθάσαι ἡμᾶς ὁ Ἀπόστολος παραινεῖ λέγων· ἵνα πληρωθῆτε εἰς πᾶν τὸ πλήρωμα τοῦ Χριστοῦ*[228]. *Καὶ πάλιν· μέχρι καταντήσωμεν οἱ πάντες εἰς ἄνδρα τέλειον, εἰς μέτρον ἡλικίας τοῦ πληρώματος τοῦ Χριστοῦ*[229].

ϟα'. Ἔστιν ὅτε, φησίν, εἰσέρχεταί τις κλίναι γόνυ, καὶ τούτῳ ἡ καρδία μεστὴ θείας ἐνεργείας γίνεται, καὶ ἡ ψυχὴ συνευφραίνεται τῷ Κυρίῳ καθάπερ ἤδη

ἔχουν τὶς ἀρετὲς τοῦ [Ἁγίου] Πνεύματος ἀδιασάλευτες μέσα τους καὶ ἐμφανίζουν πρὸς ὅλους, αὐτοῦ τοῦ εἴδους τοὺς καρπούς. Διότι, καθὼς αὐτοὶ ἐτελειοποιήθηκαν διὰ τοῦ [Ἁγίου] Πνεύματος [καὶ ἔγιναν] ἐσωτερικὰ ἄμεμπτοι καὶ «καθαροὶ εἰς τὴν καρδία τους», εἶναι ἀδύνατο νὰ παρουσιάσουν καρποὺς κακίας· ἀλλὰ πάντοτε καὶ μὲ κάθε τρόπο, λάμπουν σ' αὐτοὺς οἱ καρποὶ τοῦ [Ἁγίου] Πνεύματος. Αὐτὴ εἶναι ἡ προκοπὴ τῆς πνευματικῆς τελειότητος, τῆς πληρότητος [δηλαδὴ] τοῦ Χριστοῦ, στὴν ὁποία μᾶς προτρέπει νὰ φθάσωμε ὁ Ἀπόστολος, ὅταν λέγῃ: «διὰ νὰ γεμίσετε μὲ ὅλη τὴν ἀφθονία [τῶν δωρεῶν] τοῦ Χριστοῦ». Καὶ πάλι: «ἕως ὅτου καταλήξωμε ὅλοι εἰς τέλειον ἄνδρα, [ἀπὸ ἀπόψεως] πνευματικῆς σοφίας], καὶ εἰς τὸ μέτρο τῆς [πνευματικῆς] τελειότητος, τὸ ὁποῖο μέτρο εἶναι ὁ Χριστός.

91. Ἐνίοτε, λέγει [ὁ Ἅγιος], ἔρχεται κάποιος νὰ γονατίσῃ [γιὰ νὰ προσευχηθῇ καὶ] γεμίζει ἡ καρδία του μὲ θεία ἐνέργεια, καὶ ἡ ψυχὴ χαίρεται μαζὶ μὲ τὸν Κύριο, ὅπως

δεδήλωται, νύμφης τρόπον μετὰ τοῦ νυμφίου. Ὁ μέγας τοῦτό φησιν Ἡσαΐας· ὃν γὰρ τρόπον εὐφραίνεται νυμφίος ἐπὶ νύμφῃ, οὕτως εὐφρανθήσεται Κύριος ἐπὶ σοί[230]. Ἔστι δ᾽ ὅτε συνέβη μὲν ἀσχολεῖσθαι τὸν τοιοῦτον δι᾽ ὅλης ἡμέρας, κατὰ δὲ μίαν ὥραν εἰς εὐχὴν ἑαυτὸν ἐπιτρέψαντα, ἁρπάζεται παρ᾽ αὐτῇ ὁ ἔσω ἄνθρωπος, καὶ κάτοχος ἀπείρῳ βάθει τοῦ αἰῶνος ἐκείνου γίνεται. Ἔχει δὲ αὐτὸν ἀπόρρητός τις καὶ ἄμετρος ἡδονή, ὡς ἐκπλήττεσθαι μὲν τὸν νοῦν μετέωρον ὅλον ὄντα καὶ ἡρπαγμένον, λήθην δὲ ταῖς φρεσὶν ἐγγίνεσθαι κατ᾽ ἐκεῖνο καιροῦ παντὸς τοῦ ἐπιγείου τοῦδε φρονήματος· ἅτε μεστωθέντων αὐτῷ τῶν λογισμῶν, ὥσπερ εἴρηται, καὶ εἰς ἀπέραντά τε καὶ ἀκατάληπτα πράγματα αἰχμαλώτων αὐτῷ ἀπαχθέντων, ὡς ἐν ἐκείνῃ τῇ ὥρᾳ δι᾽ εὐχῆς τῷ ἀνθρώπῳ γίνεσθαι συναπελθεῖν ἅμα τῇ εὐχῇ καὶ τὴν ψυχήν.

ἤδη ἔχει ἀναφερθῆ, ἔτσι ὅπως [χαίρεται] ἡ νύμφη μὲ τὸν νυμφίο [της]. Αὐτό λέγει ὁ μέγας Ἡσαΐας: «Μὲ τὸν τρόπο ποὺ εὐφραίνεται ὁ νυμφίος μὲ τὴν νύμφη [του], ἔτσι θὰ εὐφρανθῆ ὁ Κύριος μὲ σένα». Κάποιες φορὲς πάλι συμβαίνει, αὐτὸς ὁ ἄνθρωπος νὰ εἶναι ἀπασχολημένος [μὲ ἐργασία] ὅλη τὴν ἡμέρα, καὶ ὅταν κάποια ὥρα ἔχῃ τὴν εὐκαιρία νὰ προσευχηθῆ, νὰ ἁρπάζεται τότε ὁ ἐσωτερικὸς ἄνθρωπος, καὶ νὰ γνωρίζῃ τὸ ἄπειρο βάθος ἐκείνου τοῦ [μέλλοντος] αἰῶνος. Τὸν κατέχει τότε κάποια ἀνέκφραστη καὶ ἀμέτρητη ἀπόλαυσι, ὥστε ἀφ᾽ ἑνὸς νὰ ἐκπλήττεται ὁ νοῦς του, καθὼς εἶναι ὅλος ἀνυψωμένος καὶ ἔχει ἁρπαγῆ [εἰς τὰ οὐράνια], ἀφ᾽ ἑτέρου νὰ λησμονῇ ἡ διάνοιά του, κατ᾽ ἐκείνη τὴν ὥρα, κάθε ἐπίγειο φρόνημα. Ἐπειδή, ἀφοῦ ὡρίμασαν οἱ λογισμοί του, καθὼς ἔχει λεχθῆ, καὶ ὁδηγήθηκαν μακρυὰ σὰν αἰχμάλωτοι σὲ ἀπέραντες καὶ ἀκατάληπτες καταστάσεις, νὰ μποροῦσε νὰ συμβῆ ἐκείνη τὴν ὥρα τῆς προσευχῆς, σὲ αὐτὸν τὸν ἄνθρωπο, νὰ φύγῃ καὶ ἡ ψυχή του [γιὰ τὸν οὐρανὸ] μαζὶ μὲ τὴν εὐχή.

ϟβ'. Πρὸς δέ γε τὸν ἐρωτῶντα, φησίν, εἰ πάντοτε δυνατὸν τῷ ἀνθρώπῳ τῇ τοιαύτῃ διαρκεῖν καταστάσει; ταῦτα λεκτέον· ὡς ἡ μὲν χάρις οὐκ ἔστιν ὅτε μὴ σύνεστι, καὶ ἐῤῥίζωται, καὶ ὡς φυσικόν τι πεπηγὸς ἐγγίνεται τῷ ἀνθρώπῳ ᾧ σύνεστι. Μία δὲ οὖσα αὕτη, πολυτρόπως, ὡς θέλει, πρὸς τὸ τοῦ ἀνθρώπου συμφέρον οἰκονομεῖ· ποτὲ μὲν γὰρ πλέον αὐτῷ τὸ πῦρ, ποτὲ δὲ ἀμβλύτερον ἀνακαίει· καὶ τὸ φῶς, ἔστι μὲν ὅτε, μᾶλλον ἐκλάμπει, ἔστι δ' ὅτε, καὶ συστέλλεται καὶ ἐπιστυγνάζει κατὰ θείαν πάντως οἰκονομίαν, καίτοι γε τῆς λαμπάδος ἄσβεστα καιομένης. Ὅταν δὲ φαιδρυνθῇ πλέον, τότε καθάπερ ἐν μέθῃ πλείονι τῆς τοῦ Θεοῦ ἀγάπης, καὶ ὁ ἄνθρωπος ἐξετάζεται· ἔστι δ' ὅτε, καὶ αὐτὸ τὸ φῶς τὸ ἀδιαλείπτως φαῖνον ἐν τῇ καρδίᾳ, τῷ ἐνδοτέρῳ δήπου καὶ βαθυτέρῳ διανοίγει φωτί, ὥστε ὅλον τὸν ἄνθρωπον τῇ γλυκύτητι

92. Πρὸς ἐκεῖνον δὲ ποὺ ἐρωτᾶ, λέγει [ὁ Ἅγιος], ἐὰν εἶναι δυνατὸν στὸν ἄνθρωπο νὰ παραμένῃ πάντοτε σὲ τέτοια κατάστασι, αὐτὰ πρέπει νὰ λεχθοῦν: Ἡ μὲν [Θεία] Χάρι, ἐφόσον δὲν ὑπάρχει [χρόνος], ποὺ νὰ μὴ συνυπάρχῃ [μὲ τὸν ἄνθρωπο αὐτό], ἔχει ριζώσει, καὶ γίνεται ὡς κάτι φυσικὰ καρφωμένο μέσα στὸν ἄνθρωπο, στὸν ὁποῖο βρίσκεται. Ἐνῶ δὲ αὐτὴ εἶναι μία, [ὅμως] μὲ πολλοὺς τρόπους οἰκονομεῖ [τὰ πράγματα], ὅπως θέλει, σύμφωνα μὲ τὸ συμφέρον τοῦ ἀνθρώπου. Διότι τὸ [πνευματικὸ] πῦρ ἄλλοτε ἀνάβει περισσότερο σ' αὐτὸν καὶ ἄλλοτε λιγότερο· καὶ τὸ φῶς, κάποιες φορὲς μέν, λάμπει περισσότερο, ἄλλοτε δὲ ὀλιγοστεύει καὶ [σὰν νὰ] σκυθρωπάζῃ, κατὰ θεία βεβαίως οἰκονομία, ἂν καὶ ἡ λαμπάδα καίγεται, χωρὶς νὰ σβήνῃ. Ὅταν ὅμως [τὸ φῶς] γίνῃ πιὸ λαμπρό, τότε καὶ ὁ ἄνθρωπος φαίνεται σὰν νὰ εἶναι σὲ μεγάλη μέθη ἀπὸ τὴν ἀγάπη τοῦ Θεοῦ· ἐνίοτε δέ, αὐτὸ τὸ φῶς, τὸ ὁποῖο φέγγει ἀδιάκοπα εἰς τὴν καρδία, ὁδηγεῖ [τὴν ψυχὴ] σὲ ἕνα πιὸ ἐσωτερικὸ καὶ πιὸ βαθὺ φῶς[9], ὥστε ὁλόκληρος ὁ ἄνθρωπος

ἐκείνῃ καὶ θεωρίᾳ καταποθέντα, μηκέτι ἐν ἑαυτῷ εἶναι, ἀλλ᾽ ὡς μωρόν τε καὶ βάρβαρον ὑπεῖναι τῷ κόσμῳ διὰ τὴν ὑπερβάλλουσαν καὶ ἡπλωμένην ἐν τῇ ψυχῇ ἀγάπην καὶ ἡδονὴν καὶ τὸ βάθος ὧν ἠξίωται κοινωνεῖν μυστηρίων. Καὶ συμβαίνει πολλάκις, κατ᾽ ἐκεῖνον μὲν τὸν καιρόν, τῶν τελείων αὐτόν ἐπιβῆναι μέτρων καὶ εἶναι πάσης ἁμαρτίας ἐλεύθερόν τε καὶ ἀνεπίληπτον· μετὰ δὲ ταῦτα συσταλῆναι τρόπον τινὰ τὴν χάριν καὶ τὸ κάλυμμα τῆς ἐναντίας ἐπιστῆναι δυνάμεως.

ϟγ΄. Οἷον μοι, φησίν, οὕτως τὰ τῆς χάριτος ἔχειν. Ὑποκείσθω γάρ σοι πρὸς δωδέκατον βαθμὸν ἀνιέναι τὴν τελειότητα· εἶναι μὲν οὖν, ὅτε καὶ τουτὶ τὸ μέτρον ἐφικτὸν γίνεται· πλὴν, ἀλλ᾽ ἐνδίδωσι πάλιν ἡ χάρις καὶ ἕνα ὑποβᾶσα βαθμόν, εἰς τὸν ἑνδέκατον, ὡς εἰπεῖν, ἵσταται. Ἐδείχθη ἐκεῖνα δὴ τὰ θαυμάσια, καὶ ὧν πεῖραν ὁ ἄνθρωπος ἔσχεν ἐκεῖνος. Εἰ

νὰ ἔχῃ βυθισθῆ σ᾽ ἐκείνη τὴν γλυκύτητα καὶ θεωρία καὶ νὰ μὴν εὑρίσκεται [πλέον] στὸν ἑαυτόν του, ἀλλὰ νὰ παραμένῃ στὸν κόσμο σὰν μωρὸς καὶ βάρβαρος, ἐξ αἰτίας τῆς ὑπερβολικῆς ἀγάπης καὶ ἡδονῆς ποὺ ἁπλώθηκε στὴν ψυχή του, καὶ τοῦ βάθους τῶν μυστηρίων, τῶν ὁποίων ἀξιώθηκε νὰ γίνῃ μέτοχος. Καὶ συμβαίνει πολλὲς φορές, κατ᾽ ἐκεῖνο μὲν τὸν καιρὸ [τῆς Χάριτος], νὰ φθάσῃ στὰ μέτρα τῶν τελείων καὶ νὰ εἶναι ἐλεύθερος καὶ ἀδιάβλητος ἀπὸ κάθε ἁμαρτία. Μετὰ δὲ ἀπὸ αὐτά, νὰ συσταλῆ κατὰ κάποιο τρόπο ἡ Χάρις καὶ νὰ σταθῆ ἐπάνω στὴν ψυχὴ τὸ κάλυμμα τῆς ἐχθρικῆς δυνάμεως.

93. Νομίζω, λέγει [ὁ Ἅγιος], ὅτι τὰ [σχετικὰ] μὲ τὴν Χάρι ἔχουν ὡς ἑξῆς. Ὑπόθεσε, λοιπόν, ὅτι ἡ τελειότητα ἔχει δώδεκα σκαλοπάτια· συμβαίνει νὰ εἶναι μὲν δυνατὸν νὰ φθάσῃ [κανεὶς] μέχρι καὶ αὐτὸ τὸ μέτρο· ἀλλὰ [ὅμως] πάλι νὰ ὑποχωρῆ ἡ Χάρις καὶ κατεβαίνοντας ἕνα σκαλὶ νὰ σταματᾷ, ἂς ποῦμε, στὸ ἑνδέκατο. Ὑπεδείχθησαν λοιπόν, [μὲ ὅσα ἀναφέραμε], ἐκεῖνα τὰ θαυμαστὰ καὶ τῶν ὁποίων τὴν ἐμπειρία ἀπέκτησε ὁ ἄνθρωπος ἐκεῖνος. Ἂν [λοι-

τὸν ἴσον αὐτῷ τρόπον εἶχε ταῦτα διὰ παντός, οὐκ ἂν οὐδὲ δυνατὸν αὐτῷ ἦν, τὴν οἰκονομίαν καὶ τὸ βάρος ὑπιέναι τοῦ λόγου· οὔτε μὴν ἀκούειν τι ἢ λέγειν, ἢ καὶ περί του, κἂν τὸ βραχύτατον, μεριμνᾶν, ὅτι μὴ κεῖσθαι μόνον, μιᾶς γωνίας ἐπειλημμένον, μετέωρον καὶ μεμεθυμένον· ταύτῃ τοι καὶ τὸ τέλειον αὐτῷ μέτρον οὐ παρεσχέθη· ἵνα καὶ τῇ τῶν ἀδελφῶν προνοίᾳ καὶ τῇ τοῦ λόγου διακονίᾳ καιρὸν ἔχῃ σχολάζειν.

ϟδ΄. Ἀκούοντες, φησί, τοῦ λόγου τῆς βασιλείας καὶ πρὸς δάκρυα καταγόμενοι, μὴ τοῖς ἡμετέροις τούτοις ἐναπομείνωμεν δάκρυσι, μηδὲ τῇ ἡμῶν ἀκοῇ ὡς καλῶς ἀκούσαντες, μηδὲ τοῖς ὀφθαλμοῖς ὡς καλῶς ἰδόντες καὶ ἀρκούντως ἔχειν ἑαυτοῖς λογισώμεθα. Καὶ γάρ εἰσιν ἕτερα ὦτα καὶ ἕτεροι ὀφθαλμοὶ καὶ κλαυθμοὶ ἕτεροι, ὡς δὲ καὶ διάνοια καὶ ψυχὴ ἑτέρα· ὅπερ ἐστὶν αὐτὸ τὸ θεϊκὸν

πὸν] εἶχε αὐτὰ [τὰ θαυμάσια] πάντοτε στὸν ἴδιο βαθμό, δὲν θὰ ἦταν δυνατὸν σὲ αὐτὸν νὰ ὑφίσταται τὴν οἰκονομία καὶ τὸ βάρος τοῦ λόγου [διδάσκοντας τοὺς ἄλλους]. Ἐπειδὴ δὲν [θὰ ἦταν δυνατὸν] οὔτε νὰ ἀκούῃ ἢ νὰ λέγῃ κάτι ἢ καὶ νὰ φροντίζῃ ἔστω καὶ γιὰ τὸ παραμικρό, διότι [θὰ μποροῦσε] μόνο νὰ κάθεται, καταλαμβάνοντας μία γωνία, μὲ ἀνυψωμένο καὶ μεθυσμένο [νοῦ]· γι᾽ αὐτὴν ἀκριβῶς [τὴν αἰτία] δὲν ἐδόθηκε σ᾽ αὐτὸν καὶ τὸ τέλειο μέτρο· γιὰ νὰ ἔχῃ καιρὸ νὰ ἀσχολῆται καὶ μὲ τὴν φροντίδα τῶν ἀδελφῶν καὶ μὲ τὴν διδασκαλία τοῦ λόγου.

94. Ὅταν ἀκούωμε, λέγει [ὁ Ἅγιος], τοὺς λόγους γιὰ τὴν Βασιλεία [τῶν οὐρανῶν] καὶ μᾶς ἔρχωνται δάκρυα [κατανύξεως], νὰ μὴν περιορισθοῦμε σ᾽ αὐτὰ τὰ δικά μας δάκρυα, οὔτε στὴν ἀκοή μας, ὅτι καλὰ ἀκούσαμε, οὔτε στοὺς ὀφθαλμούς, ὅτι καλὰ εἴδαμε, καὶ νομίσωμε ὅτι αὐτὰ μᾶς εἶναι ἀρκετὰ [γιὰ τὴν καλὴ πνευματική μας κατάστασι]. Ἐπειδὴ ὑπάρχουν καὶ ἄλλα αὐτιὰ καὶ ἄλλα μάτια καὶ ἄλλος θρῆνος, ὅπως ἀκόμη καὶ ἄλλη διάνοια καὶ ψυχή· τὸ ὁποῖον εἶναι αὐτὸ τὸ Θεῖο

Πνεῦμα καὶ ἐπουράνιον, τὸ ἀκοῦόν τε καὶ κλαῖον, εὐχόμενόν τε καὶ γινῶσκον καὶ τὸ τοῦ Θεοῦ θέλημα ἐν ἀληθείᾳ ποιοῦν. Ἐπεὶ καὶ τοῖς Ἀποστόλοις ὁ Κύριος τὴν μεγίστην ἐπαγγελλόμενος τοῦ Πνεύματος δωρεάν, ὑπάγω, ἔλεγεν, ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, ὃ πέμψει ὁ Πατὴρ ἐν τῷ ὀνόματί μου, ἐκεῖνος ὑμᾶς διδάξει πάντα[231]*. Καὶ πάλιν, ἔτι πολλὰ ἔχω λέγειν ὑμῖν, ἀλλ᾽ οὐ δύνασθε βαστάζειν ἄρτι· ὅταν δὲ ἔλθῃ ἐκεῖνος, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁδηγήσει ὑμᾶς εἰς πᾶσαν τὴν ἀλήθειαν*[232]*. Ἐκεῖνος οὖν προσεύξεται καὶ ἐκεῖνος κλαύσεται· τὸ γὰρ τί προσευξόμεθα, φησὶν ὁ θεῖος Ἀπόστολος, καθ᾽ ὃ δεῖ, οὐκ οἴδαμεν· ἀλλ᾽ αὐτὸ τὸ Πνεῦμα ἐντυγχάνει ὑπὲρ ἡμῶν στεναγμοῖς ἀλαλήτοις*[233]*. Αὐτῷ γὰρ τῷ Πνεύματι μόνῳ τὸ τοῦ Θεοῦ θέλημα δῆλόν ἐστι. Τὰ γὰρ τοῦ Θεοῦ, φησίν, οὐδεὶς οἶδεν, εἰμὴ τὸ Πνεῦμα τοῦ Θεοῦ*[234]*. Ἐπεὶ*

καὶ Ἐπουράνιο Πνεῦμα[10], ποὺ ἀκούει καὶ κλαίει καὶ προσεύχεται καὶ γνωρίζει καὶ πράττει ἀληθινὰ τὸ θέλημα τοῦ Θεοῦ [καθοδηγώντας ἔτσι τὴν ψυχὴ πῶς νὰ ἐνεργῇ]. Ἀφοῦ καὶ στοὺς Ἀποστόλους ὁ Κύριος, ὅταν ἔδινε τὴν μεγίστη ὑπόσχεσι τῆς δωρεᾶς τοῦ [Ἁγίου] Πνεύματος, εἶπε: «ἐγὼ φεύγω, ὁ δὲ Παράκλητος, τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ ὁποῖο θὰ ἀποστείλῃ ὁ Πατὴρ εἰς τὸ Ὄνομά μου, Ἐκεῖνο θὰ σᾶς διδάξῃ τὰ πάντα». Καὶ πάλι: «ἔχω πολλὰ ἀκόμη νὰ σᾶς πῶ, ἀλλὰ τώρα δὲν μπορεῖτε νὰ τὰ ἐννοήσετε καὶ νὰ τὰ συγκρατήσετε· ὅταν ὅμως ἔλθῃ Ἐκεῖνος, τὸ Πνεῦμα τῆς Ἀληθείας, θὰ σᾶς ὁδηγήσῃ σὲ ὅλη τὴν Ἀλήθεια». Ἐκεῖνος λοιπὸν θὰ προσευχηθῇ καὶ Ἐκεῖνος θὰ κλαύσῃ· διότι, [ὅπως] λέγει ὁ θεῖος Ἀπόστολος, «δὲν γνωρίζομε τὶ [καὶ] πῶς πρέπει νὰ [τὸ] ζητήσωμε στὴν προσευχή μας· ἀλλὰ αὐτὸ τὸ Πνεῦμα μεσιτεύει γιὰ μᾶς, [ἐμπνέοντας μέσα μας] ἀρρήτους στεναγμούς». Ἐπειδὴ μόνο σ᾽ αὐτὸ τὸ [Ἅγιο] Πνεῦμα γίνεται φανερὸ τὸ θέλημα τοῦ Θεοῦ. «Ἐπειδὴ τὰ τοῦ Θεοῦ, λέγει [ὁ Ἀπόστολος], κανεὶς δὲν γνωρίζει παρὰ μόνο τὸ Πνεῦμα τοῦ Θεοῦ».

καὶ κατὰ τὴν ἐπαγγελίαν ἐν τῇ ἡμέρᾳ τῆς Πεντηκοστῆς, τοῦ Παρακλήτου ἐπιφοιτήσαντος[235] *καὶ τῆς δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος ταῖς ψυχαῖς τῶν Ἀποστόλων ἐνσκηνωσάσης, τὸ μὲν τῆς κακίας κάλυμμα εἰσάπαν αὐτῶν ἀφῃρέθη, τὰ πάθη δὲ κατηργήθη καὶ τὰ τῆς καρδίας αὐτῶν ἀπεκαλύφθησαν ὄμματα. Καὶ τότε λοιπόν, σοφίας πλησθέντες καὶ τέλειοι κατασταθέντες ὑπὸ τοῦ Πνεύματος, δι᾽ ἐκείνου μὲν καὶ τὸ τοῦ Θεοῦ θέλημα ποιεῖν ἔγνωσαν, δι᾽ ἐκείνου δὲ καὶ πρὸς πᾶσαν ἀλήθειαν ἐχειραγωγήθησαν, ἡγεμονεύσαντός τε καὶ βασιλεύσαντος αὐτοῖς τῶν ψυχῶν. Ὅταν οὖν καὶ ἡμῖν, ἐπακούουσι τοῦ λόγου τοῦ Θεοῦ, κλαίειν ἐπέρχηται, δεηθῶμεν Χριστοῦ, πίστει ἀνεπιδοιάστῳ ἐλεύσεσθαι πρὸς ἡμᾶς, ἐλπίσαντες, τὸ ἀληθῶς ἀκοῦον καὶ προσευχόμενον Πνεῦμα κατὰ τὸ τοῦ Θεοῦ θέλημα καὶ τὴν βούλησιν.*

Καὶ ὅταν, κατὰ τὴν ἡμέρα τῆς Πεντηκοστῆς, σύμφωνα μὲ τὴν ὑπόσχεσι [τοῦ Χριστοῦ], ἐπεφοίτησε ὁ Παράκλητος καὶ ἡ δύναμι τοῦ ἀγαθοῦ Πνεύματος κατεσκήνωσε στὶς ψυχὲς τῶν Ἀποστόλων, τὸ μὲν κάλυμμα τῆς κακίας ἀφαιρέθηκε ἐντελῶς ἀπὸ αὐτούς, τὰ δὲ πάθη καταργήθηκαν, καὶ τὰ ὄμματα τῆς καρδίας τους ἀνοίχθηκαν. Καὶ τότε, λοιπόν, ἀφοῦ ἔγιναν πλήρεις σοφίας καὶ τελειοποιήθηκαν ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, διὰ μέσου Ἐκείνου, ἀφ᾽ ἑνὸς ἔμαθαν καὶ πῶς νὰ πράττουν τὸ θέλημα τοῦ Θεοῦ, ἀφ᾽ ἑτέρου χειραγωγήθηκαν ἀπὸ Ἐκεῖνο καὶ πρὸς ὅλη τὴν ἀλήθεια, ἐπειδὴ [Ἐκεῖνο] ἔγινε ὁ ἡγεμόνας καὶ Βασιλεὺς τῶν ψυχῶν τους. Ὅταν λοιπὸν καὶ σὲ μᾶς, ἐνῶ ἀκοῦμε τὸν λόγο τοῦ Θεοῦ, μᾶς δημιουργῆται [διάθεσι] κλαυθμοῦ, νὰ παρακαλέσωμε τὸν Χριστὸ μὲ ἀκράδαντη πίστι, νὰ ἔλθῃ σὲ ἐμᾶς, ὅπως ἐλπίσαμε, τὸ [Ἅγιο] Πνεῦμα, τὸ Ὁποῖο ἀληθινὰ ἀκούει καὶ προσεύχεται [μέσα μας] σύμφωνα μὲ τὸ θέλημα καὶ τὴν βούλησι τοῦ Θεοῦ.

ϟε΄. Τὸ πρᾶγμα οὕτως ἔχειν οἴου, φησίν· ἐπίκειταί τις οἷα γνοφώδης δύναμις ἐπικαλύπτουσα ἐλαφρῶς τὸν νοῦν, ὡς ἀήρ τις λεπτός· καίτοι δὲ τῆς λαμπάδος ἀείποτε καιομένης καὶ φαινούσης, καθάπερ εἴρηται, ἀλλὰ τῷ φωτὶ ἐκείνῳ ὡς κάλυμμά τι ἐπίκειται ταύτῃ τοι, οὐδὲ ἔξαρνός ἐστιν ὁ τοιοῦτος, μὴ εἶναι τέλειος, μηδὲ τὸ ὅλον ἐλεύθερος ἐκ τῆς ἁμαρτίας, ἀλλ᾽ οἷον εἰπεῖν, ἐλεύθερός τε καὶ οὐκ ἐλεύθερος. Τοῦτο δὲ οὐκ ἀθεεὶ πάντως, ἀλλὰ κατ᾽ οἰκονομίαν γίνεται θείαν· καὶ ποτὲ μὲν διαλύεταί τε καὶ θραύεται ἐκεῖνο τὸ μεσότοιχον τοῦ φραγμοῦ[236]· ποτὲ δὲ τὸ σύμπαν οὐ διαλύεται, οὐδὲ διὰ παντὸς ἐπίσης ἔχει τὰ τῆς εὐχῆς· ἀλλ᾽ ἔστι μὲν ὅτε, πλέον ἡ χάρις ἀνάπτεται καὶ παρακαλεῖ καὶ διαναπαύει· ἔστι δ᾽ ὅτε, στυγνοτέρα καὶ ὑφειμένη γίνεται, καθὼς αὐτὴ ἡ χάρις πρὸς τὸ συμφέρον τῷ ἀνθρώπῳ οἰκονομεῖ. Ὅμως εἰσῆλθον εἰς τὸ τέλειον μέτρον ἔν τισι

95. Νὰ θεωρῇς, λέγει [ὁ Ἅγιος], ὅτι τὸ πρᾶγμα ἔχει ὡς ἑξῆς· ὑπάρχει ἐπάνω μας κάποια σκοτεινὴ δύναμι, ἡ ὁποία καλύπτει ἐλαφρὰ τὸν νοῦ σὰν κάποια λεπτὴ ὁμίχλη· καὶ παρ᾽ ὅλο ποὺ ἡ λαμπάδα πάντοτε καίει καὶ φωτίζει, ὅπως ἔχει λεχθῆ, ὅμως πάνω σ᾽ ἐκεῖνο τὸ φῶς αὐτῆς ἁπλώνεται κάτι σὰν κάλυμμα, [ὥστε] νὰ μὴν ἀρνῆται αὐτός, ὅτι δὲν εἶναι τέλειος, οὔτε ἐντελῶς ἐλεύθερος ἀπὸ τὴν ἁμαρτία, ἀλλὰ [εἶναι], σὰν νὰ ποῦμε, καὶ ἐλεύθερος καὶ ὄχι ἐλεύθερος. Αὐτὸ βέβαια δὲν [συμβαίνει] χωρὶς τὴν βοήθεια τοῦ Θεοῦ, ἀλλὰ γίνεται κατὰ θεία οἰκονομία· καὶ ἄλλοτε μὲν διαλύεται καὶ συντρίβεται ἐκεῖνο «τὸ μεσότοιχο τοῦ φραγμοῦ»· ἄλλοτε δὲ δὲν διαλύεται ὁλοσχερῶς, οὔτε ἐπίσης ὅσα ἀφοροῦν τὴν προσευχὴ εἶναι πάντοτε ἴδια· ἀλλὰ κάποιες φορὲς ἡ [Θεία] Χάρι ἀνάβει περισσότερο καὶ παρηγορεῖ καὶ ἀναπαύει· ἄλλες δὲ φορές, σκυθρωπάζει καὶ μειώνεται, ὅπως Αὐτὴ ἡ [Θεία] Χάρι οἰκονομεῖ πρὸς τὸ συμφέρον τοῦ ἀνθρώπου. Ὅμως, [ἂν καὶ] ἔφθασα σὲ μερικὲς

καιροῖς καὶ ἐγευσάμην καὶ πεῖραν ἔσχον ἐκείνου τοῦ αἰῶνος· οὔπω δὲ οὐδένα εἶδον Χριστιανὸν τέλειον ἢ καθάπαξ ἐλεύθερον· ἀλλὰ καὶ διαναπαύεταί τις ἐν τῇ χάριτι καὶ μυστηρίων καὶ ἀποκαλύψεων ἀξιοῦται καὶ κοινωνὸς γίνεται καὶ εἰς ἡδύτητα πολλὴν τῆς χάριτος εἴσεισι· καὶ ἡ ἁμαρτία πάλιν ἔνδον αὐτῷ σύνεστιν. Οἱ δὲ τοιοῦτοι, διὰ τὴν ὑπερβάλλουσαν χάριν καὶ τὸ ἐλλάμπον αὐτοῖς φῶς, κατά γε ἀπειρίαν, φημί, τέλειοί τε καὶ ἐλεύθεροι ἔδοξαν εἶναι. Ἐγὼ δέ, ὡς εἴρηται, οὔπω οὐδένα εἶδον ἀκριβῶς ἐλεύθερον· ἐπειδὴ κἀμοὶ μερικῶς ἐν καιροῖς τισιν ἐξεγένετο εἰς ἐκεῖνο τὸ μέτρον, ἢ λέλεκται, εἰσελθεῖν, καὶ οἶδα, καταμαθών, ὁποῖός τις ὁ τέλειος ἄνθρωπός ἐστιν.

ϟϛ΄. Ἐπειδὰν ἀκοῦσαί σοι γένοιτο περὶ κοινωνίας νυμφίου τε καὶ νύμφης καὶ χορῶν καὶ ἤχων καὶ ἑορτῶν, μηδὲν ὑλικόν, μηδὲ

περιπτώσεις τὰ τέλεια μέτρα καὶ ἐγεύθηκα καὶ ἔλαβα πεῖρα ἐκείνου τοῦ [μέλλοντος] αἰῶνος· ἀκόμη δὲν εἶδα κανένα Χριστιανὸ τέλειο ἢ ὁλοκληρωτικὰ ἐλεύθερο· ἀλλὰ [ἂν] καὶ ἀναπαύεται κανεὶς ἀπὸ τὴν Χάρι, καὶ ἀξιώνεται [νὰ γνωρίσῃ] μυστήρια καὶ ἀποκαλύψεις καὶ γίνεται κοινωνὸς καὶ ἀπολαμβάνῃ τὴν πολλὴ γλυκύτητα τῆς Χάριτος· καὶ πάλι ἡ ἁμαρτία συνυπάρχει μέσα του. Οἱ ἄνθρωποι αὐτοί, γιὰ τὴν ὑπερβολικὴ Χάρι [ποὺ ἔλαβαν] καὶ γιὰ τὸ φῶς ποὺ τοὺς φωτίζει, λόγῳ βεβαίως τῆς ἀπειρίας τους, λέγω, ἐνόμισαν, ὅτι εἶναι καὶ τέλειοι καὶ ἐλεύθεροι [ἀπὸ τὴν ἁμαρτία]. Ἐγὼ δέ, ὅπως ἔχει λεχθῆ, ἀκόμη δὲν εἶδα κανέναν τελείως ἐλεύθερο· ἐπειδὴ καὶ σὲ μένα συνέβη κάποιες φορὲς νὰ φθάσω ἐν μέρει σ᾿ ἐκεῖνο τὸ μέτρο, γιὰ τὸ ὁποῖο ἔχει γίνει λόγος, καὶ γνωρίζω, ἀφοῦ ἔμαθα καλά, ποιὸς ἀκριβῶς εἶναι ὁ τέλειος ἄνθρωπος.

96. Ὅταν τύχῃ νὰ ἀκούσῃς γιὰ ἕνωσι νυμφίου καὶ νύμφης καὶ γιὰ χοροὺς καὶ μουσικὴ καὶ ἑορτές, μὴ θεωρήσῃς [ὅτι πρόκειται] γιὰ [κάτι] ὑλικὸ ἢ

πρόσγειον ἐννοήσῃς· καὶ γὰρ εἰς ὑπόδειγμα μόνον συγκαταβατικῶς ταῦτα παραλαμβάνεται· ἐπεὶ ἐκεῖνα ἄρρητά τέ ἐστι καὶ πνευματικὰ καὶ ὀφθαλμοῖς τοῖς σαρκικοῖς ἄψαυστα, ψυχαῖς δὲ ἁγίαις καὶ πισταῖς πρὸς κατάληψιν ἔρχεται ταῦτα. Αὕτη τε ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος καὶ οἱ ἐπουράνιοι θησαυροί, οἱ χοροί τε καὶ ἑορταὶ τῶν Ἁγίων Ἀγγέλων, τῷ πείρᾳ λαβόντι μόνῳ, καταφανῆ γίνονται· ἀμυήτῳ δὲ οὐδὲ ἐννοῆσαι δυνατὸν τὸ παράπαν. Εὐλαβῶς οὖν περὶ αὐτῶν ἄκουε, μέχρις ἂν καὶ σοὶ γένοιτο, πιστεύοντι, καταξιωθῆναι τῶν τοιούτων τυχεῖν· καὶ τότε εἴσῃ αὐτῇ πείρᾳ τῶν ὀφθαλμῶν τῆς ψυχῆς, οἵων ἀγαθῶν τε καὶ μυστηρίων ψυχαὶ Χριστιανῶν κἀνταῦθα κοινωνεῖν δύνανται. Ἐν γὰρ τῇ ἀναστάσει καὶ αὐτὸ τὸ σῶμα τῶν τοιούτων τυχεῖν ἀξιωθήσεται, βλέπειν τε αὐτὰ καὶ οἱονεὶ κρατεῖν, ὁπόταν καὶ αὐτὸ γένηται πνεῦμα.

γήϊνο· διότι καὶ αὐτά, τὰ λαμβάνομε συγκαταβατικά, μόνο χάριν παραδείγματος· ἐπειδὴ ἐκεῖνα εἶναι ἄρρητα καὶ πνευματικὰ καὶ ἀπρόσιτα στὰ σαρκικὰ μάτια· μποροῦν δὲ νὰ τὰ ἐννοήσουν μόνο οἱ ἅγιες καὶ πιστὲς ψυχές. Καὶ αὐτὴ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος καὶ οἱ ἐπουράνιοι θησαυροὶ καὶ οἱ χοροὶ καὶ ἑορτὲς τῶν Ἁγίων Ἀγγέλων, ἀποκαλύπτονται μόνο σ᾽ ἐκεῖνον, ποὺ ἔχει γευθῆ [αὐτὲς τὶς καταστάσεις]· ἐνῶ στὸν ἀμύητο εἶναι παντελῶς ἀδύνατον οὔτε κἂν νὰ τὰ ἐννοήσῃ. Μὲ εὐλάβεια λοιπὸν ἄκουε καὶ σὺ γιὰ αὐτά, ἕως ὅτου γίνῃ σὲ σένα, ἐφόσον πιστεύεις, νὰ καταξιωθῇς νὰ [τὰ] γευθῇς· καὶ τότε θὰ γνωρίσῃς μὲ αὐτὴ τὴν πεῖρα τῶν ψυχικῶν ὀφθαλμῶν, σὲ ποιὰ ἀγαθὰ καὶ μυστήρια εἶναι δυνατὸν νὰ μετέχουν οἱ ψυχὲς τῶν Χριστιανῶν ἀκόμη καὶ ἀπὸ αὐτὴ τὴ ζωή. Διότι στὴν Ἀνάστασι καὶ αὐτὸ τὸ σῶμα τῶν ἀνθρώπων θὰ ἀξιωθῇ νὰ τὰ βλέπῃ αὐτὰ καὶ κατὰ κάποιο τρόπο νὰ τὰ κρατᾷ, ὅταν καὶ αὐτὸ γίνῃ πνεῦμα[11].

ϟζ΄. Τὰ ἴδια τῆς ψυχῆς ἡμῶν κάλλη καὶ οἱ ἀγαθοὶ καρποί, ἤτοι εὐχή, ἀγάπη, πίστις τε καὶ ἀγρυπνία καὶ νηστεία καὶ τ᾽ ἄλλα τῶν ἀρετῶν ἐπιτηδεύματα, ἐπειδὰν μιγοίη καὶ κοινωνήσοι τῆς τοῦ Πνεύματος κοινωνίας, τότε καὶ αὐτά, καθαπερεὶ θυμίαμά τι πυρὶ βληθέν, πλουσίαν ἀποδίδωσι τήν εὐωδίαν· ἀλλὰ καὶ ἡμῖν γίνεται ῥᾴδιον ἀκολούθως τῷ θελήματι πολιτεύεσθαι τοῦ Θεοῦ· ὡς ἄνευ Πνεύματος τοῦ Ἁγίου, καθάπερ ἤδη καὶ πρότερον εἴρηται, μηδενὶ δυνατὸν ὂν [recte: ἐστι] συνιέναι τὸ τοῦ Θεοῦ θέλημα. Ὥσπερ γὰρ ἀνδρὶ πρὸς γάμον συνοῦσα γυνή, πρότερον μὲν ἢ συναφθῆναι, γνώμῃ τῇ ἰδίᾳ στοιχεῖ καὶ θελήμασι τοῖς ἑαυτῆς κέχρηται, ἐπειδὰν δὲ συνέλθῃ καθ᾽ ἕν, ὑπ᾽ ἐκείνῳ ἡγεμόνι τὸ σύνολον ζῇ, τοῦ πρὸς ἑαυτὴν ὁρᾶν ἀφειμένη· τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχή, ἔχει μὲν ἴδιόν τι θέλημα καὶ ἰδίους νόμους καὶ ἔργα ἴδια· ἐπειδὰν δὲ ἀξία γένηται τῷ

97. Τὰ ἰδιαίτερα κάλλη τῆς ψυχῆς μας καὶ οἱ ἀγαθοὶ καρποί, δηλαδὴ ἡ προσευχή, ἡ ἀγάπη καὶ ἡ πίστι καὶ ἡ ἀγρυπνία καὶ ἡ νηστεία καὶ τὰ ἄλλα ἔργα τῶν ἀρετῶν, ὅταν ἀναμιχθοῦν καὶ μετάσχουν τῆς κοινωνίας τοῦ [Ἁγίου] Πνεύματος, τότε καὶ αὐτὰ σὰν κάποιο θυμίαμα, ποὺ θὰ ριχθῆ στὴν φωτιά, ἀναδίδουν πλούσια τὴν εὐωδία· ἀλλὰ καὶ σὲ μᾶς [τότε] γίνεται πιὸ εὔκολο νὰ διάγωμε τὸν βίο μας σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ· διότι χωρὶς τὸ Ἅγιο Πνεῦμα, ὅπως ἤδη καὶ προηγουμένως ἔχει λεχθῆ, σὲ κανένα δὲν εἶναι δυνατὸν νὰ γνωρίζῃ τὸ θέλημα τοῦ Θεοῦ. Διότι, ὅπως ἀκριβῶς ἡ γυναίκα, ποὺ ἔρχεται σὲ γάμου [κοινωνία] μὲ [ἕναν] ἄνδρα, ἐνῶ πρὶν ἀπὸ τὴν σύναψι τοῦ γάμου, ἀκολουθεῖ τὴν δική της γνώμη καὶ κάνει τὰ δικά της θελήματα, ὅταν ὅμως ὑπανδρευθῆ, ζῇ ὁλοκληρωτικὰ κάτω ἀπὸ τὴν ἐξουσία [τοῦ συζύγου της], ἀφοῦ ἐγκατέλειψε κάθε τι, ποὺ ἀφορᾶ τὸν ἑαυτό της· μὲ τὸν ἴδιο τρόπο καὶ ἡ ψυχή, ἔχει μὲν δικό της θέλημα καὶ δικούς της νόμους καὶ δικὰ της ἔργα. Ἀλλά, ὅταν γίνῃ ἄξια

ἐπουρανίῳ ἀνδρὶ Χριστῷ συνελθεῖν, ὑποτάσσεται τῷ νόμῳ τοῦ ἀνδρός, οὐκ ἔτι τῷ ταύτης θελήματι, ἀλλὰ τῷ τοῦ ταύτης νυμφίῳ [recte: νυμφίου] ἑπομένη Χριστοῦ.

ϟη΄. Τὸ τοῦ γάμου ἔνδυμα, περὶ οὗ τὰ θεῖα Χριστοῦ διαλαμβάνει λόγια[237]*, τὴν τοῦ Ἁγίου Πνεύματος εἶναι χάριν ἡγοῦ, ἣν ὁ μὴ ἐνδύναι γεγονὼς ἄξιος, τοῦ ἐπουρανίου γάμου καὶ τοῦ δείπνου ἐκείνου τοῦ πνευματικοῦ κοινωνὸς οὐκ ἔσται.*

ϟθ΄. Θῶμεν σπουδὴν τοῦ πνευματικοῦ καὶ θείου πιεῖν οἴνου καὶ μεθυσθῆναι μέθην νηφάλιον· ἵν᾽ ὥσπερ οἱ οἴνου διακορεῖς λαλίστεροι γίνωνται, οὕτω καὶ ἡμεῖς, τοῦ πνευματικοῦ τούτου διάπλεῳ γεγονότες οἴνου, μυστηρίων θείων λαλήσωμεν διηγήματα· καὶ τὸ ποτήριον γάρ σου, φησὶν ὁ θεῖος Δαβίδ, μεθύσκον με, ὡσεὶ κράτιστον[238]*.*

ρ΄. Αὕτη ἐστὶν ἡ πτωχὴ τῷ πνεύματι[239] *ψυχή, ἥτις ἐπιγινώσκει μὲν τὰ ἑαυτῆς τραύματα, ἐπιγιγνώσκει*

νὰ ἑνωθῇ μὲ τὸν ἐπουράνιο ἄνδρα Χριστό, ὑποτάσσεται στὸ νόμο τοῦ ἀνδρός, χωρὶς νὰ ἀκολουθῇ τώρα πιὰ τὸ δικό της θέλημα, ἀλλὰ [τὸ θέλημα] τοῦ Νυμφίου της Χριστοῦ.

98. Τὸ ἔνδυμα τοῦ γάμου, στὸ ὁποῖο ἀναφέρονται τὰ θεῖα λόγια τοῦ Χριστοῦ, νὰ θεωρῇς ὅτι εἶναι ἡ Χάρις τοῦ Ἁγίου Πνεύματος, [καὶ] ἐκεῖνος ποὺ δὲν ἔγινε ἄξιος νὰ τὴν ἐνδυθῇ, δὲν θὰ συμμετάσχῃ στὸν ἐπουράνιο γάμο, καὶ στὸ πνευματικὸ ἐκεῖνο δεῖπνο.

99. Ἂς προσπαθήσωμε νὰ πιοῦμε ἀπὸ τὸν πνευματικὸ καὶ θεϊκὸ οἶνο καὶ νὰ μεθύσωμε μὲ τὴν νηφάλια μέθη· ὥστε, ὅπως αὐτοί, ποὺ ἔχουν καταναλώσει ἄφθονο κρασί, γίνονται πιὸ ὁμιλητικοί, ἔτσι καὶ ἐμεῖς, ἀφοῦ γίνωμε πλήρεις ἀπὸ πνευματικὸ οἶνο, νὰ ὁμολογήσωμε περὶ τῶν θείων μυστηρίων· ὅπως λέγει ὁ θεῖος Δαβίδ: «καὶ τὸ ποτήρι σου μὲ μεθᾶ σὰν τὸ δυνατώτερο κρασί».

100. Ἡ «πτωχὴ τῷ Πνεύματι» ψυχὴ εἶναι αὐτή, ἡ ὁποία γνωρίζει μὲν καλὰ τὰ τραύματά της, γνωρίζει δὲ [ἐξίσου] καλὰ τὸ

δὲ τὸ περιέχον αὐτὴν τῶν παθῶν σκότος, καὶ τὴν ἀπὸ Κυρίου διαπαντὸς ἐπιζητεῖ λύτρωσιν, ἣ φέρει μὲν πόνους, ἐπ᾽ οὐδενὶ δὲ τῶν ἐπὶ γῆς ἀγαθῶν χαίρει· ἀλλὰ τὸν καλὸν μόνον ἰατρὸν ἐκζητεῖ καὶ τῇ αὐτοῦ πέποιθε θεραπείᾳ. Πῶς οὖν ἡ τετραυματισμένη αὕτη ψυχή, καλὴ καὶ εὐπρόσωπος ἔσται καὶ πρὸς συμβίωσιν ἁρμόζουσα τῷ Χριστῷ; πῶς ἄλλως, ἢ κατὰ τὴν ἀρχαίαν αὐτῆς κτίσιν καὶ τὴν σαφῆ τῶν οἰκείων τραυμάτων καὶ τῆς πτωχείας ἐπίγνωσιν; Εἰ γὰρ οἷς ἔχει τραύμασί τε καὶ μώλωψι τῶν παθῶν μὴ συνήδεται, μηδὲ συνηγορεῖ τοῖς σφάλμασιν, οὐ λογίζεται αὐτῇ τὴν ἀφορμὴν ὁ Κύριος, ἀλλ᾽ ἐλθὼν ἰᾶται καὶ θεραπεύει καὶ ἀπαθὲς αὐτῇ καὶ ἄφθορόν τι κάλλος ἀποκαθίστησι. Μόνον αὐτή, προαιρέσει μὴ κοινωνείτω τοῖς πραττομένοις, καθάπερ εἴρηται, μηδὲ τοῖς ἐνεργουμένοις συνευδοκείτω πάθεσιν·

σκοτάδι τῶν παθῶν, ποὺ τὴν περιβάλλει, καὶ ἐπιζητεῖ συνεχῶς τὴν λύτρωσι ἀπὸ τὸν Κύριο. [Εἶναι αὐτή], ἡ ὁποία ὑπομένει μὲν τοὺς πόνους καὶ οὔτε χαίρεται μὲ κανένα ἀπὸ τὰ γήϊνα ἀγαθά· ἀλλὰ ἀναζητᾶ μόνο τὸν καλὸ Ἰατρό, καὶ ἔχει ἐμπιστοσύνη στὴ θεραπεία [Του]. Μὲ ποιὸ τρόπο λοιπὸν αὐτὴ ἡ ψυχή, ἡ ὁποία ἔχει τραυματιστῆ [ἀπὸ τὰ πάθη], θὰ γίνῃ ὡραία καὶ χαριτωμένη, ὥστε νὰ εἶναι κατάλληλη νὰ ζήσῃ μαζὶ μὲ τὸν Χριστό; Πῶς ἀλλιῶς, παρὰ [ὅταν γίνῃ πάλι, ὅπως ἦταν] μὲ τὸ πρωταρχικὸ [κάλλος] ποὺ τὴν ἔπλασε [ὁ Θεὸς] καὶ μὲ σαφῆ τὴν ἐπίγνωσι τῶν τραυμάτων καὶ τῆς πτωχείας της; Διότι, ἐὰν δὲν εὐχαριστῆται στὰ τραύματα καὶ στοὺς μώλωπες τῶν παθῶν ποὺ ἔχει, οὔτε δικαιολογεῖ τὰ σφάλματά της, ὁ Κύριος δὲν καταλογίζει σ᾽ αὐτὴν τὶς ἀφορμὲς [τῆς ἀσθενείας της], ἀλλὰ ἀφοῦ ἔλθῃ, τὴν ἰατρεύει καὶ τὴν περιποιεῖται καὶ τὴν ἀποκαθιστᾶ σ᾽ ἕνα ἀπαθὲς καὶ ἄφθαρτο κάλλος. Μόνο [ποὺ] αὐτή, [θὰ πρέπει] νὰ μὴν συμμετέχῃ μὲ τὴν προαίρεσί της σὲ ὅσα πράττει, ὅπως ἔχει λεχθῆ, οὔτε νὰ συγκατατίθεται στὰ πάθη ποὺ ἐνεργοῦν [μέσα

ἀλλ' ὅλῃ δυνάμει πρὸς Κύριον ἐκβοάτω, ἵνα, διὰ τοῦ ἀγαθοῦ Πνεύματος αὐτοῦ, τῆς ἐλευθερίας πάντων ἀξιωθῇ τῶν παθῶν. Αὕτη μὲν οὖν ἡ ψυχὴ μακαρία· οὐαὶ δὲ τῇ μὴ συναίσθησιν δεχομένῃ τραυμάτων, μηδὲ ἔχειν τι κακίας διὰ πολλὴν καὶ ἄμετρον οἰομένῃ κακίαν καὶ πώρωσιν. Ταύτην γὰρ οὐδὲ ὁ ἀγαθὸς ἐπισκέπτεται ἰατρός, οὐδὲ θεραπεύει, ὅτι μηδὲ ἐπιζητεῖ αὐτόν, μηδὲ μέλει αὐτῇ τῶν τραυμάτων, ἅτε καλῶς ἔχειν καὶ ὑγιῶς ἡγουμένῃ. Οὐ γὰρ χρείαν ἔχουσι, φησίν, οἱ ὑγιαίνοντες ἰατροῦ, ἀλλ' οἱ κακῶς ἔχοντες[240].

ρα΄. Μακάριοι τῷ ὄντι καὶ ζηλωτοὶ τοῦ βίου καὶ τῆς ὑπερφυοῦς ἀπολαύσεως, ὅσοι διὰ θερμῆς πίστεως καὶ φιλαρέτου διαγωγῆς, τῶν ἐπουρανίων τοῦ Πνεύματος μυστηρίων, πείρᾳ καὶ αἰσθήσει τὴν γνῶσιν εἰλήφασι καὶ τὸ πολίτευμα ἐν οὐρανοῖς ἔχουσιν[241]*. Οὗτοι καὶ συμπάντων κρείτ-*

της]· ἀλλὰ μὲ ὅλη της τὴν δύναμι νὰ βοᾷ πρὸς τὸν Κύριο, νὰ τὴν ἀξιώσῃ μὲ [τὴν Χάρι] τοῦ Ἀγαθοῦ Πνεύματος νὰ ἐλευθερωθῇ ἀπὸ ὅλα τὰ πάθη [της]. Αὐτὴ μὲν λοιπὸν ἡ ψυχὴ εἶναι [ἀληθινὰ] μακαρία· ἀλλοίμονο ὅμως σὲ αὐτὴ [τὴν ψυχή], ἡ ὁποία δὲν ἔχει συναίσθησι τῶν τραυμάτων της, καὶ ποὺ νομίζει ὅτι δὲν ἔχει τὴν παραμικρὴ κακία, λόγῳ τῆς μεγάλης καὶ βαθείας κακίας καὶ πωρώσεως [ποὺ τὴν διακατέχει]. Διότι αὐτὴ δὲν τὴν ἐπισκέπτεται ὁ ἀγαθὸς Ἰατρός, οὔτε τὴν θεραπεύει, ἐπειδὴ [αὐτὴ] οὔτε κἂν Τὸν ἀναζητᾶ, οὔτε τὴν ἐνδιαφέρει γιὰ τὰ τραύματά της, ἐπειδὴ θεωρεῖ, ὅτι εἶναι καλὰ καὶ ὑγιής. Διότι «δὲν ἔχουν ἀνάγκη, λέγει, οἱ ὑγιεῖς ἀπὸ γιατρό, ἀλλὰ οἱ ἄρρωστοι».

101. Εἶναι πράγματι μακάριοι καὶ ἀξιοζήλευτοι γιὰ τὸν βίο τους καὶ τὴν ὑπερφυσική [τους] ἀπόλαυσι, ὅσοι μὲ τὴν θερμή [τους] πίστι καὶ τὴν φιλάρετη διαγωγή, ἔλαβαν πεῖρα καὶ αἴσθησι τῶν ἐπουρανίων μυστηρίων τοῦ [Ἁγίου] Πνεύματος, καὶ «ἔχουν τὴν πατρίδα τους στοὺς οὐρανούς». Αὐτοὶ εἶναι οἱ καλλίτεροι ἀπὸ ὅλους

τους ἀνθρώπων εἰσί. Καὶ φανερὰ ἡ ἀπόδειξις· τίνι γὰρ τῶν δυνατῶν ἢ σοφῶν ἢ φρονίμων ἀνελθεῖν εἰς τὸν οὐρανὸν ὑπῆρξεν, ἔτι στρεφομένῳ περὶ τὴν γῆν; ἐκεῖ τε ἐργάσασθαι ἔργα πνευματικὰ καὶ τὰ κάλλη τοῦ Πνεύματος κατοπτεῦσαι; Νυνὶ δὲ πένης τις τὸ φαινόμενον, πένης ἄκρως, καὶ ἐξουδενωμένος, καὶ οὐδὲ τοῖς ἐν γειτόνων μικροῦ γνώριμος, προσπίπτων ἐπὶ πρόσωπον αὐτοῦ τῷ Κυρίῳ, ἄνεισιν εἰς τὸν οὐρανὸν ὑπὸ πνεύματος ὁδηγούμενος καὶ ἐν πληροφορίᾳ τῆς ἑαυτοῦ ψυχῆς, τῷ ἑαυτοῦ λογισμῷ τῶν ἐκεῖ θαυμασίων κατατρυφᾷ, ἐκεῖ τε ἐργάζεται, ἐκεῖ διαιτᾶται, ἐκεῖ τὸ πολίτευμα ἔχει, κατὰ τὸν θεῖον Ἀπόστολον· ἡμῶν γὰρ τὸ πολίτευμα, φησίν, ἐν οὐρανοῖς ὑπάρχει[242]*. Καὶ πάλιν· ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν ὁ Θεὸς τοῖς ἀγαπῶσιν αὐτόν.*

μαζί τοὺς ἀνθρώπους. Καὶ [εἶναι] φανερὴ ἡ ἀπόδειξι· διότι σὲ ποιὸν ἀπὸ τοὺς ἰσχυροὺς ἢ σοφοὺς ἢ φρονίμους [τοῦ κόσμου τούτου], συνέβη νὰ ἀνέβη στὸν οὐρανὸ [νοερά], ὅσο ἦταν ἀπασχολημένος μὲ τὰ γήϊνα, καὶ ἐκεῖ νὰ εὑρεθῇ σὲ πνευματικὲς ἀσχολίες καὶ νὰ κατοπτεύσῃ τὰ κάλλη τοῦ [Ἁγίου] Πνεύματος; Τώρα ὅμως, ἕνας πτωχός, τελείως πτωχὸς καὶ μηδαμινός, καὶ οὔτε ἐλάχιστα γνωστὸς στοὺς γείτονές του, πέφτοντας μὲ τὸ πρόσωπο μπροστὰ στὸν Κύριο, ἀνέρχεται στὸν οὐρανό, ὁδηγούμενος ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, καὶ μὲ [ἐσωτερική] πληροφορία τῆς ψυχῆς του, ἀπολαμβάνει [νοερὰ] μὲ τὸν λογισμό του τὰ ἐκεῖ θαυμάσια, καὶ ἐκεῖ ἀπασχολεῖται καὶ ἐκεῖ τρέφεται [μὲ πνευματικὲς θεωρίες], ἐκεῖ ἔχει τὸ πολίτευμα, σύμφωνα μὲ τὸν θεῖον Ἀπόστολο: «διότι τὸ δικό μας πολίτευμα, λέγει, εἶναι στοὺς οὐρανούς». Καὶ πάλι: «Ἐκεῖνα, τὰ ὁποῖα ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ κανεὶς ἄνθρωπος δὲν διανοήθηκε, τὰ ὁποῖα ἑτοίμασε ὁ Θεὸς γι᾽ αὐτοὺς ποὺ Τὸν ἀγαποῦν».

Εἶτα ἐπάγει· ἡμῖν δὲ ἀπεκάλυψε διὰ τοῦ Πνεύματος αὐτοῦ[243]*. Οὗτοί εἰσιν οἱ ἐν ἀληθείᾳ σοφοί, οἱ δυνατοί, οὗτοι καὶ εὐγενεῖς καὶ φρόνιμοι.*

ρβ΄. Καὶ χωρίς, φησί, τῶν οὐρανίων ἐκείνων, ἀπὸ τῶν παρόντων κρίνων τοὺς ἁγίους, οὐκ ἐπιδοιάσεις πάντων ὑψηλοτέρους εἰπεῖν. Κρινέσθω δὲ οὕτως· Ναβουχοδονόσορ ὁ Βαβυλῶνος ἄρξας, ὁπότε τὰ ἔθνη αὐτῷ πάντα εἰς προσκύνησιν[244]*, ἧς ἔτυχε κατασκευάσαι εἰκόνος ἠθροίζετο· τῷ δὲ Θεῷ τοῦτο πάντως πανσόφως ᾠκονομεῖτο, ἵνα καὶ ἡ τῶν Παίδων ἀρετὴ πᾶσι γνώριμος καταστῇ καὶ μάθωσι πάντες, ὅτι Θεὸς ἀληθὴς εἷς, ὃς τοὺς οὐρανοὺς κατοικεῖ· τρεῖς Παῖδες, καὶ αὐτοὶ αἰχμάλωτοι καὶ τὴν ἐλευθερίαν ἀφῃρημένοι, ἐπαῤῥησιάσαντο πρὸς αὐτὸν καὶ πάντων, πολλῷ δέει, προσκυνούντων, καὶ μηδὲν μηδόλως, εἰ μὴ πεί-*

[Καὶ] μετὰ προσθέτει: «σὲ μᾶς ὅμως τὸ ἀπεκάλυψε διὰ τοῦ Πνεύματός Του». Αὐτοὶ εἶναι οἱ ἀληθινὰ σοφοί, οἱ ἰσχυροί, αὐτοὶ [εἶναι] καὶ οἱ [ὄντως] εὐγενεῖς καὶ φρόνιμοι.

102. [Ἀλλὰ] καὶ χωρὶς τὰ οὐράνια ἐκεῖνα [χαρίσματα], λέγει [ὁ Ἅγιος], καὶ [μόνο] ἀπὸ τὰ παρόντα ἂν κρίνῃς τοὺς Ἁγίους, δὲν θὰ διστάσῃς νὰ τοὺς ὀνομάσῃς ἀνώτερους ἀπὸ ὅλους. Νὰ τοὺς κρίνῃς [δὲ] μὲ τὸ ἑξῆς [παράδειγμα]: Ὅταν ὁ Ναβουχοδονόσορ ἔγινε Βασιλεὺς τῆς Βαβυλῶνος, τότε συνηθροίζοντο ὅλα τὰ ἔθνη, [τὰ ὑποτεταγμένα] σὲ αὐτόν, γιὰ νὰ προσκυνήσουν τὴν εἰκόνα του, [δηλαδὴ τὸν ἀνδριάντα του], τὸν ὁποῖο εἶχε κατασκευάσει. Αὐτὸ βεβαίως, πολὺ σοφά, γινόταν μὲ οἰκονομία ἀπὸ τὸν Θεό, ὥστε καὶ ἡ ἀρετὴ τῶν [Τριῶν] Παίδων νὰ γίνῃ γνωστὴ σὲ ὅλους καὶ νὰ μάθουν ὅλοι, ὅτι ὁ ἀληθινὸς Θεὸς εἶναι Ἕνας, ὁ Ὁποῖος κατοικεῖ εἰς τοὺς οὐρανούς. [Ἂν καὶ ἦταν μόνο] τρεῖς Παῖδες καὶ αὐτοὶ αἰχμάλωτοι καὶ στερημένοι ἐλευθερίας, παρουσιάσθηκαν μὲ παρρησία πρὸς αὐτόν, καὶ ἐνῶ ὅλοι μὲ πολὺ φόβο τὸν προσκυνοῦσαν καὶ τίποτε ἄλλο ἐκτὸς ἀπὸ

θεσθαι, τολμώντων, ἀλλὰ σχεδὸν ἀφώνων, ἶσα καὶ τοῖς κτήνεσιν ἑλκομένων ἀπὸ τῆς ῥινός, αὐτοί, τοσοῦτον ἀπέσχον τοῦ τὰ ὅμοια τοῖς ἄλλοις παθεῖν, ὡς μηδ' εὐσεβοῦντας ἀγνοεῖσθαι βούλεσθαι, μηδ' ὑπομένειν λαθεῖν, ἀλλ' εἰς ἀκοὴν πάντων λέγειν· τοῖς Θεοῖς σου, Βασιλεῦ, οὐ λατρεύομεν, καὶ τῇ εἰκόνι τῇ χρυσῇ, ᾗ ἔστησας, οὐ προσκυνοῦμεν. Τούτους εἰς τιμωρίας λόγον καὶ ἡ φοβερὰ ἐκείνη παραλαβοῦσα κάμινος, οὐ κάμινος ἦν, οὐδὲ τὴν ἑαυτῆς ἐνέργειαν ἐπεδείξατο, ἀλλ' ὥσπερ γοῦν καὶ αὐτὴ διευλαβηθεῖσα, τούτους, ἀπαθεῖς κακῶν διεφύλαξε· καὶ πάντες καὶ Βασιλεὺς αὐτὸς τὸν ἀληθῆ δι' ἐκείνων Θεὸν ἐπέγνωσαν[245]. Ἐκείνους οὐχ οἱ ἐν γῇ μόνον, ἀλλὰ καὶ οἱ ἐν οὐρανοῖς χοροὶ κατεπλάγησαν. Καὶ γὰρ εἰς τὰς τῶν Ἁγίων ἀνδραγαθίας οὐδὲ τοὺς ἐν οὐρανοῖς ἀπεῖναι, ἀλλὰ συμφοιτᾶν κἀκεί-

τὸ νὰ τὸν ὑπακούουν δὲν τολμοῦσαν, ἀλλὰ σχεδὸν [ἦταν] ἄφωνοι, ὅπως τὰ ζῶα ποὺ τὰ τραβᾶς ἀπὸ τὴν μύτη, [αὐτοὶ] τόσο πολὺ ἀπέφυγαν νὰ βρεθοῦν στὴν ἴδια κατάστασι μὲ τοὺς ἄλλους, ὥστε οὔτε ἤθελαν νὰ ἀγνοῆται ἡ εὐσέβειά τους [πρὸς τὸν ἀληθινὸ Θεό], οὔτε ἀνέχονταν νὰ κρυφτοῦν, ἀλλὰ μπροστὰ σὲ ὅλους ἔλεγαν: «Βασιλεῦ, τοὺς Θεούς σου δὲν τοὺς λατρεύομε καὶ τὴν χρυσῆ εἰκόνα, ποὺ ἔστησες, δὲν προσκυνοῦμε». Αὐτούς, [λοιπόν], γιὰ νὰ τοὺς τιμωρήσουν, [τοὺς ἔρριξαν μέσα στὸ καμίνι] καὶ τοὺς παρέλαβε ἡ φοβερὰ ἐκείνη κάμινος, [ἡ ὁποία] δὲν ἦταν [πλέον] κάμινος, οὔτε ἔδειξε τὴν [καυστικὴ] ἐνέργειά της, ἀλλὰ σὰν νὰ τοὺς εὐλαβήθηκε καὶ αὐτή, τοὺς διεφύλαξε ἀβλαβεῖς ἀπὸ κάθε κακό. Καὶ ὅλοι καὶ ὁ ἴδιος ὁ Βασιλεύς, ἀναγνώρισαν ἐξ αἰτίας ἐκείνων, [τῶν Τριῶν Παίδων], τὸν ἀληθινὸ Θεό. Ἔμειναν κατάπληκτοι [μὲ τὴν στάσι] ἐκείνων ὄχι μόνο οἱ [ἄνθρωποι] στὴ γῆ, ἀλλὰ καὶ οἱ οὐράνιες [ἀγγελικὲς] χορεῖες. Διότι καὶ στὶς ἀνδραγαθίες τῶν Ἁγίων δὲν ἀπουσιάζουν οὔτε οἱ ἐν οὐρανοῖς [Ἄγγελοι], ἀλλὰ εἶναι [παρόντες μαζὶ] μὲ ἐκεί-

νους, ὁ θεῖος Ἀπόστολος ὑποφαίνει· θέατρον γάρ, φησίν, ἐγενήθημεν καὶ Ἀγγέλοις καὶ ἀνθρώποις[246]. Ἔχεις τοιαῦτα καὶ ἐπὶ Ἠλίαν ὁρᾶν; ὃς εἷς ἄνθρωπος ὤν, πρὸς πλείστους ἴσχυσε διὰ τῆς τοῦ οὐρανίου πυρὸς καταγωγῆς[247]. Ἀλλά καὶ Μωϋσῆς ὅλης Αἰγύπτου καὶ Φαραὼ τοῦ τυράννου περιεγένετο[248]. Τοῦτο καὶ ἐπὶ Λώτ[249], τοῦτο καὶ ἐπὶ Νῶε[250], τοῦτο καὶ ἐπὶ πολλῶν ἴδοις ἑτέρων, οἵτινες τῷ φαινομένῳ πολλὴν εὐτέλειαν ὑπερχόμενοι, πολλῶν ἐκράτουν ἐπισήμων καὶ δυνατῶν.

ργ'. Ἑκάστῳ τῶν φαινομένων ἢν μὴ καὶ ἑτέρα τις ξένη φύσις πρὸς βοήθειαν ἐπιγένοιτο, τὸ ὅσον καθ' ἑαυτὸ ἀνέργαστόν ἐστι καὶ ἀκόσμητον. Καὶ γὰρ ἡ τοῦ Θεοῦ ἄφραστος σοφία, μυστήρια καὶ τύπους διὰ τῶν ὁρωμένων δείκνυσιν, ὅτι περ ἡ ἀνθρωπίνη φύσις καθ' ἑαυτὴν οὖσα τὴν ἐντελῆ τῶν ἀρετῶν διακόσμησιν καὶ τὴν πνευματικὴν εὐπρέπειαν τῆς ἁγιω-

νους, [ὅπως] ὁ θεῖος Ἀπόστολος ὑπονοεῖ [λέγοντας]: «Γίναμε θέαμα σὲ Ἀγγέλους καὶ ἀνθρώπους». Θέλεις αὐτὰ νὰ τὰ ἴδῃς καὶ στὸν Προφήτη Ἠλία, ὁ ὁποῖος, ἂν καὶ ἦταν ἕνας [μόνο] ἄνθρωπος, ἀποδείχθηκε ἰσχυρότερος ἀπὸ πλῆθος, ὅταν κατέβασε τὸ πῦρ ἀπὸ τὸν οὐρανό'; Ἀλλὰ καὶ ὁ Μωϋσῆς ὑπερίσχυσε ὅλης τῆς Αἰγύπτου καὶ τοῦ τυράννου Φαραώ. Αὐτὸ θὰ ἰδῇς καὶ μὲ τὸν Λὼτ καὶ τὸν Νῶε καὶ μὲ πολλοὺς ἄλλους, οἱ ὁποῖοι, ἐνῶ ἐξωτερικὰ εἶχαν πολὺ εὐτελῆ ἐμφάνισι, ὑπερίσχυαν ἀπὸ πολλοὺς ἐπισήμους καὶ δυνατούς.

103. Σὲ κάθε ἕνα ἀπὸ τὰ ὁρατὰ πράγματα, ἐὰν δὲν ἔλθῃ κάποια ἄλλη διαφορετικὴ [πρὸς αὐτὸ] φύσι νὰ τὸ βοηθήσῃ, ὅσο [ἐξαρτᾶται] ἀπὸ αὐτὸ τὸ ἴδιο, παραμένει ἀκατέργαστο καὶ ἀδιαμόρφωτο. Καὶ πράγματι, ἡ ἀνεκλάλητη σοφία τοῦ Θεοῦ μᾶς δείχνει, διὰ τῶν ὁρατῶν [πραγμάτων], μυστήρια καὶ τύπους, ὅτι [δηλαδὴ] ἡ ἀνθρώπινη φύσι, ὅπως εἶναι [ἀπὸ μόνη της], δὲν μπορεῖ νὰ παρουσιάσῃ τὸν πλήρη στολισμὸ τῶν ἀρετῶν καὶ τὴν πνευματικὴ εὐπρέπεια τῆς ἁγιότητος, ἐὰν

σύνης, ἐκτὸς εἰμὴ καὶ τῆς θείας ἀπολαύσοι χειρός, ἀδύνατός ἐστιν ἐπιδείξασθαι· οἷον ἡ γῆ καθ᾽ ἑαυτὴν μένουσα, εἰ μὴ μετάσχοι τῆς διὰ τῶν γηπόνων ἐπιμελείας, εἶτα καὶ τὴν ἐκ τῶν ὄμβρων καὶ τοῦ ἡλίου παραδέξηται συνεργείαν, ἀνεπιτήδειός ἐστι καὶ ἥκιστα διαρκὴς πρὸς καρπογονίαν· καὶ οἶκος δὲ πᾶς τοῦ ἡλιακοῦ τοῦδε δεῖται φωτός, ὅπερ οὐκ ἔστι τῆς αὐτῆς ἐκείνῳ φύσεως, ἐπεὶ σκότους ἂν εἴη πεπληρωμένος· καὶ ἕτερα δὲ τούτοις ὁμοίως ἔχοντα ὄψει. Τὸν αὐτὸν οὖν τρόπον καὶ ἡ ἀνθρωπίνη φύσις, ἀδυνάτως καθ᾽ ἑαυτὴν ἔχουσα τοὺς καρποὺς τῶν ἀρετῶν τελείους ἀποδιδόναι, δεῖται τοῦ πνευματικοῦ γηπόνου τῶν ἡμετέρων ψυχῶν, τοὐτέστι τοῦ Πνεύματος τοῦ Χριστοῦ· ὅπερ καὶ αὐτὸ ξένον ἐστὶ τῆς ἡμετέρας ἀτεχνῶς φύσεως· κτίσμα γὰρ ἡμεῖς· τὸ δέ, ἄκτιστον, ἵνα καὶ τῇ ἰδίᾳ τέχνῃ γεωργῆσαν τῶν πιστῶν, φημί, τὰς καρδίας, τὰς ὅλῳ θε-

δὲν δεχθῇ [τὴν βοήθεια ἀπὸ] τὸ χέρι τοῦ Θεοῦ. Ἡ γῆ, γιὰ παράδειγμα, παραμένοντας ὅπως εἶναι, ἐὰν δὲν καλλιεργηθῇ ἀπὸ τοὺς γεωργούς, [καὶ] δεχθῇ κατόπιν καὶ τὴν [τρόπον τινὰ] συνεργασία τῶν βροχῶν καὶ τοῦ ἡλίου, εἶναι ἀκατάλληλη καὶ ἐλάχιστα ἱκανὴ γιὰ καρποφορία. Καὶ τὸ κάθε σπίτι ἔχει ἀνάγκη αὐτοῦ τοῦ ἡλιακοῦ φωτός, τὸ ὁποῖο βέβαια δὲν ἔχει τὴν ἴδια φύσι μὲ αὐτό, ἀφοῦ [χωρὶς τὸν ἥλιο] θὰ ἦταν κατασκότεινο. Καὶ ἄλλα [πολλὰ παραδείγματα] ὅμοια μὲ αὐτὰ [μπορεῖς] νὰ ἰδῇς. Μὲ τὸν ἴδιο τρόπο καὶ ἡ ἀνθρώπινη φύσι, ἐπειδὴ τῆς εἶναι ἀδύνατο νὰ ἀποδώσῃ ἀπὸ μόνη της τελείους τοὺς καρποὺς τῶν ἀρετῶν, ἔχει ἀνάγκη ἀπὸ τὸν πνευματικὸ γεωργὸ τῶν ψυχῶν μας, δηλαδὴ τὸ Πνεῦμα τοῦ Χριστοῦ· τὸ Ὁποῖο καὶ Αὐτὸ εἶναι ἀληθῶς ξένο πρὸς τὴν δική μας φύσι. Διότι ἐμεῖς [εἴμαστε] κτίσμα· Αὐτὸ ὅμως [εἶναι] ἄκτιστο, καὶ μὲ τὴ δική του τέχνη θὰ καλλιεργήσῃ τὶς καρδίες, λέγω, τῶν πιστῶν, [ἐκεῖνες] ποὺ παρέδωσαν τοὺς

λήματι ἑαυτάς τῷ πνευματικῷ γεωργῷ παραδούσας, τελείους τοὺς καρποὺς τοῦ Πνεύματος ἀποδοῦναι παρασκευάσῃ, λάμψῃ τε τὸ ἑαυτοῦ φῶς ἐν τῇ ἐσκοτισμένῃ τοῖς πάθεσιν τῆς ψυχῆς ἡμῶν οἰκίᾳ.

ρδ΄. Διπλοῦς ἐστι τοῖς Χριστιανοῖς ὁ πόλεμος καὶ διπλῆ ἡ πάλη· πρός τε τὰ ὁρώμενα τῷ ὀφθαλμῷ τούτῳ· ὑπερεθίζει γὰρ ταῦτα καὶ διαγαργαλίζει καὶ παρακαλεῖ τὴν ψυχὴν προσπάσχειν αὐτοῖς καὶ συνήδεσθαι· εἶτα καὶ πρὸς τὰς τοῦ δεινοῦ κοσμοκράτορος ἀρχὰς καὶ τὰς ἐξουσίας[251].

ρε΄. Ἡ δόξα Μωσέως ἣν ἐπὶ τοῦ προσώπου εἶχε[252]*, τύπος τῆς ἀληθοῦς δόξης τοῦ Παναγίου Πνεύματος ἦν. Ὃν γὰρ τρόπον ἐκεῖ, πᾶς ὅστις ἀτενίσαι ἤθελεν ἀδύνατος ἦν, οὕτω καὶ νῦν ταύτην τὴν δόξαν τὴν ψυχαῖς Χριστιανῶν ἐπιλάμπουσαν τὸ τῶν παθῶν σκότος οὐχ ὑπομένει, ἀλλ᾽ ὑπὸ τῆς αὐγῆς ταύτης ἀποδιωκόμενον φυγαδεύεται.*

ἑαυτούς των μὲ ὅλη τους τὴν θέλησι στὸν πνευματικὸ Γεωργό, ὥστε νὰ τὶς προετοιμάσῃ νὰ ἀποδώσουν τελείους τοὺς καρπούς τοῦ Πνεύματος, καὶ νὰ λάμψῃ [ἔτσι] τὸ Φῶς Του μέσα στὴν σκοτεινή, ἀπὸ τὰ πάθη, οἰκία τῆς ψυχῆς μας.

104. Διπλὸς εἶναι γιὰ τοὺς Χριστιανοὺς ὁ πόλεμος καὶ διπλὸς ὁ ἀγώνας. [Πρῶτα] πρὸς ἐκεῖνα, τὰ ὁποῖα βλέπομε μὲ αὐτὰ [τὰ σωματικά μας] μάτια· διότι αὐτὰ ἐρεθίζουν καὶ διεγείρουν τὴν ψυχὴ καὶ τὴν προτρέπουν νὰ ἔχῃ σφοδρὴ ἐπιθυμία πρὸς αὐτὰ καὶ νὰ εὐχαριστῆται [μὲ αὐτά]. Κατόπιν [ἔχει πόλεμο] καὶ πρὸς τὶς ἀρχὲς καὶ ἐξουσίες τοῦ φοβεροῦ κοσμοκράτορα [διαβόλου].

105. Ἡ λάμψη, τὴν ὁποία εἶχε τὸ πρόσωπο τοῦ Μωϋσῆ, ἦταν τύπος τῆς ἀληθινῆς δόξας τοῦ Παναγίου Πνεύματος. Διότι, ὅπως τότε κάθε ἕνας, ὁ ὁποῖος ἤθελε νὰ κοιτάξῃ [τὸ πρόσωπο τοῦ Μωϋσῆ], δὲν μποροῦσε, ἔτσι καὶ τώρα, αὐτὴ τὴν λάμψι, ποὺ ἀκτινοβολεῖ στὶς ψυχὲς τῶν Χριστιανῶν, τὸ σκότος τῶν παθῶν δὲν τὴν ἀνέχεται, ἀλλὰ φεύγει διωγμένο ἀπὸ τὴν ἀνταύγειά της.

ρς΄. Τῷ φιλαλήθει καὶ φιλοθέῳ Χριστιανῷ καὶ τῆς τοῦ ἐπουρανίου γλυκύτητος γευσαμένῳ, ἔμφυτόν τε καὶ κεκραμένην ἐν τῇ ψυχῇ κεκτημένῳ τὴν χάριν, καὶ ὅλως ἑαυτὸν τοῖς θελήμασι τῆς χάριτος ἐπιτρέψαντι, πάντα τὰ τοῦ αἰῶνος τοῦδε διὰ μίσους ἐστί. Κρείττων γὰρ οὗτος τῶν τοῦ κόσμου κατέστη πάντων· κἂν χρυσὸν εἴπῃς, κἂν ἄργυρον, κἂν τιμὰς καὶ δόξας, κἂν μακαρισμοὺς καὶ ἐπαίνους, ὑπ᾿ οὐδενὸς ἁλῶναι τῶν τοιούτων δύναται· καθότι πλούτου ἄλλου καὶ τιμῆς ἄλλης, ἑτέρας τε δόξης εἰς πεῖραν ἀφῖκται καὶ ἡδονῇ ἀφθάρτῳ τρέφεται τὴν ψυχὴν καὶ αἴσθησιν ἔχει καὶ πληροφορίαν πᾶσαν διὰ τῆς κοινωνίας τοῦ Πνεύματος.

ρζ΄. Οὗτος, ὁπόση τῷ λογικῷ ποιμένι διαφορὰ πρὸς τὰ ἄλογα θρέμματα, τοσοῦτον ἐν συνέσει τε καὶ γνώσει καὶ διακρίσει, τῶν ἀνθρώπων διαφέρων ἐστί· καὶ γὰρ ἄλλου Πνεύματος

106. Στὸ Χριστιανό, ὁ ὁποῖος ἀγαπᾶ τὴν ἀλήθεια καὶ τὸν Θεό, καὶ γεύθηκε τὴν οὐράνια γλυκύτητα καὶ ἔχει ἀποκτήσει μέσα στὴν ψυχή του ριζωμένη καὶ ἑνωμένη τὴν Χάρι, καὶ παρέδωσε ὅλο τὸν ἑαυτό του στὰ θελήματα τῆς Χάριτος, εἶναι μισητὰ ὅλα [τὰ πράγματα] αὐτοῦ ἐδῶ τοῦ κόσμου. Διότι αὐτὸς ἔγινε ἀνώτερος ἀπὸ ὅλα τὰ [πράγματα] τοῦ κόσμου· καὶ εἴτε ἀναφερθῇς σὲ χρυσό, εἴτε σὲ ἄργυρο, εἴτε σὲ τιμὲς καὶ δόξες, εἴτε σὲ μακαρισμοὺς καὶ ἐπαίνους, κανένα ἀπὸ αὐτὰ δὲν μπορεῖ νὰ τὸν κυριεύσῃ· καθότι [αὐτὸς] ἔφθασε νὰ γευθῇ ἄλλον πλοῦτο καὶ ἄλλη τιμὴ καὶ ἄλλη δόξα καὶ τρέφεται ψυχικὰ μὲ ἄφθαρτη ἡδονή, καὶ [κάθε] αἴσθησι καὶ κάθε πληροφορία [ποὺ] ἔχει, εἶναι ἀπὸ τὴν κοινωνία τοῦ [Ἁγίου] Πνεύματος.

107. Αὐτὸς [ὁ ἄνθρωπος] διαφέρει τόσο πολὺ ἀπὸ τοὺς ἄλλους ἀνθρώπους στὴ σύνεσι καὶ στὴ γνῶσι καὶ στὴ διάκρισι, ὅσο ὁ λογικὸς ποιμένας ἀπὸ τὰ ἄλογα ζῶα [του]. Καὶ [αὐτὸ συμβαίνει], ἐπειδὴ μετέχει σὲ ἄλλο Πνεῦμα καὶ ἄλλο

καὶ ἄλλου νοός, ἄλλης τε συνέσεως καὶ σοφίας παρὰ τὴν τοῦ κόσμου τούτου μετέχει σοφίαν. Σοφίαν γάρ, φησί, λαλοῦμεν ἐν τοῖς τελείοις· σοφίαν δὲ οὐ τοῦ αἰῶνος τούτου, οὐδὲ τῶν ἀρχόντων τοῦ αἰῶνος τούτου τῶν καταργουμένων· ἀλλὰ λαλοῦμεν σοφίαν Θεοῦ ἐν μυστηρίῳ[253]*. Διὰ ταῦτα καὶ πάντων τῶν ἀνθρώπων τὸ τοῦ κόσμου πνεῦμα ἐχόντων, καθάπερ εἴρηται, εἴτε φρονίμων, εἴτε σοφῶν, ὁ τοιόσδε τοῖς ὅλοις διενήνοχε· καὶ πάντας μὲν ἀνθρώπους ἀνακρίνει κατὰ τὸ γεγραμμένον*[254]*, ὁ τοιοῦτος γινώσκει τε πόθεν τε λέγει καὶ ποῦ ἕστηκε καὶ ἐν ποίοις ἐστίν· αὐτὸν δὲ οὐδενὶ τῶν ἐχόντων τὸ τοῦ κόσμου πνεῦμα διαγινώσκειν τε καὶ ἀνακρίνειν δύναμις, ὅτι μὴ ἐκείνῳ, ᾧ τὸ ὅμοιόν ἐστι τῆς θεότητος Πνεῦμα, κατὰ τὸν θεῖον Ἀπόστολον· πνευματικοῖς πνευματικὰ συγκρίνοντες· ψυχικὸς δὲ ἄνθρωπος οὐ δέχεται τὰ*

νοῦ καὶ ἄλλη σύνεσι καὶ σοφία ἀπὸ [αὐτὰ] τοῦ κόσμου. Γιὰ τὴν σοφία βέβαια, λέγει [ὁ Ἀπόστολος Παῦλος], «ὁμιλοῦμε στοὺς τελείους· ὄχι βέβαια γιὰ τὴν σοφία τοῦ κόσμου τούτου, οὔτε γιὰ τὴν σοφία τῶν ἀρχόντων τοῦ κόσμου αὐτοῦ, οἱ ὁποῖοι [μία ἡμέρα] καταργοῦνται, ἀλλὰ ὁμιλοῦμε γιὰ τὴν μυστικὴ σοφία τοῦ Θεοῦ». Γι᾽ αὐτὸ καὶ ὁ ἄνθρωπος αὐτὸς διαφέρει σὲ ὅλα ἀπὸ ὅλους τοὺς ἀνθρώπους, ποὺ ἔχουν τὸ πνεῦμα τοῦ κόσμου, ὅπως ἔχει λεχθῆ, εἴτε [αὐτοὶ εἶναι] φρόνιμοι, εἴτε σοφοὶ [γιὰ τὸν κόσμο]. Καὶ «ὅλους τοὺς ἀνθρώπους ἐξετάζει καὶ κατανοεῖ» ὅπως εἶναι γραμμένο, καὶ αὐτὸς γνωρίζει, ἀπὸ ποῦ ὁμιλεῖ, καὶ ποῦ στηρίζεται, καὶ ἀνάμεσα σὲ ποιοὺς εὑρίσκεται· αὐτὸν ὅμως δὲν εἶναι δυνατὸν σὲ κανέναν ἀπὸ αὐτούς, ποὺ ἔχουν τὸ πνεῦμα τοῦ κόσμου, νὰ [τὸν] κατανοήσουν καὶ νὰ [τὸν] ἐξετάσουν, παρὰ μόνο σὲ ἐκεῖνον, τοῦ ὁποίου [τὸ πνεῦμα] εἶναι ὅμοιον μὲ τὸ Πνεῦμα τῆς Θεότητος, κατὰ τὸν θεῖον Ἀπόστολο: «Συγκρίνουμε τὰ πνευματικὰ πρὸς τὰ πνευματικά. Ὁ φυσικὸς ὅμως ἄνθρω-

τοῦ Πνεύματος τοῦ Θεοῦ, μωρία γὰρ αὐτῷ ἐστί· ὁ δὲ πνευματικὸς ἀνακρίνει μὲν πάντα, αὐτὸς δὲ ὑπ᾿ οὐδενὸς ἀνακρίνεται[255].

ρη΄. Τοῦ Παναγίου δέ φησι τούτου Πνεύματος, ἀμήχανον ἄλλως τυχεῖν, εἰ μὴ πάντων τις τῶν τοῦ αἰῶνος τούτου ξένος γενόμενος, πρὸς τὴν ζήτησιν τῆς τοῦ Χριστοῦ ἀγάπης ἑαυτὸν ἀποτάξειεν· ἵνα πασῶν τῶν κατὰ τὴν ὕλην μεριμνῶν ἀνεθεὶς ὁ νοῦς, περὶ τὸν ἕνα τοῦτον σκοπὸν ἀπασχολῆται μόνον καὶ οὕτω καταξιωθείη μετὰ Χριστοῦ εἰς ἓν Πνεῦμα γενέσθαι, ὥς φησιν ὁ Ἀπόστολος· ὁ κολλώμενος τῷ Κυρίῳ ἔσται εἰς ἓν Πνεῦμα[256]. *Ψυχῇ δὲ τῇ ὅλως τινὶ τῶν τοῦ αἰῶνος τούτου συνδεδεμένῃ καὶ πρὸς αὐτὸ ἐχούσῃ ἐπιρρεπῶς οἷον πλούτῳ, ἢ δόξῃ ἢ φιλίᾳ τῇ κατὰ κόσμον, οὐκ ἔσται δυνατὸν φυγεῖν καὶ διαπεράσαι τὸ σκότος τῶν πονηρῶν δυνάμεων.*

ρθ΄. Αἱ φιλαλήθεις ψυχαὶ

πος δὲν δέχεται [ἐκεῖνα ποὺ διδάσκει] τὸ Πνεῦμα τοῦ Θεοῦ, διότι τοῦ φαίνονται μωρία. Ὁ δὲ πνευματικὸς [ἄνθρωπος] διακρίνει καὶ κατανοεῖ μὲν ὅλα, αὐτὸς δὲ ἀπὸ κανέναν [κοσμικὸ] δὲν εἶναι δυνατὸν νὰ κατανοηθῇ».

108. Εἶναι ἀδύνατο, λέγει [ὁ Ἅγιος], νὰ λάβῃ κανεὶς τὸ Πανάγιο αὐτὸ Πνεῦμα μὲ ἄλλο τρόπο, ἂν δὲν ἀποξενωθῇ ἀπὸ ὅλα [τὰ πράγματα] τοῦ κόσμου τούτου, καὶ δὲν ἀφιερώσῃ τὸν ἑαυτό του εἰς τὴν ἀναζήτησι τῆς ἀγάπης τοῦ Χριστοῦ· ὥστε, ἐγκαταλείποντας ὁ νοῦς ὅλες τὶς ὑλικὲς μέριμνες, νὰ ἀπασχολῆται μόνο μὲ τὸν ἕνα αὐτὸ σκοπὸ καὶ ἔτσι νὰ ἀξιωθῇ νὰ γίνῃ ἕνα Πνεῦμα μὲ τὸν Χριστό, ὅπως λέγει ὁ Ἀπόστολος: «Ὅποιος προσκολλᾶται στὸν Κύριο θὰ γίνῃ ἕνα Πνεῦμα μὲ Αὐτόν». Ἡ ψυχὴ ὅμως, ἡ ὁποία εἶναι δεμένη ἔστω καὶ μὲ κάτι τοῦ κόσμου τούτου, καὶ εἶναι ἐπιρρεπὴς πρὸς αὐτό, ὅπως πλοῦτο, ἢ δόξα, ἢ κοσμικὴ φιλία, δὲν εἶναι δυνατὸν νὰ διαφύγῃ καὶ να περάσῃ [ἀλώβητη] ἀπὸ τὸ σκότος τῶν πονηρῶν δυνάμεων.

109. Οἱ ψυχές, οἱ ὁποῖες ἀγα-

καὶ φιλόθεοι, οὐδὲ τὴν βραχεῖαν ὕφεσιν τοῦ πρὸς τὸν Κύριον ἔρωτος ὑπομένουσιν· ἀλλ᾽ ὅλαι δι᾽ ὅλου τῷ Σταυρῷ τούτου προσηλωμέναι, τὴν τῆς πνευματικῆς προκοπῆς αἴσθησιν ἐν ἑαυταῖς γινομένην ἐπιγινώσκουσι. Τετρωμέναι γοῦν τούτῳ πόθῳ καί, ὡς εἰπεῖν, ἔκπεινοι οὖσαι περὶ τὴν δικαιοσύνην[257] τῶν ἀρετῶν καὶ τὴν τοῦ ἀγαθοῦ Πνεύματος ἔλλαμψιν, κἂν μυστηρίων ἄξιαι θείων, κἂν εὐφροσύνης ἐπουρανίου καὶ χάριτος μέτοχοι γένωνται, οὐ πεποίθασι παρ᾽ ἑαυταῖς, οὐδὲ εἶναί τι οἴονται. Ἀλλ᾽ ὅσῳ χαρισμάτων ἀξιοῦνται πνευματικῶν, τοσούτῳ μᾶλλον ἀπλήστως ἔχουσαι τῶν οὐρανίων φιλοπονώτερον ἐκζητοῦσι· καὶ ὅσῳ πνευματικῆς αἰσθάνονται προκοπῆς, τοσούτῳ δὴ καὶ λιχνότεραι πρὸς τὴν μετάληψιν τούτων γίνονται· καὶ πνευματικῶς πλουτοῦσαι, τό γε παρ᾽ ἑαυταῖς πενομέναις ἐοίκασι, κατὰ

ποῦν τὴν ἀλήθεια καὶ τὸν Θεό, δὲν [μποροῦν νὰ] ὑποφέρουν οὔτε τὴν παραμικρὴ ἐλάττωσι τοῦ ἔρωτά τους πρὸς τὸν Κύριο· ἀλλὰ ὁλόκληρες [καὶ] ὁλοκληρωτικὰ προσηλωμένες στὸν Σταυρὸ Αὐτοῦ, ἀντιλαμβάνονται τὴν αἴσθησι τῆς Πνευματικῆς προκοπῆς, ποὺ γίνεται μέσα τους. Πληγωμένες λοιπὸν ἀπὸ τὸν πόθο Αὐτοῦ, καὶ σὰν νὰ ποῦμε, καταπεινασμένες γιὰ τὴν τελειότητα τῶν ἀρετῶν καὶ τὴν ἔλλαμψι τοῦ Ἀγαθοῦ Πνεύματος, καὶ ἂν ἀκόμη ἀξιωθοῦν νὰ γίνουν μέτοχοι θείων μυστηρίων καὶ οὐράνιας εὐφροσύνης καὶ Χάριτος, δὲν ἔχουν ἐμπιστοσύνη στὸν ἑαυτό τους, οὔτε καὶ νομίζουν, ὅτι εἶναι κάτι [σπουδαῖο]. Ἀλλὰ ὅσο ἀξιώνονται [καὶ λαμβάνουν] πνευματικὰ χαρίσματα, τόσο περισσότερο γίνονται ἀκόρεστες γιὰ τὰ οὐράνια [ἀγαθὰ] καὶ [τὰ] ἐπιζητοῦν μὲ μεγαλύτερη φιλοπονία. Καὶ ὅσο [πιὸ πολὺ] αἰσθάνονται πνευματικὴ προκοπή, τόσο περισσότερο καὶ σφοδρότερα ἐπιθυμοῦν τὴν μετοχή τους σὲ αὐτά. Καὶ ἐνῶ πλουτοῦν πνευματικά, θεωροῦν τοὺς ἑαυτούς τους σὰν νὰ εἶναι πτωχές, σύμφωνα

τὴν θείαν Γραφήν· οἱ τρώγοντές με, φησίν, ἔτι πεινάσουσι καὶ οἱ πίνοντές με, ἔτι διψήσουσιν[258].

ρι΄. Αἱ τοιαῦται ψυχαί, καὶ τῆς τῶν παθῶν ἐλευθερίας παντάπασιν ἀξιοῦνται καὶ τὴν τοῦ θείου Πνεύματος ἔλλαμψίν τε καὶ κοινωνίαν ἐν πληρώματι τῆς χάριτος τελείως κομίζονται. Ὅσαι δὲ ὀκνηραί τε καὶ ἀφερέπονοι καὶ μὴ ζητοῦσαι τὸν τῆς καρδίας ἁγιασμὸν (ἐντεῦθεν, ὡς ἐν σαρκὶ ἔτι τυγχάνουσιν), οὐκ ἐκ μέρους, ἀλλ᾽ ὁλοκλήρως δι᾽ ὑπομονῆς δέξασθαι καὶ μακροθυμίας, μηδὲ κοινωνῆσαι τῷ Παρακλήτῳ Πνεύματι κατὰ πᾶσαν αἴσθησιν καὶ πληροφορίαν ἠλπίκασι καὶ δι᾽ ἐκείνου τῶν παθῶν τῆς κακίας ἀπαλλαγῆναι. Αὗται, κἂν χάριτος θείας ἀξιωθῶσιν, ἀλλ᾽ ὑπὸ τῆς κακίας κλεπτόμεναι, πάσης φροντίδος ἑαυτὰς ἀνῆκαν· ἅτε λαβοῦσαι τὴν χάριν, καὶ τῆς ἐξ αὐτῆς τυγχάνουσαι παρακλήσεως καὶ πνευματικῆς γλυκύτητος

μὲ τὴν θεία Γραφή: «Ὅσοι μὲ τρώγουν, λέγει [ὁ Κύριος], θὰ πεινάσουν περισσότερο, καὶ ὅσοι μὲ πίνουν θὰ διψάσουν περισσότερο».

110. Αὐτὲς οἱ ψυχὲς ἀξιώνονται καὶ τῆς ὁλοκληρωτικῆς ἐλευθερίας ἀπὸ τὰ πάθη καὶ ἀποκομίζουν τελικῶς τὴν ἔλλαμψι καὶ τὴν κοινωνία τοῦ θείου Πνεύματος μέσα στὴν πληρότητα τῆς Χάριτος. Ὅσες, ὅμως, εἶναι ὀκνηρὲς καὶ ἀποφεύγουν τοὺς κόπους, καὶ δὲν ζητοῦν νὰ δεχθοῦν (ἀπὸ αὐτὴν ἐδῶ τὴν ζωή, γιατὶ ἀκόμη ἔχουν σαρκικὸ φρόνημα), τὸν ἁγιασμὸ τῆς καρδίας, ὄχι ἐν μέρει, ἀλλὰ ὁλοκληρωτικά, μὲ ὑπομονὴ καὶ μακροθυμία, [αὐτὲς βεβαίως] οὔτε ἐλπίζουν νὰ κοινωνήσουν μὲ τὸ Παράκλητο Πνεῦμα, μὲ κάθε αἴσθησι καὶ [ἐσωτερικὴ] πληροφορία καὶ μέσῳ Ἐκείνου νὰ ἀπαλλαγοῦν ἀπὸ τὰ πάθη τῆς κακίας. Αὐτὲς καὶ ἂν ἀκόμη ἀξιωθοῦν τῆς θείας Χάριτος, ἐπειδὴ ὅμως κλέπτονται ἀπὸ τὴν κακία, ἐγκαταλείπουν κάθε [πνευματικὴ] φροντίδα· ἐπειδὴ [νομίζουν], ὅτι ἔλαβαν [πιὰ] τὴ [Θεία] Χάρι καὶ ἀξιώνονται παρηγορίας ἀπὸ αὐτή, καὶ ἀπολαμβάνουν πνευματι-

ἀπολαύουσαι· ταύτῃ τοι καὶ ῥᾴδιαί εἰσιν οἰηθῆναι, [addendum: μὴ] συντριβόμεναι τὴν καρδίαν, μηδὲ τῷ φρονήματι ταπεινούμεναι, μηδὲ ἔκδιψοι οὖσαι καὶ πρὸς τὸ τέλειον μέτρον τῆς ἀπαθείας κατατεινόμεναι. Ἐναπομείνασαι δὲ τῇ ὀλίγῃ ταύτῃ τῆς χάριτος παρακλήσει, καὶ εἰς ἔπαρσιν, οὐκ εἰς ταπείνωσιν προκόψασαι μᾶλλον, καὶ οὗ περ ἠξιώθησαν χαρίσματος ἔστιν ὅτε ἀπογυμνοῦνται. Ψυχὴ γάρ, ἡ ἀληθῶς φιλόθεος, ὡς ὁ λόγος ἔφθη δηλώσας, κἂν μυρίας μετέλθῃ δικαιοσύνας, κἂν ἄκραις νηστείαις καὶ ἀγρυπνίαις ἐκτρίψῃ τὸ σῶμα, κἂν χαρισμάτων τοῦ Πνεύματος διαφόρων, ἀποκαλύψεών τε καὶ μυστηρίων ἀξιωθείη, οὕτως ἔχει μετρίως, ὡς μήπω τῆς κατὰ Θεὸν ἀγωγῆς ἠργμένη, μηδὲ κτησαμένη τι τῶν δεξιωτέρων, ἐρωτικῶς καὶ ἀπλήστως πρὸς τὴν κατὰ Χριστὸν θείαν ἀγάπην διακειμένη.

κὴ γλυκύτητα. Σ' αὐτὴ βέβαια [τὴν περίπτωσι], οἱ ψυχὲς εἶναι καὶ εὔκολο νὰ ὑπερηφανευθοῦν, καθὼς [δὲν] ἔχουν τὴν συντριβὴ τῆς καρδίας, οὔτε ταπεινώνονται στὸ φρόνημά τους, οὔτε εὑρίσκονται σὲ μεγάλη [πνευματικὴ] δίψα, [οὔτε] καὶ ἀγωνίζονται νὰ φθάσουν στὸ τέλειο μέτρο τῆς ἀπαθείας. Ἀφοῦ λοιπὸν παρέμειναν σ' αὐτὴ τὴν λίγη παρηγορία ἀπὸ τὴ Θεία Χάρι, καὶ προέκοψαν ὄχι στὴν ταπείνωσι, [ἀλλὰ] μᾶλλον στὴν ἔπαρσι, ἐνίοτε ἀπογυμνώνονται καὶ ἀπὸ τὸ χάρισμα, τὸ ὁποῖο ἀξιώθηκαν [νὰ λάβουν]. Διότι ἡ ψυχή, ἡ ὁποία ἀγαπᾶ ἀληθινὰ τὸν Θεό, ὅπως τὸ φανέρωσε ὁ λόγος ποὺ εἴπαμε, καὶ ἂν ἀκόμη κατορθώσῃ μύριες ἀρετές, καὶ ἂν λιώσῃ τὸ σῶμα μὲ ὑπερβολικὲς νηστεῖες καὶ ἀγρυπνίες καὶ ἂν ἀκόμη ἀξιωθῇ [νὰ λάβῃ] διάφορα χαρίσματα τοῦ [Ἁγίου] Πνεύματος καὶ ἀποκαλύψεις καὶ θεῖα μυστήρια, ἔχει τόση μετριοφροσύνη, ὥστε [θεωρεῖ], ὅτι δὲν ἔχει κἂν ἀρχίσει τὴν κατὰ Θεὸν πολιτεία, οὔτε ἔχει ἀποκτήσει καποιο καλό, ἀλλὰ ἐπιζητᾶ μὲ σφοδρὴ ἐπιθυμία καὶ ἀκόρεστα τὴν θεϊκὴ ἀγάπη τοῦ Χριστοῦ.

ρια΄. Εἰς τὰ μέτρα δὲ ἐφικέσθαι ταῦτα, οὔτε ἀθρόως, οὔτε ῥᾳδίως ἐφικτὸν οὐδενί· ἀλλὰ πολλῶν πόνων καὶ ἀγώνων ἡγησαμένων, χρόνων τε καὶ σπουδῆς, μετὰ δοκιμασίας καὶ πειρασμῶν ποικίλων, ἄχρι καὶ τοῦ τελείου, φημί, τῆς ἀπαθείας μέτρου. Οὕτω γὰρ πρὸς πάντα πόνον καὶ κόπον ἐξετασθεὶς καὶ ὅλους τοὺς πειρασμοὺς τοὺς ὑπὸ τῆς κακίας ἐπαγομένους, εὐψύχως ὑπενεγκών, τότε καὶ τῶν μεγάλων τιμῶν καὶ χαρισμάτων τοῦ Πνεύματος καὶ τοῦ θείου πλούτου καταξιοῦται· εἶτα καὶ κληρονόμος τῆς οὐρανίου γίνεται Βασιλείας.

ριβ΄. Ψυχὴ δὲ ἡ οὐκ ἔχουσα μὲν τὴν εἰρημένην τῆς πολιτείας ἀκρίβειαν, μήπω δὲ τοῦ ἁγιασμοῦ τοῦ ἐν καρδίᾳ τὴν αἴσθησιν δεξαμένη, πενθείτω καὶ ζητείτω παρὰ Κυρίου θερμῶς, ἵνα τοῦ ἀγαθοῦ τούτου καὶ τῆς ἐνεργείας τοῦ Πνεύματος, τῆς ἐν νῷ δι' ἀρρήτων θεωριῶν γινομένης, ἐπιτύχῃ. Ὥσπερ δὲ κατὰ

111. Σὲ αὐτὰ τὰ [πνευματικὰ] μέτρα σὲ κανέναν δὲν εἶναι δυνατὸν νὰ φθάσῃ, οὔτε διὰ μιᾶς, οὔτε εὔκολα· ἀλλὰ [μόνον] ἀφοῦ προηγηθοῦν πολλοὶ κόποι καὶ ἀγῶνες, καὶ χρόνια καὶ ἐπίμονη προσπάθεια, μὲ δοκιμασίες καὶ ποικίλους πειρασμοὺς μέχρι, λέγω, καὶ τὸ τέλειο μέτρο τῆς ἀπαθείας. Ἔτσι, ἀφοῦ δοκιμασθῇ σὲ κάθε πόνο καὶ κόπο, καὶ ἀφοῦ ὑπομείνῃ μὲ γενναιοψυχία ὅλους τοὺς πειρασμούς, ποὺ προξενεῖ ἡ κακία, τότε γίνεται ἄξιος [νὰ λάβῃ] καὶ τὶς μεγάλες τιμὲς καὶ τὰ χαρίσματα τοῦ [Ἁγίου] Πνεύματος καὶ τὸν θεῖο πλοῦτο. Ἔπειτα καὶ κληρονόμος γίνεται τῆς Βασιλείας τῶν Οὐρανῶν.

112. Ἡ ψυχή, ὅμως, ἡ ὁποία δὲν ἔχει μὲν τὴν ἀκρίβεια τῆς ζωῆς ποὺ ἔχομε ἀναφέρει, ἀλλὰ οὔτε [ἀκόμη] δέχθηκε τὴν αἴσθησι τοῦ ἁγιασμοῦ τῆς καρδίας, ἂς πενθῇ καὶ ἂς ζητᾷ θερμὰ ἀπὸ τὸν Κύριο, νὰ ἀποκτήσῃ αὐτὸ τὸ ἀγαθὸ καὶ τὴν ἐνέργεια τοῦ [Ἁγίου] Πνεύματος, ἡ ὁποία ἐκδηλώνεται στὸν νοῦ μὲ ἀνέκφραστες θεωρίες. Ὅπως δέ, σύμφωνα μὲ

τὸν ἐκκλησιαστικὸν νόμον, οἱ σωματικοῖς ἁλόντες ἁμαρτήμασιν, ἀφορίζονται μὲν παρὰ τοῦ Ἱερέως τὸ πρότερον, εἶτα τὴν κατὰ λόγον μετάνοιαν ἐπιδεδεικνυμένοι, καὶ τῆς κοινωνίας καταξιοῦνται· ὅσοι δὲ ἀπτώτως καὶ καθαρῶς βεβιώκασι, προκόπτουσί τε πρὸς Ἱερωσύνην, καὶ ἀπὸ τοῦ ἐξωτέρου τόπου τὴν εἴσω τοῦ Θυσιαστηρίου μετάστασίν τε καὶ τάξιν ἀπολαμβάνουσιν, ἵνα λειτουργοὶ καὶ πάρεδροι τῷ Κυρίῳ διατελῶσιν· οὕτω δὴ σκοπῶμεν καὶ περὶ τῆς μυστικῆς τοῦ Πνεύματος κοινωνίας, περὶ ἧς τῷ Ἀποστόλῳ εἴρηται, ἡ χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ κοινωνία τοῦ Ἁγίου Πνεύματος[259]*· ὄψει σωζομένην ἀκολουθίαν. Ἐνοικεῖ μὲν γὰρ ἡ θεία Τριὰς ἐν τῇ καθαρῶς ἐχούσῃ ψυχῇ, τῆς θείας χρηστότητος συνεφαπτομένης· ἐνοικεῖ*

τοὺς κανόνες τῆς Ἐκκλησίας, ἐκεῖνοι ποὺ ἔπεσαν σὲ σωματικὰ ἁμαρτήματα, πρῶτα ὁ Ἱερέας τοὺς ἀποχωρίζει [ἀπὸ τὴν Θεία Κοινωνία], κατόπιν, ἀφοῦ ἔχουν δείξει τὴν ἀνάλογη μετάνοια, καταξιώνονται καὶ τῆς [θείας] Κοινωνίας· [καὶ ὅπως] ὅσοι ἔχουν ζήσει μὲ καθαρότητα καὶ χωρὶς [αὐτὲς] τὶς πτώσεις, προβιβάζονται καὶ πρὸς τὴν Ἱερωσύνη[ια′], καὶ ἀπὸ τὸν ἔξω τόπο [δηλαδὴ ἀπὸ τὸν κυρίως Ναό, ὅπου εὑρίσκονται οἱ λαϊκοί], ἀπολαμβάνουν τὴν πρὸς τὰ ἐνδότερα τοῦ θυσιαστηρίου μετάθεσι καὶ τάξι, γιὰ νὰ συνεχίσουν [πλέον] ὡς λειτουργοὶ καὶ παρακαθήμενοι μὲ τὸν Κύριο· ἔτσι λοιπὸν νὰ σκεπτώμαστε καὶ γιὰ τὴν μυστικὴ κοινωνία τοῦ [Ἁγίου] Πνεύματος, γιὰ τὴν ὁποία ἔχει λεχθῆ στὸν Ἀπόστολο: «Ἡ Χάρις τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ Πατρὸς καὶ ἡ Κοινωνία τοῦ Ἁγίου Πνεύματος»· θὰ ἰδῇς [τώρα] τὴν σειρὰ ποὺ ἀκολουθεῖται. [Πρῶτα] βεβαίως, ἐνοικεῖ μὲν ἡ Θεία Τριὰς μέσα στὴν ψυχὴ ποὺ ἔχει καθαρότητα, μὲ τὴν συνεργία τῆς θείας ἀγαθότητας· ἐνοικεῖ ὅμως, ὄχι ὅπως [πραγματικὰ] εἶναι, διότι

δὲ οὐ καθ' ὅ ἐστιν, ἀχώρητος γὰρ καὶ αὐτῇ πάσῃ τῇ κτίσει, ἀλλὰ καθ' ὅσον ἂν ἐπιτηδείως ἔχῃ καὶ δεκτικῶς ὁ ἄνθρωπος. Ἐπειδὰν δέ τι παρατραπῇ τῆς τῷ Θεῷ κατὰ γνώμην διαγωγῆς καὶ τὸ θεῖον Πνεῦμα λυπήσειεν, ἐκβάλλεται καὶ ἀφορίζεται τῆς πνευματικῆς εὐφροσύνης ὁ νοῦς· τῆς μὲν θείας χάριτος καὶ τῆς ἀγάπης καὶ πάσης τῆς ἀγαθῆς τοῦ Πνεύματος ἐνεργείας συστελλομένης, ἐκείνου δὲ θλίψεσί τε καὶ πειρασμοῖς καὶ πονηροῖς πνεύμασι παραδιδομένου, μέχρις ἂν πάλιν ὀρθοποδίσειεν ἡ ψυχὴ πρὸς τὴν τοῦ Πνεύματος εὐαρέστησιν· εἶτα διὰ πάσης ἐξομολογήσεώς τε καὶ ταπεινώσεως τὴν μετάνοιαν ἐπιδειξαμένη, τότε καὶ αὖθις τῆς ἐπισκοπῆς ἀξιοῦται τῆς χάριτος καὶ τὴν οὐράνιον εὐφροσύνην, πλέον ἢ κατὰ πρῶτον ἀπολαμβάνει. Εἰ δὲ πρὸς μηδὲν τὸ Πνεῦμα λυπήσειεν, ἀλλ' εἴη ζῶσά τε εὐαρέστως καὶ λογισμοῖς μὲν πᾶσι πονηροῖς ἀντι-

[εἶναι] ἀχώρητη [ἀκόμη] καὶ μέσα σὲ ὅλη τὴν κτίσι, ἀλλὰ ἀνάλογα μὲ τὴν καταλληλότητα καὶ δεκτικότητα ποὺ ἔχει ὁ ἄνθρωπος. Ὅταν ὅμως ὁ ἄνθρωπος αὐτοπροαίρετα ἐκτραπῇ κάπως ἀπὸ τὴν κατὰ Θεὸν διαγωγή του καὶ λυπήσῃ τὸ θεῖον Πνεῦμα, [τότε] ὁ νοῦς ἀπομακρύνεται καὶ ἀποχωρίζεται ἀπὸ τὴν πνευματικὴ εὐφροσύνη. [Καὶ] ἐφόσον ἡ θεία Χάρι καὶ ἡ ἀγάπη καὶ ὅλη ἡ ἀγαθὴ ἐνέργεια τοῦ [Ἁγίου] Πνεύματος συστέλλεται, ἐκεῖνος βεβαίως [ὁ νοῦς] παραδίδεται σὲ θλίψεις καὶ πειρασμοὺς καὶ σὲ πονηρὰ πνεύματα, μέχρις ὅτου πάλι κατορθώσῃ νὰ ὀρθοποδίσῃ ἡ ψυχὴ πρὸς τὴν εὐαρέστησι τοῦ [Ἁγίου] Πνεύματος. Κατόπιν, ἀφοῦ ἐπιδείξῃ τὴν μετάνοια μὲ καθαρὴ ἐξομολόγησι καὶ ταπείνωσι, τότε καὶ πάλι ἀξιώνεται τῆς ἐπισκέψεως τῆς [Θείας] Χάριτος καὶ ἀπολαμβάνει περισσότερο ἀπὸ πρῶτα τὴν οὐράνια εὐφροσύνη. Ἐὰν ὅμως δὲν λυπῇ καθόλου τὸ [Ἅγιο] Πνεῦμα, ἀλλὰ ζῇ εὐάρεστα [στὸν Θεὸ] καὶ ἀντιστέκεται μὲν σὲ ὅλους τοὺς πονηροὺς λογισμούς, παραμένει

ταττομένη, τῷ Κυρίῳ δὲ κολλωμένη διὰ παντός[260]*, ἡ τοιαύτη δικαίως, ἄρα, καὶ ἀκολούθως προκόπτει ψυχὴ καὶ δωρεῶν ἀφάτων ἀξιοῦται, ἀπὸ δόξης τε εἰς δόξαν*[261] *καὶ ἀπὸ ἀναπαύσεως εἰς τελειοτέραν ἀνάπαυσιν μετατίθεται. Εἶτα καὶ εἰς τὸ τέλειον τοῦ Χριστιανισμοῦ μέτρον ἀφικομένη, τοῖς τελείοις ἐργάταις καὶ τοῖς ἀμώμοις τοῦ Χριστοῦ λειτουργοῖς κατὰ τὴν αἰώνιον αὐτοῦ συνταγήσεται Βασιλείαν.*

ριγ′. Τὰ φαινόμενα ταῦτα τύπους οἶον μοι καὶ σκιὰς τῶν κρυφίων εἶναι· τὸν ναὸν τὸν ὁρώμενον τοῦ τῆς καρδίας ναοῦ· τὸν Ἱερέα, τοῦ ἀληθινοῦ Ἱερέως τῆς τοῦ Χριστοῦ χάριτος· καὶ ἐφ᾽ ἑξῆς οὕτως. Ὥσπερ οὖν κατὰ τήνδε τὴν ὁρατὴν ἐκκλησίαν, ἂν μὴ πρότερον αἱ ἀναγνώσεις, αἱ ψαλμῳδίαι τε καὶ ὅση τίς ἐστιν ἀκολουθία τοῦ ἐκκλησιαστικοῦ θεσμοῦ προχωρήσειεν, αὐτὸ τὸ θεῖον Μυστήριον τοῦ σώματός τε καὶ αἵματος τοῦ Χριστοῦ

δὲ προσκολλημένη στὸν Κύριο πάντοτε, τότε δικαίως καὶ κατὰ συνέπεια αὐτὴ ἡ ψυχὴ προκόπτει [πνευματικὰ] καὶ ἀξιώνεται [νὰ λάβῃ] ἀνέκφραστες δωρεὲς [ἀπὸ τὸν Κύριο] καὶ νὰ προχωρῇ ἀπὸ δόξα σὲ δόξα καὶ ἀπὸ ἀνάπαυσι σὲ μεγαλύτερη ἀνάπαυσι. Ἔπειτα καὶ ἀφοῦ φθάσῃ στὴν τελειότητα τοῦ Χριστιανισμοῦ, θὰ συγκαταριθμηθῇ μὲ τοὺς τελείους ἐργάτες καὶ τοὺς ἀμέμπτους λειτουργοὺς τοῦ Χριστοῦ, εἰς τὴν αἰώνιον Αὐτοῦ Βασιλεία.

113. Αὐτὰ τὰ ὁρατά, φρονῶ, ὅτι εἶναι τύποι καὶ σκιὲς τῶν ἀφανῶν· τὸν ναό, ποὺ βλέπουμε, [τύπο] τοῦ ναοῦ τῆς καρδίας· τὸν Ἱερέα, [τύπο] τοῦ ἀληθινοῦ Ἱερέα τῆς Χάριτος τοῦ Χριστοῦ· καὶ παρομοίως [ὅλα] τὰ ὑπόλοιπα. Ὅπως ἀκριβῶς λοιπὸν σὲ αὐτὴ τὴν ὁρατὴ Ἐκκλησία, ἂν δὲν προχωρήσουν [κατὰ σειρὰ] πρῶτα τὰ ἀναγνώσματα καὶ οἱ ψαλμωδίες καὶ ὅλη ἡ ἀκολουθία, σύμφωνα μὲ τὴν ἐκκλησιαστικὴ τάξι, δὲν μπορεῖ νὰ ἀκολουθήσῃ ἡ τέλεσις αὐτοῦ τοῦ θείου Μυστηρίου [τῆς μεταβολῆς] τοῦ Σώματος καὶ Αἵματος τοῦ Χριστοῦ ἀπὸ τὸν Ἱερέα. Ἐπίσης ἀκόμη κι ἂν

τὸν Ἱερέα ἐπιτελεῖν οὐκ ἀκόλουθον· εἶτα κἂν πᾶς μὲν ὁ ἐκκλησιαστικὸς κανὼν ἐπιτελεσθείη, ἡ μυστικὴ δὲ τῆς προσφορᾶς ὑπὸ τοῦ Ἱερέως εὐχαριστία καὶ ἡ κοινωνία τοῦ σώματος τοῦ Χριστοῦ μὴ γένηται, οὔτε ὁ ἐκκλησιαστικὸς ἐτελεσιουργήθη θεσμὸς καὶ ἐλλιπής ἐστιν ἡ λατρεία τοῦ Μυστηρίου, οὕτω μοι καὶ τὰ τοῦ Χριστιανοῦ νόει· ἂν γὰρ νηστείαν μὲν καὶ ἀγρυπνίαν καὶ ψαλμῳδίαν, ὅλην τε ἄσκησιν καὶ ἀρετὴν πᾶσαν κατορθωκὼς εἴη, ἡ μυστικὴ δὲ τοῦ Πνεύματος ἐνέργεια τῷ θυσιαστηρίῳ τῆς αὐτοῦ καρδίας ὑπὸ τῆς χάριτος κατ᾽ αἴσθησιν πᾶσαν καὶ πνευματικὴν ἀνάπαυσιν μὴ ἐπιτελεῖτο, ἀτελὴς ἡ τοιάδε πᾶσα τῆς ἀσκήσεως ἀκολουθία καὶ σχεδὸν ἀργή, οὐκ ἔχουσα τὴν τοῦ Πνεύματος ἀγαλλίασιν μυστικῶς ἐν τῇ καρδίᾳ ἐνεργουμένην.

ριδ΄. Καλὸν ἡ νηστεία, καλὸν ἡ ἀγρυπνία, καλὸν ὁμοίως ἡ ἄσκησις καὶ ἡ ἐπὶ ξένης διαγωγή. Ἀλλὰ ταῦτα πάντως, ἀρχὴ

τηρηθῇ ὅλος ὁ ἐκκλησιαστικὸς κανόνας [Τυπικό], δὲν γίνῃ ὅμως ἀπὸ τὸν Ἱερέα ἡ μυστικὴ εὐχαριστιακὴ προσφορὰ καὶ ἡ κοινωνία τοῦ Σώματος [καὶ Αἵματος] τοῦ Χριστοῦ, [τότε] οὔτε ἡ ἐκκλησιαστικὴ τάξι ολοκληρώθηκε, καὶ ἡ Μυστηριακὴ Λατρεία εἶναι ἐλλιπής[ιβ΄]. Ἔτσι λοιπόν, θεωρῶ [ὅτι συμβαίνει] καὶ μὲ τὸν [πνευματικὸ ἀγῶνα] τοῦ Χριστιανοῦ. Διότι ἂν μὲν ἔχῃ κατορθώσει τὴν νηστεία καὶ τὴν ἀγρυπνία καὶ τὴν [καθ᾽ ἡμέραν] ἀκολουθία καὶ ὅλη τὴν ἄσκησι καὶ τὴν ἀρετή, ἀλλὰ ἡ μυστικὴ ἐνέργεια τοῦ [Ἁγίου] Πνεύματος δὲν ἐπιτελεῖται στὸ θυσιαστήριο τῆς καρδίας του μὲ πλήρη συναίσθησι καὶ πνευματικὴ ἀνάπαυσι, [τότε εἶναι] ἀτελὴς καὶ σχεδὸν ἀνενέργητη ὅλη αὐτὴ ἡ ἀσκητική του ἀκολουθία, ἐπειδὴ δὲν ἔχει τὴν ἀγαλλίασι τοῦ [Ἁγίου] Πνεύματος νὰ ἐνεργῇ μὲ μυστικὸ τρόπο μέσα στὴν καρδία του.

114. Καλὴ [εἶναι] ἡ νηστεία, καλὴ ἡ ἀγρυπνία, καλὴ παρομοίως εἶναι ἡ ἄσκησι καὶ ἡ ξενιτεία. Ἀλλὰ αὐτά, βέβαια, εἶναι κάποια ἀρχὴ καὶ προοί-

τίς ἐστι καὶ προοίμια πολιτείας θεοφιλοῦς· ὥστε ἀλόγιστον ἀτεχνῶς τὸ ἁπλῶς τοῖς τοιούτοις ἐπιθαῤῥεῖν. Ἔστι γὰρ ὅτε καὶ χάριτός τινος ἐν μετοχῇ καθιστάμεθα, καὶ ἡ κακία ἔνδον ὑποκαθημένη, καθάπερ ἐν τοῖς ἄνω λέλεκται, σοφίζεται καὶ ὑποχωρεῖ ἑκοῦσα καὶ οὐ πράττει τὰ ἑαυτῆς· ἀλλὰ ποιεῖ νομίσαι τὸν ἄνθρωπον, ὅτι διακεκάθαρται τὸν νοῦν· καὶ τὸ λοιπὸν ἐξάγει πρὸς οἴησιν τελειότητος· εἶτα λῃστρικῶς ἐπιτίθεται καὶ ἄχρι τῶν κατωτάτων τῆς γῆς καταφέρει. Εἰ γὰρ ἄνθρωποι πολλάκις εἴκοσιν ἔτη γενόμενοι λῃσταί τινες ἢ στρατιῶται τὸ ἐπιτήδευμα, μηχανάς τε κατὰ τῶν πολεμίων ἐπίστανται, ὑποκάθηνταί τε καὶ ἐνέδρας ἐπινοοῦσι καὶ τὰ τῶν ἐχθρῶν λαμβάνουσι νῶτα καὶ κτείνουσιν ἀνελπίστως περιβαλόντες, πόσῳ γε μᾶλλον ἡ κακία τοσαύτας χιλιάδας ἐτῶν

μια τῆς θεάρεστης πολιτείας· ὥστε ἀληθῶς εἶναι παράλογο νὰ ἔχῃ κανεὶς ὅλη τὴν ἐλπίδα του [μόνο] σὲ αὐτά. Διότι μερικὲς φορές, καὶ στὴ [Θεία] Χάρι γινόμαστε μέτοχοι σὲ κάποιο βαθμό, καὶ ἡ κακία, ἡ ὁποία εἶναι κρυμμένη μέσα μας, ὅπως ἀκριβῶς ἔχει λεχθῆ πιὸ πάνω, ἐπινοεῖ τεχνάσματα πρὸς ἐξαπάτησί [μας] καὶ ὑποχωρεῖ θεληματικὰ καὶ δὲν ἐνεργεῖ τὰ δικά της· ἀλλὰ κάνει τὸν ἄνθρωπο νὰ νομίσῃ, ὅτι ἔχει καθαρθῆ ὁ νοῦς του· καὶ στὴν συνέχεια τὸν ὁδηγεῖ στὴν ἔπαρσι γιὰ τὴν [δῆθεν] τελειότητά του· κατόπιν τοῦ ἐπιτίθεται μὲ ληστρικὸ τρόπο καὶ τὸν ρίχνει στὰ κατώτατα βάθη τῆς κακίας. Διότι ἐὰν [ὑπάρχουν] ἄνθρωποι, οἱ ὁποῖοι πολλὲς φορὲς γιὰ εἴκοσι χρόνια εἶναι ληστὲς ἢ ἀσκοῦν τὸ ἐπάγγελμα τοῦ στρατιώτου [καὶ] γνωρίζουν καλὰ τὶς πολεμικὲς μηχανὲς κατὰ τῶν ἀντιπάλων, καὶ κρύβονται καὶ ἐπινοοῦν ἐνέδρες καὶ καταλαμβάνουν τὰ νῶτα τῶν ἐχθρῶν, καὶ ἀφοῦ τοὺς κυκλώσουν, τοὺς φονεύουν αἰφνιδιαστικά, πόσο βέβαια περισσότερο ἡ κακία, ἡ ὁποία ἔχει ἡλικία τόσων χιλιάδων

γεγενημένη καὶ τοῦτο ἔργον ἑαυτῆς τιθεμένη τὸ σπουδαιότατον, τὸ ἀπολλύειν ψυχάς, ἐνέδρας εἶδε τοιαύτας ἐν ἀποκρύφῳ τῆς καρδίας ἐπινοεῖν καὶ κατὰ καιροὺς ἀτρεμεῖν ἐπίτηδες καὶ μὴ ἐνεργεῖν, ὥστε τὴν ψυχὴν ἑλκύσαι πρὸς οἴησιν τελειότητος. Ὁ μέντοι θεμέλιος τοῦ Χριστιανισμοῦ, κἂν πάσας τις μετέλθῃ δικαιοσύνας, μὴ ἐπαναπαύεσθαι ταύταις, μηδὲ ἐπιθαῤῥεῖν, μηδὲ μέγα τι πεποιηκέναι λογίζεσθαι· κἂν μέτοχος χάριτος καταστῇ, μὴ νομίσαι κατειληφέναι τι, μηδὲ κατακόρως ἔχειν· ἀλλὰ πεινᾶν τότε καὶ διψᾶν μᾶλλον, πενθεῖν τε καὶ κλαίειν καὶ συντετριμμένην ὅλως τὴν καρδίαν ἔχειν.

ριε΄. Νόει μοι τὴν πνευματικὴν κατάστασιν οὕτως ἔχειν· ὑπόθου τινὰ εἶναι βασιλικὸν οἶκον· τούτῳ δὲ αὐλὰς ὑπεῖναι διαφόρους καὶ πρόθυρά τινα καὶ οἰκίας ἄλλας ἐξωτέρας καὶ οὕτω πάλιν κατὰ τὸ ἀκό-

χρόνων, καὶ ἔχει ὁρίσει ὡς σπουδαιότερο ἔργο της αὐτό, τὸ νὰ ὁδηγῇ ψυχὲς στὴν ἀπώλεια, γνωρίζει νὰ ἐπινοῇ τέτοιες ἐνέδρες στὰ ἀπόκρυφα τῆς καρδίας καὶ κατὰ καιροὺς νὰ μένῃ ἐπίτηδες ἀκίνητη καὶ νὰ μὴν ἐνεργῇ, ὥστε νὰ παρασύρῃ τὴν ψυχὴ στὴν ἔπαρσι [ὅτι δῆθεν ἔχει φθάσει] στὴν τελειότητα. Ὁ θεμέλιος λοιπὸν [λίθος] τοῦ Χριστιανισμοῦ, ἀκόμη καὶ ἂν κανεὶς κατορθώσῃ ὅλες τὶς ἀρετές, [εἶναι] νὰ μὴν ἐπαναπαύεται σ᾽ αὐτές, οὔτε νὰ παίρνῃ θάρρος, οὔτε νὰ νομίζῃ, ὅτι ἔχει κάνει κάτι τὸ σπουδαῖο. Καὶ ἂν ἀκόμη γίνῃ μέτοχος [Θείας] Χάριτος, νὰ μὴν θεωρῇ ὅτι ἐπέτυχε κάτι, οὔτε νὰ νοιώθῃ πληρότητα· ἀλλὰ ἀκόμη περισσότερο τότε νὰ πεινᾷ καὶ νὰ διψᾷ [τὴν Χάρι], καὶ νὰ πενθῇ καὶ νὰ κλαίῃ καὶ νὰ ἔχῃ τὴν καρδία του ὁλοκληρωτικὰ συντετριμμένη.

115. Σκέπτομαι, ὅτι ἡ πνευματικὴ κατάστασι ἔχει [κάπως] ἔτσι: ὑπόθεσε, ὅτι ὑπάρχει κάποιο βασιλικὸ παλάτι. Σὲ αὐτὸ βέβαια ὑπάγονται διάφορες αὐλὲς καὶ κάποια προαύλια καὶ ἄλλες ἐξωτερικὲς οἰκίες, καὶ ἄλλες πάλι ἐν συνεχείᾳ

λουθον ἐνδοτέρας, ἐν αἷς τὴν πορφύραν καὶ τοὺς θησαυροὺς εἰκὸς ἀποκεῖσθαι· εἶτα καὶ τὴν τούτων αὖθις ἐσωτέραν, ὅπου τὴν βασιλικὴν εἶναι διαγωγὴν ἐπιτήδειον. Ὥσπερ οὖν εἴ τις εἰς τὰς ἐξωτέρας αὐλάς τε καὶ μονὰς ἀπαντήσας, εἰ δόξει τοὺς ἔνδον οἴκους κατειληφέναι, πεπλάνηται· οὕτω δὴ καὶ κατὰ τὸ πνευματικὸν ἀκολούθως, οἱ πρὸς γαστέρα καὶ ὕπνον διαμαχόμενοι, ψαλμοῖς τε καὶ εὐχαῖς διηνεκῶς προσκείμενοι, μὴ νομιζέτωσαν ἤδη τοῦ τέλους καὶ τῆς καταπαύσεως ἐπιβῆναί ποθεν. Ἔτι γὰρ αὐτοῖς περὶ τὰ πρόθυρα καὶ τὰς αὐλὰς ἡ ἀναστροφή, οὐχ ὅπου δὲ ἡ πορφύρα καὶ οἱ θησαυροὶ ἀπόκεινται οἱ βασιλικοί, ὑπάρχει. Κἂν χάριτός τινος πνευματικῆς ἠξιώθησαν, μηδὲ τοῦτο πάλιν αὐτοὺς ἀπατάτω τοῦ τέλους ἐπιτυχεῖν. Ἐρευνᾶν οὖν προσῆκεν, εἰ εὗρεν ἐν τῷ ὀστρακίνῳ τούτῳ σκεύει τὸν θησαυρόν[262],

ἐσωτερικές, μέσα στὶς ὁποῖες, ὅπως εἶναι φυσικό, θὰ φυλάσσωνται ἡ [βασιλικὴ] πορφύρα καὶ οἱ θησαυροί· κατόπιν πάλι [εὑρίσκεται] καὶ ἡ ἀκόμη πιὸ ἐσωτερικὴ [οἰκία], ἡ ὁποία εἶναι κατάλληλη γιὰ τὴν βασιλικὴ διαμονή. Ὅπως, λοιπόν, ἐὰν κάποιος, ἐπειδὴ εἰσῆλθε στὶς ἐξωτερικὲς αὐλὲς καὶ οἰκίες, νομίσῃ ὅτι ἔφθασε καὶ στὰ ἐνδότερα διαμερίσματα, ἔχει πλανηθῆ· ἔτσι ἀκολούθως καὶ στὸν πνευματικὸ [ἀγῶνα], ἐκεῖνοι ποὺ ἀσχολοῦνται διαρκῶς μὲ ψαλμοὺς καὶ προσευχές, [ἐνῶ] πολεμοῦν ἐναντίον τῆς γαστέρας καὶ τοῦ ὕπνου, ἂς μὴν νομίζουν, ὅτι ὑπάρχει περίπτωσι νὰ ἔχουν ἤδη φθάσει στὸ τέλος [τῶν ἀγώνων] καὶ στὴν ἀνάπαυσι. Διότι, εὑρίσκονται ἀκόμη στὰ προαύλια καὶ στὶς αὐλὲς καὶ ὄχι ἐκεῖ ὅπου φυλάσσονται ἡ πορφύρα καὶ οἱ βασιλικοὶ θησαυροί. Καὶ ἂν ἀκόμη ἀξιώθηκαν [νὰ λάβουν] κάποια πνευματικὴ χάρι, οὔτε πάλι αὐτὸ νὰ τοὺς ἐξαπατᾷ, ὅτι ἐπέτυχαν τὸ τέλος [τοῦ ἀγῶνος]. Πρέπει, λοιπόν, νὰ ἐρευνᾷ [κανείς], ἐὰν βρῆκε «στὸ πήλινο τοῦτο σκεῦος τὸν θησαυρόν», ἐὰν ἐφόρε-

εἰ ἐνεδύσατο τοῦ Πνεύματος τὴν πορφύραν, εἰ τὸν βασιλέα εἶδε καὶ ἀνεπαύσατο. Καὶ γὰρ οἷον μοι πάλιν τὴν μὲν ψυχήν βάθος τι ἔχειν καὶ μέλη πολλά· τὴν δὲ ἁμαρτίαν, ὑπεισελθοῦσαν, τὰ μέλη πάντα καὶ τὰ νοήματα τῆς καρδίας καταλαβεῖν· εἶτα, ἐπιζητήσαντος τοῦ ἀνθρώπου τοῦ πνεύματος τὴν χάριν ἐλθεῖν καὶ δύω τυχὸν τῆς ψυχῆς μέρη περιλαβεῖν· τὸν οὖν ἀπείρως ἔχοντα, πρὸς τῆς χάριτος ταύτης παρακαλούμενον, δόκησις ἔχει πάντα τὰ μέλη τῆς ψυχῆς κατειλῆφθαι καὶ τὴν ἁμαρτίαν ὅλως ἐξεῤῥιζῶσθαι, μὴ εἰδότα, ὅτι τὸ πλεῖστον μέρος αὐτῆς ἔτι κατάσχετον ὑπ᾽ ἐκείνης ἐστίν. Ἐνὸν γάρ, ὡς πολλάκις δεδήλωται, καὶ τὴν χάριν ἀδιαλείπτως ἐνεργεῖν, ὃν τρόπον ὀφθαλμὸν ἐν τῷ σώματι, καὶ συνεῖναι τὴν κακίαν ὁμοίως ὑποκλέπτουσαν τὴν διάνοιαν. Ὁ τοίνυν μὴ διακρίνειν εἰδώς, ὡς μέγα

σε τὴν πορφύρα τοῦ [Ἁγίου] Πνεύματος, ἐὰν εἶδε τὸν Βασιλέα καὶ ἀναπαύθηκε. Καὶ πάλι, λοιπόν, θεωρῶ, ὅτι ἡ μὲν ψυχὴ ἔχει κάποιο βάθος καὶ πολλά μέλη. Ἡ δὲ ἁμαρτία, ἀφοῦ εἰσχώρησε μέσα στὴν καρδία, [κατάφερε] νὰ κατακτήσῃ ὅλα τὰ μέλη καὶ τὰ νοήματά της. Κατόπιν, ἀφοῦ ὁ ἄνθρωπος ἐζήτησε τὴν Χάρι τοῦ [Ἁγίου] Πνεύματος καὶ [αὐτὴ] ἦλθε [καὶ] κετέλαβε, γιὰ παράδειγμα, δύο μέρη τῆς ψυχῆς. Ἐκεῖνος ποὺ εἶναι, βεβαίως, ἄπειρος [στὰ πνευματικά], ἐπειδὴ ἔχει δεχθῆ τὴν παράκλησι τῆς [Θείας] Χάριτος, νομίζει, ὅτι ὅλα τὰ μέλη τῆς ψυχῆς του ἔχουν καταληφθῆ [ἀπὸ τὴν Θεία Χάρι] καὶ [ὅτι] ξεριζώθηκε ὁλοκληρωτικὰ ἡ ἁμαρτία, χωρὶς νὰ γνωρίζῃ, ὅτι τὸ μεγαλύτερο μέρος αὐτῆς κατέχεται ἀκόμη ἀπὸ ἐκείνη. Διότι εἶναι δυνατόν, ὅπως πολλὲς φορὲς ἔχει ἀναφερθῆ, καὶ ἡ [Θεία] Χάρι νὰ ἐνεργῇ [μέσα μας] ἀκατάπαυστα, ὅπως τὸ μάτι στὸ σῶμα, καὶ ἡ κακία ὁμοίως νὰ συνυπάρχῃ καὶ νὰ κλέπτῃ κρυφὰ τὴν διάνοια. Ἐκεῖνος, λοιπόν, ποὺ δὲν γνωρίζει νὰ διακρίνῃ, ἤδη ἔχει μεγάλη ἰδέα


τι κατειληφώς, ἤδη μέγα τι περὶ ἑαυτοῦ οἴεται, καὶ ὡς τὴν ἐσχάτην κάθαρσιν ἐσχηκὼς τετύφωται· ἔχειν δὲ καὶ τὴν ἀλήθειαν συνηγοροῦσαν αὐτῷ, πολλοῦ γε καὶ δεῖ. Ὡς γὰρ ὁ λόγος φθάσας ἐδήλωσε, ὅτι τέχνη τῷ σατανᾷ καὶ αὐτή, κατά τινας χρόνους ἑκόντα παραχωρεῖν καὶ τὰ εἰωθότα μὴ ἐνεργεῖν, κατὰ σκοπὸν πάντως, τοῦ οἴησιν τῆς τελειότητος τοῖς ἀσκουμένοις ὑποβαλεῖν. Ἀλλὰ μὴ ὁ φυτεύων ἀμπελῶνα, παραπόδας λαμβάνει καὶ τὸν καρπόν, ἢ ὁ σπείρων τὰ σπέρματα ἐν τῇ γῇ, καὶ τὴν συγκομιδὴν εὐθὺς ἐποιήσατο; Τί δέ; Τὸ ἀρτιγενὲς παιδίον ἥψατο παραχρῆμα τῆς τελειότητος; Ἀπόβλεψον εἰς τὸν Ἰησοῦν· ἐκ ποίας δόξης Υἱὸς Θεοῦ καὶ Θεὸς ὢν ὁ Χριστός, εἰς οἷα πάθη καὶ ἀτιμίαν καὶ σταυρὸν κατέβη καὶ θάνατον· καὶ πάλιν, ὅπως διὰ ταύτην αὐτοῦ τὴν ταπείνωσιν ὑπερήρθη καὶ ἐν δεξιᾷ τοῦ Πατρὸς ἐκά-

γιὰ τὸν ἑαυτό του, σὰν νὰ κατώρθωσε κάτι πολὺ σπουδαῖο, καὶ [ἔχει σκοτισθῆ] ἀπὸ ἀλαζονεία, ὅτι ἔχει ἐντελῶς καθαρθῆ· καί, βεβαίως, ἀπέχει πολὺ ἀπὸ τὸ νὰ ἔχῃ καὶ τὴν ἀλήθεια νὰ συνηγορῇ ὑπὲρ αὐτοῦ. Ὅπως λοιπὸν ἔφθασε ὁ λόγος, [μᾶς] κατέδειξε, ὅτι [εἶναι] τέχνη τοῦ σατανᾶ καὶ αὐτή, νὰ ὑποχωρῇ [δηλαδὴ] θεληματικὰ γιὰ μερικὰ χρόνια καὶ νὰ μὴν κάνῃ τὶς συνήθεις [σὲ αὐτὸν] ἐνέργειες, μὲ σκοπὸ πάντοτε, νὰ ὑποβάλῃ σὲ αὐτούς, οἱ ὁποῖοι ἀσκοῦνται [στὴν ἀρετή], τὴν ἔπαρσι τῆς [νομιζομένης] τελειότητος. Ἀλλά, μήπως ἐκεῖνος, ὁ ὁποῖος φυτεύει τὸ ἀμπέλι, λαμβάνει πάραυτα καὶ τὸν καρπό, ἢ ἐκεῖνος, ὁ ὁποῖος σπέρνει τοὺς σπόρους στὴν γῆ, κάνει ἀμέσως καὶ τὴν συγκομιδή; Τί λοιπόν; [Μήπως] τὸ νεογέννητο βρέφος φθάνει ἀμέσως τὴν τελειότητα [του ἀνδρός]; Παρατήρησε [μὲ θαυμασμὸ] τὸν Ἰησοῦ· ἀπὸ ποιὰ δόξα, ἐνῶ εἶναι Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς ὁ Χριστός, σὲ [πόσα] καὶ ποιὰ πάθη καὶ ἀτιμία καὶ σταυρὸ καὶ θάνατο κατέβηκε. Καὶ πάλι, πῶς γι᾽ αὐτή Του τὴν ταπείνωσι ὑπερυψώθηκε καὶ «ἐκάθισε ἐν δεξιᾷ τοῦ Πα-

θισεν[263]*. Ὁ δέ γε πονηρὸς ὄφις, ἐκ πρώτης τῷ Ἀδὰμ ὑποσπείρας θεότητος ἐπιθυμίαν*[264]*, εἰς οἵαν αὐτὸν κατήγαγεν ἀτιμίαν, διὰ ταύτης δὴ τῆς οἰήσεως. Ταῦτα τοίνυν αὐτὸς ἐννοῶν, ἀσφάλιζε σεαυτόν, ὅση δύναμις, καὶ σπούδαζε ταπεινὴν ἀεὶ τὴν καρδίαν καὶ συντετριμμένην ἔχειν*[265]*.*

τρός». Ὁ πονηρὸς ὅμως ὄφις, ἀφοῦ ἔσπειρε ἀρχικὰ μέσα στὸν Ἀδάμ, «τὴν ἐπιθυμία τῆς θεώσεως», σὲ ποιὰ ἀτιμία [κατόπιν] τὸν κατέβασε, μέσῳ αὐτῆς ἀκριβῶς τῆς ὑπερηφανίας. Αὐτὰ λοιπὸν καὶ ἐσὺ ἔχοντας κατὰ νοῦν, ἀσφάλιζε τὸν ἑαυτό σου μὲ ὅση δύναμι [διαθέτεις], καὶ φρόντιζε ἐπιμελῶς νὰ ἔχῃς πάντοτε τὴν καρδία σου ταπεινὴ καὶ συντετριμμένη.





ΛΟΓΟΣ ς΄

ΠΕΡΙ ΕΛΕΥΘΕΡΙΑΣ ΤΟΥ ΝΟΟΣ

ρις΄. Ὅταν ἀκούσῃς, ὅτι περ κατελθὼν ὁ Χριστὸς εἰς ᾅδου, τὰς κατόχους ἐκεῖ ψυχὰς ἐνερρύσατο, μὴ μακρὰν εἶναι ταῦτα καὶ τῶν νῦν τελουμένων νόμιζε. Οἷον μοι γὰρ μνημεῖον εἶναι τὴν καρδίαν, κἀκεῖ τοὺς λογισμοὺς καὶ τὸν νοῦν κατωρύχθαι βαρεῖ σκότει κατειλημμένους· ἔρχεται τοιγαροῦν ὁ Κύριος εἰς τὰς ἐν ᾅδου ἐπιβοωμένας αὐτὸν ψυχάς, εἰς τὸ βάθος δηλαδὴ τῆς καρδίας, κἀκεῖ τῷ θανάτῳ ἐγκελευόμενος, ἀνάπεμπε, λέγει, τὰς ἐγκεκλεισμένας ψυχάς, τὰς ἐμὲ τὸν ῥύσασθαι δυνάμενον ἐκζητούσας. Εἶτα τὸν βαρὺν λίθον διάρας, τὸν τῇ ψυχῇ ἐπικείμενον, τόν τε τάφον ἀνοίγει καὶ τὸν ἐν ἀληθείᾳ νεκρὸν ἀνιστᾷ καὶ τῆς ἀφεγγοῦς φυλακῆς τὴν ἐγκεκλεισμένην ψυχὴν ἀπαλλάττει.

116. Ὅταν ἀκούσῃς, ὅτι ἀφοῦ κατέβηκε ὁ Χριστός στὸν Ἅδη, ἐλευθέρωσε τὶς ψυχές, οἱ ὁποῖες ἦταν δέσμιες ἐκεῖ, μὴ νομίσῃς ὅτι αὐτὰ εἶναι μακρυὰ ἀπὸ ὅσα γίνονται καὶ τώρα. Διότι θεωρῶ, ὅτι ἡ καρδία εἶναι [ἕνα] μνῆμα, καὶ ἐκεῖ ἔχουν ἐνταφιασθῇ οἱ λογισμοὶ καὶ ὁ νοῦς, οἱ ὁποῖοι ἔχουν καταλειφθῇ ἀπὸ βαρὺ σκοτάδι. Ἔρχεται λοιπὸν ὁ Κύριος στὶς ψυχές, ποὺ Τὸν ἐπικαλοῦνται, [καὶ οἱ ὁποῖες] εὑρίσκονται στὸν Ἅδη, δηλαδὴ στὸ βάθος τῆς καρδίας, καὶ ἐκεῖ διατάζοντας τὸν θάνατο [τοῦ] λέγει: «στεῖλε πίσω τὶς ψυχὲς ποὺ ζητοῦν Ἐμένα, ποὺ εἶμαι ὁ [Μόνος] ποὺ μπορῶ νὰ τὶς σώσω». Κατόπιν, ἀφοῦ σηκώσῃ τὴν βαρειὰ πέτρα, ἡ ὁποία βρίσκεται ἐπάνω στὴν ψυχή, καὶ τὸν τάφο ἀνοίγει, καὶ ἀνασταίνει τὸν ἀληθινὰ νεκρὸ καὶ ἐλευθερώνει τὴν φυλακισμένη ψυχὴ ἀπὸ τὴν σκοτεινὴ φυλακή.

ριζ΄. Συμβαίνει, φησί, πολλάκις διαλέγεσθαί σοι κατὰ ἐπιβολὴν ἐν τῇ καρδίᾳ τὸν σατανᾶν, καὶ σύνες ὅσα σοι εἴργασται πονηρά, λέγειν· ἀναπέπλησταί σοι ἀνομιῶν ἡ ψυχή, βεβάρησαι πολλαῖς καὶ χαλεπωτάταις ἁμαρτίαις. Μὴ λανθανέτω γοῦν σε τοῦτο ποιῶν καὶ προσχήματι ταπεινώσεως εἰς ἀπόγνωσιν συνωθῶν· ἀφ᾽ οὗ γὰρ διὰ τῆς παραβάσεως εἰσέφρησεν ἡ κακία, πάροδον ἔσχε διαλέγεσθαι καθεκάστην τρόπον τινὰ τῇ ψυχῇ, ὡς ἄνθρωπός τις ἀνθρώπῳ, καὶ ὑποτιθέναι τὰ ἄτοπα. Ἀπόκρισαι τοιγαροῦν αὐτῷ σύ· ἀλλ᾽ ἔχω τὰς τοῦ Θεοῦ διαβεβαιώσεις ἐγγράφους· οὐ βούλομαι, λέγοντος, τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι διὰ μετανοίας καὶ ζῆν αὐτόν[266]· τί γὰρ καὶ ἐβούλετο αὐτῷ ἡ κάθοδος, εἴγε μὴ τοὺς ἁμαρτωλοὺς σώσει καὶ τοὺς ἐν σκότει φωτίσει καὶ ζωοποιήσει τοὺς τεθανατωμένους;

117. Συμβαίνει, λέγει [ὁ Ἅγιος], πολλὲς φορὲς νὰ συνομιλῇ μὲ σένα ἐπιθετικὰ στὴν καρδία σου ὁ σατανᾶς καὶ νὰ σοῦ λέγῃ: «Κοίταξε πόσες πονηρὲς [πράξεις] ἔχεις ἐργασθῆ· ἡ ψυχή σου ἔχει γεμίσει ἀπὸ ἀνομίες, καὶ ἔχεις βαρυνθῆ ἀπὸ πολλὲς καὶ βαρειὲς ἁμαρτίες». Μὴ σοῦ διαφεύγῃ λοιπὸν ὅτι, κάνοντας αὐτὸ [ὁ σατανᾶς], καὶ μὲ τὸ πρόσχημα τῆς ταπεινώσεως, σὲ σπρώχνει στὴν ἀπόγνωσι. Διότι ἀφ᾽ ὅτου ἡ κακία εἰσῆλθε [στὸν ἄνθρωπο] μὲ τὴν παράβασι [τοῦ Ἀδάμ], ἀνοίχθηκε ὁ δρόμος [στὸν σατανᾶ] νὰ συνομιλῇ κατὰ κάποιο τρόπο κάθε μέρα μὲ τὴν ψυχή, σὰν ἄνθρωπος πρὸς ἄνθρωπο καὶ νὰ [τῆς] ὑποβάλλῃ τὰ ἀπρεπῆ. Ἐσὺ λοιπὸν ἀποκρίσου σὲ αὐτόν: «[Ναί], ἀλλὰ ἔχω γραπτὲς τὶς διαβεβαιώσεις τοῦ Θεοῦ, ὁ Ὁποῖος λέει: «Δὲν θέλω τὸν θάνατο τοῦ ἁμαρτωλοῦ, ὅσο [θέλω] νὰ ἐπιστρέψῃ [σὲ μένα] μὲ τὴν μετάνοια καὶ [ἔτσι] νὰ ζήσῃ». Διότι γιὰ ποιὸ σκοπὸ ἤθελε Αὐτὸς νὰ κατέλθῃ [στὴ γῆ], ἂν δηλαδὴ δὲν σώσῃ τοὺς ἁμαρτωλοὺς καὶ δὲν φωτίσῃ αὐτοὺς [ποὺ εὑρίσκονται] στὸ σκοτάδι καὶ δὲν δώσῃ ζωὴ σὲ ὅσους ἔχουν θανατωθῆ [ἀπὸ τὴν ἁμαρτία];

ριη΄. Ὥσπερ ἡ ἐναντία δύναμις, οὕτω δὴ καὶ ἡ θεία χάρις προτρεπτική, οὐκ ἀναγκαστικὴ δείκνυται οὖσα, ἵν᾽ οὕτως ἡμῖν τὸ ἐλεύθερόν τε καὶ αὐτεξούσιον περισώζοιτο· ταύτῃ τοι καὶ ἐφ᾽ οἷς ὁ ἄνθρωπος ἐργάσηται κακοῖς πρὸς τοῦ σατανᾶ ὑπαγόμενος, οὐχ ὁ σατανᾶς μᾶλλον, ἀλλ᾽ αὐτὸς ὁ ἄνθρωπος τὴν τιμωρίαν εἰσπράττεται, ὡς μὴ βίᾳ συνελαθείς, ἀλλ᾽ ἰδίῳ θελήματι πεισθεὶς τῇ κακίᾳ. Παραπλησίως δὲ κἂν τῷ ἀγαθῷ· οὐκ ἐπιγράφει τὸ γεγονὸς ἑαυτῇ, ἀλλὰ τῷ ἀνθρώπῳ, ἡ χάρις, καὶ διὰ τοῦτο δόξαν αὐτῷ περιτίθησιν, ὅτι αὐτὸς ἑαυτῷ τοῦ ἀγαθοῦ γέγονεν αἴτιος· οὐδὲ γὰρ ἀναγκαστικῇ δυνάμει, ὡς εἴρηται, συνδεσμοῦσα αὐτοῦ τὸ θέλημα, ποιεῖ ἄτρεπτον ἡ χάρις, ἀλλά, καίτοι συνοῦσα, τῷ αὐτεξουσίῳ παραχωρεῖ, ἵνα δῆλον εἴη τὸ τοῦ ἀνθρώπου θέλημα, ὅπως ἔχει πρὸς ἀρετὴν ἢ κακίαν. Κεῖται γὰρ οὐ τῇ φύσει νόμος,

118. Ὅπως ἡ ἐχθρικὴ δύναμι, ἔτσι ἀκριβῶς καὶ ἡ θεία Χάρι φαίνεται νὰ εἶναι προτρεπτικὴ καὶ ὄχι ἐξαναγκαστική, οὕτως ὥστε νὰ διασώζεται σὲ μᾶς καὶ τὸ ἐλεύθερο καὶ τὸ αὐτεξούσιο. Γι᾽ αὐτὸ ἀκριβῶς καὶ γιὰ ὅσα κακὰ ἐργασθῇ ὁ ἄνθρωπος ὑποτασσόμενος στὸ σατανᾶ, εἰσπράττει τὴν τιμωρία ὄχι ὁ σατανᾶς μᾶλλον, ἀλλὰ αὐτὸς ὁ ἴδιος ὁ ἄνθρωπος, ἐπειδὴ δὲν σύρθηκε μὲ τὴν βία, ἀλλὰ ὑπάκουσε μὲ τὴν δική του θέλησι στὴν κακία. Παρομοίως βεβαίως συμβαίνει καὶ ἂν [ὑπακούσῃ] στὸ ἀγαθό. Δὲν καταλογίζει σ᾽ Αὐτήν, αὐτὸ ποὺ ἔγινε, ἡ Θεία Χάρι, ἀλλὰ στὸν ἄνθρωπο, καὶ γι᾽ αὐτὸ τοῦ ἀποδίδει τὴν δόξα, διότι αὐτὸς ἔγινε ἡ αἰτία τοῦ ἀγαθοῦ στὸν ἑαυτό του. Οὔτε βέβαια μὲ ἐξαναγκαστικὴ δύναμι, ὅπως ἔχει λεχθῆ, τοῦ δεσμεύει τὸ θέλημα ἡ [Θεία] Χάρι, [καὶ] τὸν κάνει ἀναλλοίωτο [πρὸς τὸ κακό], ἀλλὰ ἂν καὶ συνυπάρχῃ, δίνει [προτεραιότητα] στὸ αὐτεξούσιο, γιὰ νὰ καταστῇ φανερὴ ἡ θέλησι τοῦ ἀνθρώπου, πῶς [δηλαδὴ εἶναι, ἐὰν] ἔχῃ [ροπὴ] πρὸς τὴν ἀρετὴ ἢ τὴν κακία. Διότι δὲν ὑπάρχει νόμος [ποὺ νὰ ἰσχύῃ] γιὰ τὴν [ἀνθρώπινη] φύσι, ἀλλὰ γιὰ

ἀλλὰ τῷ αὐτεξουσίῳ τῆς προαιρέσεως, τραπῆναι δυναμένῳ πρὸς τὸ ἀγαθὸν καὶ κακόν.

ριθ΄. Φυλάττειν δεῖ τὴν ψυχὴν καὶ ἀνομίλητον συντηρεῖν βεβήλων καὶ πονηρῶν λογισμῶν. Ὥσπερ γὰρ τὸ σῶμα σώματι συνελθὸν ἑτέρῳ, πρὸς ἀκαθαρσίαν μιαίνεται, οὕτω δὴ καὶ ψυχὴ φθείρεται πονηροῖς συνδυάζουσα καὶ μιαροῖς λογισμοῖς, συνάδουσά τε αὐτοῖς καὶ συντιθεμένη· οὐχὶ δὲ τοῖς τῆς πονηρίας καὶ τῆς πορνείας μόνον, ἀλλὰ καὶ ἑκάστης κακίας· οἷον, ἀπιστίας, δόλου, κενοδοξίας, ὀργῆς καὶ φθόνου καὶ ἔριδος. Καὶ τοῦτό ἐστι τὸ καθαίρειν ἑαυτοὺς ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[267]*. Εἶναι γὰρ οἷον καὶ φθορὰν καὶ πορνείαν ἐν τῷ ἀφανεῖ τῆς ψυχῆς, διὰ λογισμῶν ἀτόπων ἐνεργουμένην. Καὶ ὥσπερ τὸν φθείροντα τὸν ναὸν τοῦ Θεοῦ, κατὰ τὸν μέγαν Ἀπόστολον, φθερεῖ τοῦτον ὁ Θεός*[268]*, ὅπερ τὸ*

τὸ αὐτεξούσιο τῆς προαιρέσεως, τὸ ὁποῖο [εἶναι ἐκεῖνο ποὺ] μπορεῖ νὰ στρέφεται πρὸς τὸ ἀγαθὸ ἢ τὸ κακό.

119. Πρέπει νὰ προφυλάσσωμε τὴν ψυχὴ καὶ νὰ μὴν τὴν ἀφήνωμε νὰ συνομιλῇ μὲ βλάσφημους καὶ πονηροὺς λογισμούς. Διότι, ὅπως ἀκριβῶς τὸ σῶμα, ὅταν συνέλθῃ μὲ ἄλλο σῶμα, γιὰ [νὰ διαπράξῃ] τὴν ἁμαρτία μολύνεται, ἔτσι ἀκριβῶς καὶ ἡ ψυχὴ φθείρεται, ὅταν συνομιλῇ [καὶ κάνει συνδυασμοὺς][ιγ΄] μὲ πονηροὺς καὶ ἀκαθάρτους λογισμοὺς καὶ συμφωνῇ καὶ συγκατατίθεται[ιδ΄] μὲ αὐτούς. Ὄχι δὲ μόνο μὲ τοὺς [λογισμοὺς] τῆς πορνείας καὶ τῆς πονηρίας, ἀλλὰ καὶ κάθε κακίας· ὅπως ἀπιστίας, δόλου, κενοδοξίας, ὀργῆς καὶ φθόνου καὶ φιλονεικίας. Καὶ αὐτὸ [ἐννοεῖ ἡ φράσι τοῦ Ἀποστόλου Παύλου], «νὰ καθαίρωμε τοὺς ἑαυτούς [μας] ἀπὸ κάθε μολυσμὸ σαρκικὸ καὶ πνευματικό». Διότι, γνώριζε, ὅτι ὑπάρχει καὶ φθορὰ καὶ πορνεία, ἡ ὁποία ἐνεργεῖται μὲ ἀπρεπεῖς λογισμοὺς μέσα στὸ κρυφό [μέρος] τῆς ψυχῆς. Καὶ ὅπως ἀκριβῶς αὐτόν, ὁ ὁποῖος καταστρέφει τὸν Ναὸ τοῦ Θεοῦ, ποὺ εἶναι τὸ σῶμα, θὰ τὸν καταστρέψῃ ὁ Θεός, κατὰ τὸν μέγα Ἀπό-

σῶμά ἐστιν· οὕτω δὴ καὶ ὁ φθείρων ψυχήν τε καὶ νοῦν, τῷ συναινεῖν καὶ συντίθεσθαι τοῖς ἀτόποις, τιμωρίας ἐστὶν ὑπεύθυνος. Φυλάττειν τοιγαροῦν προσήκει καθάπερ τὸ σῶμα τοῦ ὁρατοῦ ἁμαρτήματος, οὕτω καὶ τὴν ψυχὴν λογισμῶν ἀτόπων, ὅτι ἡ νύμφη Χριστοῦ ἐστιν. Ἡρμοσάμην γὰρ ὑμᾶς, φησίν, ἑνὶ ἀνδρὶ παρθένον ἁγνὴν παραστῆσαι τῷ Χριστῷ[269]*. Καὶ πάσῃ φυλακῇ τήρει τὴν καρδίαν, τῆς Γραφῆς ἄκουε λεγούσης· ἐκ γὰρ τούτων ἔξοδος ζωῆς*[270]*. Καὶ σκολιοὺς δὲ λογισμοὺς χωρίζειν ἀπὸ Θεοῦ*[271]*, τῆς θείας διδασκούσης Γραφῆς, μάνθανε.*

ρκʹ. Λόγον ἀπαιτείτω τὴν ἑαυτοῦ ψυχὴν ἕκαστος ἀνακρίνων καὶ βασανίζων, τίσι πρόσκειται; Καὶ εἰ μὴ συμφωνοῦσαν συμβαίνει τοῖς τοῦ Θεοῦ νόμοις τὴν καρδίαν ὁρᾶν, πάσῃ δυνάμει, καθάπερ τὸ σῶμα, οὕτω δὴ καὶ τὸν νοῦν διατηρεῖν ἄφθορον

στολο· ἔτσι βεβαίως καὶ αὐτός, ὁ ὁποῖος καταστρέφει καὶ τὴν ψυχὴ καὶ τὸν νοῦ, μὲ τὸ νὰ συμφωνῇ καὶ νὰ συγκατατίθεται στὰ ἄτοπα, εἶναι ὑπεύθυνος γιὰ τὴν τιμωρία [του]. Πρέπει, λοιπόν, ὅπως φυλάσσωμε τὸ σῶμα ἀπὸ τὸ ὁρατὸ ἁμάρτημα, ἔτσι [νὰ προφυλάσσωμε] καὶ τὴν ψυχὴ ἀπὸ τοὺς ἀτόπους λογισμούς, διότι εἶναι νύμφη Χριστοῦ. Διότι σᾶς ἀρραβώνιασα, λέγει [ὁ Ἀπόστολος], μὲ ἕναν ἄνδρα, τὸν Χριστό, γιὰ νὰ [σᾶς] παρουσιάσω παρθένο ἁγνὴ [σὲ Αὐτόν]». Καὶ ἄκουε τὴν Γραφὴ ποὺ λέγει: «Μὲ κάθε προσοχὴ φύλαγε τὴν καρδία σου· διότι ἀπὸ αὐτὰ θὰ ὁδηγηθῇς στὴ ζωή». Καὶ μάθαινε ἀπὸ τὴν διδασκαλία τῆς θείας Γραφῆς, «ὅτι οἱ διεστραμμένοι λογισμοὶ χωρίζουν ἀπὸ τὸν Θεό».

120. Κάθε ἕνας πρέπει νὰ ἀπαιτῇ ἀπολογία ἀπὸ τὴν ψυχή του ἀνακρίνοντας καὶ πιέζοντας αὐτήν, σὲ ποιὰ [πράγματα] εἶναι προσκολλημένη; Καὶ ἐὰν συμβαίνῃ νὰ βλέπῃ, ὅτι δὲν συμφωνεῖ ἡ καρδία του μὲ τοὺς νόμους τοῦ Θεοῦ, ἂς ἀγωνίζεται μὲ ὅλη του τὴν δύναμι, ὅπως ἀκριβῶς τὸ σῶμα, ἔτσι καὶ τὸν νοῦ νὰ [τὸν] διατηρῇ

σπουδαζέτω καὶ τοῖς πονηροῖς ἀσύνθετον λογισμοῖς, εἴγε δὴ βούλοιτο, κατὰ τὴν ὑπόσχεσιν, τὸν καθαρὸν εἰσοικίσασθαι· ἐνοικῆσαι γὰρ καὶ ἐμπεριπατῆσαι[272] *ταῖς καθαραῖς πάντως καὶ φιλοκάλοις ψυχαῖς ἐπήγγελται.*

ρκα΄. Ὥσπερ ὁ τῆς ἰδίας γῆς ἐπιμελέστατος γεωργός, ἀνανεοῖ ταύτην πρότερον καὶ τὰς ἀκάνθας περιαιρεῖ, εἶθ᾽ οὕτω καταβάλλει τὰ σπέρματα· οὕτω καὶ τὸν παρὰ Θεοῦ προσδοκῶντα τὸν τῆς χάριτος σπόρον λαβεῖν, καθαίρειν πρότερον χρὴ τῆς ἑαυτοῦ καρδίας τὴν γῆν, ἵν᾽ ὁ σπόρος πεσὼν τοῦ Πνεύματος, ἐντελεῖς καὶ πολλαπλασίους ἀποδῷ τοὺς καρπούς. Ὡς εἰμὴ τοῦτο γένηται πρότερον καὶ καθάρῃ τις ἑαυτὸν ἀπὸ παντὸς μολυσμοῦ σαρκὸς καὶ πνεύματος[273]*, σάρξ ἐστιν ἔτι καὶ αἷμα καὶ μακρὰν ἀφέστηκε τῆς ζωῆς*[274]*.*

ρκβ΄. Πανταχόθεν τὰς τοῦ ἐχθροῦ μαγγανείας, τοὺς δόλους τε καὶ τὰς κακουρ-

ἄφθορο καὶ ἀσύμφωνο μὲ τοὺς πονηροὺς λογισμούς, ἐὰν βεβαίως θέλῃ, σύμφωνα μὲ τὴν [θεία] ὑπόσχεσι, νὰ ἔλθῃ νὰ κατοικήσῃ μέσα του ὁ Καθαρὸς [Κύριος]· διότι ἔχει ὑποσχεθῆ, ὅτι «θὰ κατοικήσῃ καὶ συμβαδίσῃ» μὲ τὶς καθαρὲς βεβαίως καὶ φιλοκαλικές ψυχές.

121. Ὅπως ἀκριβῶς ὁ γεωργός, ὁ ὁποῖος ἐπιμελεῖται πολὺ τὸ χωράφι του, πρῶτα τὸ ἀνανεώνει [μὲ τὸ ὄργωμα] καὶ ἀφαιρεῖ τὰ ἀγκάθια, [καὶ] ἔτσι κατόπιν ρίχνει τοὺς σπόρους. Μὲ τὸν ἴδιο τρόπο καὶ ἐκεῖνος, ποὺ προσδοκεῖ νὰ λάβῃ ἀπὸ τὸν Θεὸ τὸν σπόρο τῆς Χάριτος, πρέπει πρῶτα νὰ καθαρίσῃ τὴν γῆ τῆς καρδίας του, ὥστε ὅταν πέσῃ ὁ σπόρος τοῦ [Ἁγίου] Πνεύματος, νὰ ἀποδώσῃ τελείους καὶ πολὺ περισσότερους τοὺς καρπούς. Ἐὰν ὅμως δὲν γίνῃ ἔτσι προηγουμένως καὶ [δὲν] καθαρίσῃ κανεὶς τὸν ἑαυτό του ἀπὸ «κάθε μολυσμὸ σαρκικὸ καὶ πνευματικό», [αὐτὸς] εἶναι ἀκόμη σάρκα καὶ αἷμα καὶ εὑρίσκεται μακρυὰ ἀπὸ τὴν [ἀληθινὴ] ζωή.

122. Ἀπὸ παντοῦ πρέπει νὰ παρατηροῦμε μὲ μεγάλη προσοχὴ τὰ τεχνάσματα καὶ τοὺς

γίας, ὀξύτατα περισκοπεῖν δεῖ. Καὶ γὰρ ὡς τὸ Πνεῦμα τὸ Ἅγιον διὰ Παύλου τοῖς πᾶσι τὰ πάντα γενέσθαι, φησίν, ἵνα τοὺς πάντας κερδήσῃ[275]*, οὕτω δὴ καὶ τῇ κακίᾳ γίνεσθαι πάντα διὰ σπουδῆς, ὥστε τοὺς πάντας παραπέμψαι τῇ ἀπωλείᾳ. Ἀμέλει τοῖς εὐχομένοις, ὡς συνευχόμενος ὑποκρίνεται, κατὰ σκοπὸν τοῦ προφάσει εὐχῆς ἐμβαλόντα πρὸς οἴησιν ἀπατῆσαι· τοῖς νηστεύουσι συννηστεύειν, τῇ τῆς νηστείας αὐτοὺς οἰήσει φενακίσαι βουλόμενος· τοῖς ἔχουσι γνῶσιν Γραφῶν, ἐπιτηδεύει τὰ ὅμοια, προσχήματι γνώσεως ἐπιποθῶν αὐτοὺς παρακρούσασθαι· τοῖς ἀποκαλύψεως φωτὸς καταξιωθεῖσι, παραπλησίως ἔχειν δοκεῖ. Μετασχηματίζεται γάρ, φησίν, ὁ σατανᾶς εἰς ἄγγελον φωτός*[276]*, ἵνα τῇ δοκήσει τοῦ καταλ-*

δόλους καὶ τὶς πανουργίες τοῦ ἐχθροῦ. Καὶ ὅπως, λοιπόν, τὸ Ἅγιο Πνεῦμα διὰ τοῦ [Ἀποστόλου] Παύλου λέγει, «ὅτι ἔγινε γιὰ τοὺς πάντες τὰ πάντα, ὥστε νὰ κερδίσῃ τοὺς πάντες», ἔτσι ἀκριβῶς [συμβαίνει] καὶ μὲ τὴν κακία, [ἡ ὁποία] μὲ μεγάλη φροντίδα μεταχειρίζεται κάθε τρόπο, ὥστε ὅλους νὰ τοὺς ὁδηγήσῃ στὴν ἀπώλεια. [Ἔτσι] βεβαίως [ὁ διάβολος] ὑποκρίνεται, ὅτι συμπροσεύχεται μὲ ἐκείνους ποὺ προσεύχονται, [τοὺς παρακινεῖ δηλαδὴ σὲ περισσότερη προσευχή], μὲ σκοπὸ νὰ τοὺς ἐξαπατήσῃ μὲ τὴν πρόφασι τῆς προσευχῆς, ρίχνοντάς τους στὴν ὑψηλοφροσύνη. [Ὑποκρίνεται] ὅτι νηστεύει μαζὶ μὲ ὅσους νηστεύουν, [τοὺς ἐνισχύει δηλαδὴ στὴν νηστεία], ἐπειδὴ θέλει νὰ τοὺς ἐξαπατήσῃ μὲ τὴν ὑψηλοφροσύνη γιὰ τὴν νηστεία [τους]. Σὲ αὐτοὺς ποὺ ἔχουν γνῶσι τῶν Γραφῶν, μηχανεύεται τὰ ἴδια, ἐπειδὴ ἐπιθυμεῖ μὲ τὸ πρόσχημα τῆς γνώσεως νὰ τοὺς παραπλανήσῃ [ἀπὸ τὸ ὀρθὸ δόγμα]. Σὲ αὐτοὺς ποὺ ἀξιώθηκαν [νὰ δεχθοῦν] ἀποκάλυψι τοῦ [ἀκτίστου] φωτός, ἐνεργεῖ παρομοίως. Διότι «μετασχηματίζεται, λέγει, ὁ σατανᾶς σὲ ἄγγελο φωτός», ὥστε ἀφοῦ τοὺς ἐξαπατήσῃ μὲ τὴν φαντασία τοῦ

λήλου φωτὸς ἀπατήσας, εἰς ἑαυτὸν ἐπαγάγηται· καὶ ἁπλῶς, οὕτω πρὸς πάντα ποικίλλεται καὶ τοῖς πᾶσιν εἰκάζεται, ἵνα, τῷ ὁμοίῳ χειρούμενος, εὐλογοφανῆ προφάσει προξενῇ τὴν ἀπώλειαν· λογισμούς, φησί, καθαιροῦντες καὶ πᾶν ὕψωμα ἐπαιρόμενον κατὰ τῆς γνώσεως τοῦ Θεοῦ[277]. *Ὅρα μέχρι καὶ τίνων ὁ ἀλαζὼν ἐκτείνει τὸ τόλμημα, τῷ βούλεσθαι καὶ τοὺς ἤδη τὸ θεῖον κατ᾽ ἐπίγνωσιν ἀληθείας ἔχοντας κατενεγκεῖν. Ὥστε πάσῃ φυλακῇ χρὴ τηρεῖν τὴν ἑαυτοῦ καρδίαν*[278] *ἕκαστον, πολλήν τε παρὰ Θεοῦ τὴν σύνεσιν αἰτεῖν, ἵνα δῷ ἡμῖν τὰς τῆς κακίας τέχνας ἐφορᾶν, ἐργάζεσθαι δὲ καὶ ἐκπονεῖν τὸν νοῦν ἐν συνέσει καὶ τοὺς λογισμοὺς προσήκει διηνεκῶς, καὶ πρὸς τὸ τοῦ Θεοῦ θέλημα καταρτίζειν ἑαυτούς. Οὐκ ἔστι γὰρ τούτου μεῖζον ἔργον ἢ τιμιώ-*

ἀναλόγου φωτὸς [καὶ ἀποδεχθοῦν ὡς θεϊκὴ τὴν δική του σατανικὴ ὀπτασία], νὰ τοὺς ὁδηγήσῃ πρὸς τὸν ἑαυτόν του. Καὶ γενικῶς κατὰ τὸν ἴδιο τρόπο σὲ κάθε περίπτωσι ἀλλάζει μορφὴ καὶ σὲ ὅλους ἐμφανίζεται [ἀναλόγως], ὥστε μεταχειριζόμενος τὴν ὁμοιότητα [μὲ τὰ θεῖα], νὰ προξενήσῃ τὴν ἀπώλεια μὲ εὐλογοφανῆ πρόφασι. [Ὅμως ἐμεῖς]«νὰ ἀνατρέπωμε, λέγει [ὁ Ἀπόστολος], τοὺς [ἐχθρικοὺς] λογισμούς, και κάθε ὑψηλοφροσύνη, ποὺ ὑψώνεται γιὰ νὰ ἐμποδίζῃ τοὺς ἀνθρώπους νὰ γνωρίσουν τὸν Θεό». Βλέπε μέχρι καὶ ποιοῦ [σημείου] ὁ ἀλαζόνας τολμάει νὰ φθάσῃ, νὰ θέλῃ [δηλαδὴ]νὰ κρημνίσῃ καὶ ἐκείνους, οἱ ὁποῖοι ἔχουν πλέον φθάσει στὴν ἀληθινὴ ἐπίγνωσι τοῦ Θεοῦ. Ὥστε μὲ κάθε προσοχὴ πρέπει νὰ φυλάγῃ ὁ καθένας τὴν καρδία του, καὶ νὰ ζητᾷ ἀπὸ τὸν Θεὸ πολλὴ σύνεσι, γιὰ νὰ μᾶς δώσῃ νὰ ἀντιλαμβανώμασθε τὰ τεχνάσματα τῆς κακίας. Ἀκόμη, πρέπει ἀκατάπαυστα νὰ ἐργαζώμασθε καὶ νὰ καλλιεργοῦμε μὲ σύνεσι τὸν νοῦ καὶ τοὺς λογισμούς, καὶ νὰ καταρτίζωμε τοὺς ἑαυτούς μας σύμφωνα μὲ τὸ θέλημα τοῦ Θεοῦ. Δὲν ὑπάρχει πράγματι [κανένα] ἔργο μεγαλύτερο ἢ

τερον· ἐξομολόγησις γάρ, φησί, καὶ μεγαλοπρέπεια τὸ ἔργον αὐτοῦ[279].

ρκγ'. Ἔθος τῇ φιλοθέῳ ψυχῇ, κἂν πάντα τὰ τῆς ἀρετῆς ἀγαθὰ πράξειεν, οὐδὲν ἑαυτῇ, ἀλλὰ τῷ Θεῷ ἕκαστα ἐπιγράφειν· ταύτῃ τοι καὶ ὁ Θεὸς πάλιν τῇ ὑγιεῖ ταύτης καὶ ὀρθῇ συνέσει καὶ γνώσει προσχών, τοὐναντίον ἐκείνῃ πάντα λογίζεται· καὶ ὡς αὐτῆς καμούσης καὶ παρ' ἑαυτῆς τὸ ὅλον ἐργασαμένης, τὰς ἀντιδόσεις ἐπιμετρεῖ· καίτοι, δόξαν αὐτῷ πρὸς κρίσιν ἡμῖν ἐλθεῖν, οὐδὲν πρὸς ἀλήθειαν τῷ ἀνθρώπῳ δίκαιον εὑρεθήσεται[280]. *Ἐπεὶ καὶ τά χρήματα καὶ τὰ δοκοῦντα πάντα ταυτὶ ἀγαθά, δι' ὧν καὶ εὐποιεῖν ἕκαστος δύναται, ἐκείνου εἰσίν, ἡ γῆ καὶ πάντα τὰ ἐν αὐτῇ*[281], *αὐτὸ τὸ σῶμα καὶ αὐτὴ ἡ ψυχή· οὐ μήν, ἀλλὰ καὶ αὐτὸ τὸ εἶναι ἄνθρωπος, κατὰ χάριν ἔχει. Τί τοίνυν αὐτῷ λείπεται ἴδιον, ἐφ' ᾧ τὸ οἰηθῆναι ἢ*

τιμιώτερο ἀπὸ αὐτό. Διότι λέγει [ὁ Ψαλμωδός], «τὸ κάθε ἔργον Του εἶναι μαρτυρία τῆς δόξης καὶ μεγαλοπρεπείας Του».

123. [Εἶναι] συνήθεια στὴν φιλόθεη ψυχή, καὶ ἂν ἀκόμη ἤθελε πράξει ὅλα τὰ ἀγαθὰ [ἔργα] τῆς ἀρετῆς, νὰ τὰ ἀποδίδῃ ὄχι στὸν ἑαυτό της ἀλλὰ κάθε ἕνα στὸν Θεό. Ἀντιθέτως λοιπὸν καὶ ὁ Θεὸς πάλι, ἀφοῦ διακρίνει τὴν ὑγιῆ καὶ ὀρθή της σύνεσι καὶ γνῶσι, τὰ καταλογίζει ὅλα σὲ αὐτή. Καὶ σὰν νὰ κοπίασε μόνη της καὶ ἐργάσθηκε μόνη της τὸ ὅλο [ἔργο], αὐξάνει τὶς ἀνταποδόσεις [Του] σὲ αὐτή. Ἂν καὶ ὅταν ἀποφασίσῃ Αὐτὸς νὰ μᾶς κρίνῃ, δὲν θὰ εὑρεθῇ στὸν ἄνθρωπο τίποτε, ποὺ [νὰ μπορῇ] πράγματι νὰ τὸν δικαιώσῃ. Καθὼς καὶ τὰ χρήματα καὶ ὅλα, ὅσα ἀναμφίβολα θεωροῦμε ἀγαθά, μὲ τὰ ὁποῖα καὶ ὁ καθένας μπορεῖ νὰ κάνῃ ἀγαθοεργίες, εἶναι [ὅλα] Ἐκείνου, ἡ γῆ καὶ ὅλα [ὅσα εὑρίσκονται] σὲ αὐτήν, αὐτὸ τὸ σῶμα καὶ αὐτὴ ἡ ψυχή [μας]· [καὶ] ὄχι μόνον, ἀλλὰ καὶ τὴν ὕπαρξί του ὁ ἄνθρωπος [καὶ] αὐτὸ κατὰ Χάρι τὸ ἔχει. Τί λοιπὸν ἰδικόν του ἀπομένει, γιὰ τὸ ὁποῖο νὰ ἔχῃ λόγο ἢ ὑψη-

δικαιωθῆναι κατὰ λόγον ἕξει; Πλήν, ἀλλὰ ταύτην ὁ Θεὸς μεγίστην ἐξ ἀνθρώπων δέχεται χάριν, καὶ τοῦτο τῶν προσφερομένων ἐκείνῳ τὸ χαριέστατον, τὸ τὴν ψυχὴν καλῶς ἐπιγνοῦσαν, ὅπως ἔχει τὰ ὄντα, πάντα ὅσαπερ ἂν ποιῇ ἀγαθὰ καὶ ὅσα κάμνει διὰ Θεόν, ὅσα τε συνίησι καὶ γινώσκει, αὐτῷ μόνῳ λογίζεσθαι καὶ αὐτῷ τὸ σύμπαν ἀνατιθέναι.

ρκδ΄. Ὥσπερ ὁπόταν ἀνδρὶ πρὸς συμβίωσίν τε καὶ κοινωνίαν συνέλθῃ γυνή, κοινὰ πάντα τὰ ἑκατέρου γίνεται· καὶ οἶκος εἷς καὶ οὐσία μία καὶ ὕπαρξις, καὶ οὐ τῶν ὄντων αὐτῷ μόνον, ἀλλὰ καὶ αὐτοῦ τοῦ σώματος κυριεύειν ἡ γυνὴ δύναται· ὁ γὰρ ἀνήρ, φησίν, ὁ θεῖος Ἀπόστολος, τοῦ ἰδίου σώματος οὐκ ἐξουσιάζει, ἀλλ᾽ ἡ γυνή[282]· οὕτω δὴ καὶ ἡ ἀληθὴς καὶ ἀπόρρητος κοινωνία τῆς ψυχῆς πρὸς Χριστὸν ἔχει καὶ εἰς ἓν αὐτῷ συνέρχεται πνεῦμα[283]. Ἕπεται οὖν ἀναγκαίως, καὶ

λοφροσύνη του ἢ ἡ δικαίωσί [του]; Ἀλλὰ ὁ Θεός, παρ᾽ ὅλα αὐτά, αὐτὴ δέχεται ἀπὸ τοὺς ἀνθρώπους ὡς μεγαλύτερη εὐχαριστία, καὶ αὐτό, ἀπὸ ὅλα ὅσα τοῦ προσφέρονται, Τοῦ δίνει τὴν μεγαλύτερη χαρά, ἀφοῦ [δηλαδὴ] ἡ ψυχὴ κατανοήση καλῶς, πῶς ἔχουν τὰ πράγματα, ὅσα καὶ ἂν ἐργάζεται καὶ κάνῃ γιὰ τὸν Θεό, ὅσα ἀντιλαμβάνεται καὶ κατανοεῖ, μόνο σ᾽ Αὐτὸν νὰ τὰ ἀποδίδῃ καὶ σ᾽ Αὐτὸν νὰ ἀναθέτῃ τὰ πάντα.

124. Ὅπως ἀκριβῶς, ὅταν μία γυναῖκα ἔλθῃ σὲ συμβίωσι καὶ ἕνωσι [διὰ τοῦ γάμου] μὲ ἕναν ἄνδρα, ὅλα τὰ [πράγματα] τοῦ καθενὸς γίνονται κοινά. Καὶ [ὑπάρχει πλέον] ἕνα σπίτι καὶ μία περιουσία καὶ [κοινὰ] ὑπάρχοντα· καὶ ὄχι μόνον ὅσα ἀνήκουν σὲ αὐτόν, ἀλλὰ καὶ τὸ ἴδιο τὸ σῶμα του δύναται [πλέον] νὰ κυριεύῃ ἡ γυναῖκα. Διότι «ὁ ἄνδρας, λέγει ὁ θεῖος Ἀπόστολος, δὲν ἐξουσιάζει τὸ σῶμα του, ἀλλὰ ἡ γυναῖκα». Ἔτσι ἀκριβῶς εἶναι καὶ ἡ ἀληθινὴ καὶ μυστικὴ κοινωνία τῆς ψυχῆς μὲ τὸν Χριστὸ καὶ ἑνώνεται μὲ Αὐτὸν εἰς ἕνα Πνεῦμα. Εἶναι λοιπὸν φυσικὸ ἐπακό-

τῶν ἀφράστων αὐτοῦ θησαυρῶν, ὡσπερεὶ δέσποιναν εἶναι, ἅτε δὴ νύμφην αὐτοῦ γεγενημένην. Ἐπειδὰν γὰρ ὁ Θεὸς γένοιτο ταύτης, σαφές, ὅτι τὰ αὐτοῦ πάντα ἐκείνης ἐστίν, εἴτε κόσμος, εἴτε ζωή, εἴτε θάνατος, εἴτε ἄγγελοι, εἴτε ἀρχαί, εἴτε ἐνεστῶτα, εἴτε μέλλοντα[284].

ρκε'. Ὥσπερ ὁ Ἰσραὴλ ἕως μὲν εὐαρέστως εἶχε πρὸς τὸν Δεσπότην, καίτοι γε οὐδέποτε μέν, ὡς ἐχρῆν, πλὴν ἀλλ' οὖν ἕως ἐδόκει ὑγιῆ τινα ποσῶς πρὸς αὐτὸν ἔχειν τὴν πίστιν , στύλος πυρὸς καὶ νεφέλη αὐτοῦ προηγεῖτο[285]*, θάλασσά τε αὐτῷ ὑπεχώρει*[286]*, καὶ μυρίων ἄλλων ἀπέλαυε θαυμασίων· ὁπότε δὲ τῆς πρὸς Θεὸν εὐνοίας ἀφίστατο, τότε καὶ τοῖς ἐχθροῖς παρεδίδοτο καὶ δουλείαις πικραῖς κατειργάζετο. Οὕτω μοι νόει καὶ ἐπὶ τῆς ψυχῆς· ἡ διὰ τῆς χάριτος τὸν Θεὸν ἐπέγνω, καὶ ἀπὸ ῥύπων μὲν ἐκαθάρθη πολλῶν τὸ πρότερον, εἶτα καὶ χαρίτων ἀξία γέγονε· τὴν*

λουθο, νὰ εἶναι [ἡ ψυχὴ] ὡς δέσποινα καὶ τῶν ἀνεκφράστων θησαυρῶν Του, ἀφοῦ ἔγινε νύμφη Του. Διότι, ὅταν ὁ Θεὸς γίνῃ δικός της, εἶναι σαφές, ὅτι τὰ δικά Του, εἶναι ὅλα [καὶ] δικά της, «εἴτε [εἶναι] ὁ κόσμος, εἴτε ἡ ζωή, εἴτε ὁ θάνατος, εἴτε οἱ ἄγγελοι, εἴτε οἱ Ἀρχές, εἴτε τὰ παρόντα, εἴτε τὰ μέλλοντα».

125. Ὅπως ὁ Ἰσραηλιτικὸς λαός, ὅσο μὲν εὐαρεστοῦσε στὸν Δεσπότη, ἂν καὶ ποτὲ βεβαίως ὅσο ἔπρεπε, πλὴν ὅμως, ὅσο κρατοῦσαν ἔστω καὶ λίγο σωστὰ τὴν πίστι πρὸς Αὐτόν, «στῦλος πυρὸς καὶ νεφέλη προπορευόταν αὐτοῦ [καὶ τὸν καθοδηγοῦσε]» καὶ «ἡ [Ἐρυθρὰ] θάλασσα ὑποχωροῦσε μπροστά του» καὶ πάμπολλα ἄλλα θαυμαστὰ ἀπελάμβανε. Ὅταν ὅμως ἀπομακρυνόταν ἀπὸ τὴν εὔνοιά Του, τότε καὶ στοὺς ἐχθροὺς παραδινόταν καὶ ὑποτασσόταν σὲ πικρὲς δουλεῖες. Ἔτσι θεωρῶ [ὅτι συμβαίνει] καὶ μὲ τὴν ψυχή, ἡ ὁποία πρῶτα ἐγνώρισε τὸν Θεὸ διὰ τῆς Χάριτος, καὶ ἐκαθάρθηκε μὲν ἀπὸ τοὺς πολλοὺς μολυσμούς, καὶ ἔπειτα ἀξιώθηκε τῶν δωρεῶν [Του]·

προσήκουσαν δὲ οὐ φυλάξασα τῷ οὐρανίῳ ἀνδρὶ διὰ τέλους εὔνοιαν, ἐξέπεσε τῆς ζωῆς, ἧς μέτοχος ἐγεγόνει. Δυνατὸν γὰρ τῷ ἀντικειμένῳ, καὶ τῶν εἰς τὰ τοιαῦτα φθασάντων κατεπαίρεσθαι μέτρα. Ὥστε ἀγωνιστέον, ὁπόση δύναμις, καὶ μετὰ φόβου καὶ τρόμου τῆς ἑαυτῶν ζωῆς ἐπιμελητέον, μάλιστα τοῖς ὅσοι τοῦ πνεύματος τοῦ Χριστοῦ γεγόνασι μέτοχοι, τοῦτο μηδὲ μικρὸν ἢ μέγα δι᾽ ὀλιγωρίαν ποιεῖν καὶ δι᾽ αὐτὸ τοῦτο, τὸ τοῦ Κυρίου πνεῦμα λυπεῖν[287]*. Ὥσπερ γὰρ χαρὰ γίνεται ἐν τῷ οὐρανῷ, καθά φησιν ἡ ἀλήθεια, ἐπὶ ἑνὶ ἁμαρτωλῷ μετανοοῦντι*[288]*, οὕτω καὶ λύπη πάλιν ἐπὶ μιᾷ ψυχῇ τῆς αἰωνίου ζωῆς ἐκπιπτούσῃ.*

ρκϛʹ. Ὅταν ψυχὴ τῆς χάριτος καταξιωθῇ, τότε δὴ καὶ χρήσιμα ταύτῃ μάλιστα Θεὸς δίδωσι, γνῶσιν, σύνεσιν καὶ διάκρισιν. Ἅπερ γοῦν καὶ αὐτὰ Θεὸς δίδωσιν ἐκείνης αἰτούσης, ὥστε εὐαρέστως αὐτὴν διακονῆσαι τῷ πνεύματι, ὃ καὶ

ἐπειδή, ὅμως, δὲν ἐφύλαξε ἕως τέλους τὴν πρέπουσα στὸν οὐράνιο ἄνδρα ἀγάπη, ἐξέπεσε ἀπὸ τὴν ζωή, τῆς ὁποίας εἶχε γίνει μέτοχος. Διότι εἶναι δυνατὸν στὸν ἐχθρὸ νὰ ὑψώνεται ὑπερήφανα καὶ ἐναντίον αὐτῶν, ποὺ ἔφθασαν σὲ αὐτὰ τὰ μέτρα. Ὥστε πρέπει νὰ ἀγωνιζώμασθε μὲ ὅλη μας τὴν δύναμι καὶ νὰ φροντίζωμε μὲ φόβο καὶ τρόμο τὴν ζωή μας, ὅσοι μάλιστα ἔχουν γίνει μέτοχοι τοῦ Πνεύματος τοῦ Χριστοῦ, νὰ μὴν κάνουν τίποτα μὲ ἀμέλεια εἴτε μικρὸ εἴτε μεγάλο, καὶ μὲ αὐτὸ τὸν τρόπο νὰ λυποῦν τὸ Πνεῦμα τοῦ Κυρίου. Διότι, ὅπως γίνεται χαρὰ στὸν οὐρανό, καθὼς λέγει ἡ Ἀλήθεια, γιὰ ἕναν ἁμαρτωλὸ ποὺ μετανοεῖ, ἔτσι καὶ λύπη πάλι [γίνεται] γιὰ μιὰ ψυχὴ ποὺ χάνει τὴν αἰώνιο ζωή.

126. Ὅταν κάποια ψυχὴ καταξιωθῇ [νὰ λάβῃ] τὴν Χάρι, τότε πραγματικὰ καὶ περισσότερα χαρίσματα τῆς δίνει ὁ Θεός, γνῶσι, σύνεσι καὶ διάκρισι. Τὰ ὁποῖα βέβαια καὶ τὰ δίνει ὁ Θεός, ὅταν ἐκείνη τὰ ζητῇ, ὥστε [νὰ μπορέσῃ] νὰ διακονήσῃ εὐάρεστα τὸ [Ἅγιο] Πνεῦμα, τὸ Ὁποῖο καὶ ἀξιώθη-

κατηξιώθη λαβεῖν, μὴ κλεπτομένην ὑπὸ κακίας, μὴ σφαλλομένην δι᾽ ἀγνωσίαν, μὴ τῷ ἀμελεῖν καὶ ἀφόβως ζῆν παρατρεπομένην καὶ παρὰ τὸ δεσποτικόν τι διαπραττομένην θέλημα.

ρκζʹ. Ὥσπερ ἡ ἐνέργεια τῶν παθῶν, ὅπερ ἐστὶ τὸ ἐγκόσμιον πνεῦμα τῆς πλάνης[289], τοῦ σκότους, τῆς ἁμαρτίας, ἀνθρώπῳ τοιούτῳ ἂν ἐνοικήσειεν, ὃς διάπλεώς ἐστι φρονήματος σαρκικοῦ· οὕτω πάλιν ἡ ἐνέργειά τε καὶ δύναμις τοῦ φωτεινοῦ πνεύματος ἀνθρώπῳ τῷ ἁγιασθέντι ἐγκατοικεῖ, κατὰ τὸν εἰπόντα· εἰ δοκιμὴν ζητεῖτε τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ[290]· καὶ αὖθις, ζῶ δὲ οὐκ ἔτι ἐγώ, ζῇ δὲ ἐν ἐμοὶ Χριστός[291]· καί, ὅσοι δὲ εἰς Χριστὸν ἐβαπτίσθητε, Χριστὸν ἐνεδύσασθε[292]· καὶ ὁ Κύριος, ἐλευσόμεθα ἐγώ τε καὶ ὁ πατήρ μου καὶ μονὴν παρ᾽ αὐτῷ ποιήσομεν[293]. Ταῦτα οὐκ ἀδήλως, οὐδ᾽ ἀνεργήτως, ἀλλ᾽ ἐν δυνάμει καὶ ἀληθείᾳ τοῖς

κε νὰ λάβη, χωρὶς [πλέον] νὰ κλέπτεται ἀπὸ τὴν κακία, οὔτε νὰ σφάλλη ἀπὸ ἄγνοια, οὔτε νὰ παρεκτρέπεται ζώντας μὲ ἀμέλεια καὶ χωρὶς φόβο [Θεοῦ], καὶ οὔτε νὰ ἐνεργῆ τίποτε ποὺ δὲν εἶναι σύμφωνο μὲ τὸ θέλημα τοῦ Δεσπότου.

127. Ὅπως ἀκριβῶς ἡ ἐνέργεια τῶν παθῶν, ποὺ εἶναι τὸ κοσμικὸ πνεῦμα τῆς πλάνης, τοῦ σκότους, τῆς ἁμαρτίας, θὰ μποροῦσε νὰ κατοικήση [μόνο] σὲ ἕνα τέτοιο ἄνθρωπο, ὁ ὁποῖος διακατέχεται ἀπὸ σαρκικὸ φρόνημα· ἔτσι ἀκριβῶς καὶ ἡ ἐνέργεια καὶ ἡ δύναμι τοῦ φωτεινοῦ Πνεύματος εἰσέρχεται καὶ κατοικεῖ μέσα στὸν ἄνθρωπο, ὁ ὁποῖος ἁγιάσθηκε, σύμφωνα μὲ [τὸν Ἀπόστολο] ποὺ εἶπε: «ἐὰν ζητῆτε ἀπόδειξι γιὰ τὸ ὅτι ὁ Χριστὸς ὁμιλεῖ μέσα μου». Καὶ πάλι: «δὲν ζῶ πλέον ἐγώ, ζεῖ ὅμως μέσα μου ὁ Χριστός». Καί: «ὅσοι βαπτισθήκατε εἰς [τὸ ὄνομα] τοῦ Χριστοῦ, ἐνδυθήκατε τὸν Χριστό». Καὶ ὁ Κύριος [ἐπίσης λέγει]: «θὰ ἔλθωμε καὶ ἐγὼ καὶ ὁ Πατήρ [μου] καὶ θὰ διαμείνωμε σὲ αὐτόν». Αὐτά, οὔτε ἀφανῶς, οὔτε ἀνεπαίσθητα συμβαίνουν, ἀλλὰ δυναμικὰ καὶ ἀληθινά, σὲ ὅσους ἀποδεί-

καταξιουμένοις ἐγγίνεται. Ὁ μὲν γὰρ νόμος τὸ πρότερον λόγῳ ἀνυποστάτῳ ἐπέστρεφε τοὺς ἀνθρώπους, βαρὺν αὐτοῖς καὶ δυσφόρητον ἐπιτιθεὶς τὸν ζυγὸν καὶ μηδεμίαν εἰδὼς ὀρέγειν βοήθειαν, τοῦτο δὲ παρὰ τὸ μὴ δυνατῶς ἔχειν τὴν τοῦ πνεύματος δύναμιν παρέχειν· τὸ γὰρ ἀδύνατον, φησί, τοῦ νόμου ἐν ᾧ ἠσθένει διὰ τῆς σαρκός, καὶ τὰ ἑξῆς[294]*· ἀπὸ δὲ τῆς τοῦ Χριστοῦ παρουσίας ἡ θύρα τῆς χάριτος τοῖς ἐν ἀληθείᾳ πιστεύσασι διηνοίχθη δύναμίς τε Θεοῦ καὶ ἐνέργεια Πνεύματος Ἁγίου αὐτοῖς χορηγεῖται.*

ρκη΄. Χριστοῦ τῆς πρώτης καὶ φυσικῆς ἀγαθότητος τὴν δωρεὰν τοῦ Ἁγίου Πνεύματος τοῖς θείοις διαπέμψαντος μαθηταῖς[295]*, ἐκεῖθεν ἅπασι τοῖς πιστεύουσιν ἡ θεία δύναμις ἐκείνη ἐπισκιάζουσα καὶ ταῖς ἐκείνων ἐγκατοικοῦσα ψυχαῖς, ἰᾶτο μὲν τῶν παθῶν τῆς ἁμαρτίας, τοῦ σκότους*

χθηκαν ἄξιοι. Διότι, ὁ μὲν νόμος[ιε΄] [στὴν Παλαιὰ Διαθήκη] ἐπέστρεφε τοὺς ἀνθρώπους [πρὸς τὴν θεογνωσία] μὲ λόγο σκληρό, βάζοντας ἐπάνω τους βαρὺ καὶ ἀβάστακτο ζυγό, καὶ χωρὶς νὰ τοὺς προσφέρῃ καμμία βοήθεια. Καὶ αὐτὸ [συνέβαινε], ἐπειδὴ δὲν ἦταν δυνατὸν νὰ τοὺς παρέχῃ τὴν δύναμι τοῦ [Ἁγίου] Πνεύματος. Διότι λέγει [ὁ Ἀπόστολος]: «ἐκεῖνο ποὺ ἦταν ἀδύνατο [νὰ κατορθώσῃ] ὁ νόμος, διότι ἀσθενοῦσε νὰ νικήσῃ τὸ σαρκικὸ φρόνημα», καὶ τὰ λοιπά. Ὕστερα ὅμως ἀπὸ τὴν παρουσία τοῦ Χριστοῦ, ἀνοίχθηκε ἡ θύρα τῆς Χάριτος σὲ ὅσους ἐπίστευσαν ἀληθινά, [καὶ] χορηγεῖται σὲ αὐτοὺς [πλέον] καὶ ἡ δύναμι τοῦ Θεοῦ καὶ ἡ ἐνέργεια τοῦ Ἁγίου Πνεύματος.

128. Ἀφοῦ ὁ Χριστὸς ἐξαπέστειλε στοὺς ἱεροὺς μαθητές [Του] τὴν δωρεὰ τῆς πρωταρχικῆς καὶ φυσικῆς ἀγαθότητος τοῦ Ἁγίου Πνεύματος, ἔκτοτε, ἡ θεία δύναμι ἐπεσκίαζε [μὲ τὴν ἔλευσί Της] ὅλους τοὺς πιστούς, καὶ διαμένοντας στὶς ψυχές τους, ἐθεράπευε τὰ πάθη τῆς ἁμαρτίας καὶ τοὺς ἀπάλλασσε ἀπὸ τὸ σκότος καὶ

δὲ καὶ τῆς νεκρώσεως αὐτοὺς ἀπήλλαττε. Καὶ γὰρ μέχρι τότε τετραυμάτιστό τε καὶ πεφυλάκιστο ἡ ψυχὴ καὶ τῷ ζόφῳ τῆς ἁμαρτίας κάτοχος ἦν. Ἀμέλει καὶ νῦν ψυχὴ μήπω σύνοικον ἔχειν ἀξιωθεῖσα τὸν Κύριον, μηδὲ τὴν τοῦ ἀγαθοῦ Πνεύματος δύναμιν ἐνεργητικῶς αὐτῇ καὶ κατὰ πᾶσαν δύναμιν καὶ πληροφορίαν ἐπισκηνώσασαν, ἐν τῷ σκότει ἔτι ἐστίν· οἷς δὲ ἡ τοῦ θείου Πνεύματος ἐπεφοίτησε χάρις καὶ τοῖς βαθυτάτοις τοῦ νοὸς αὐτῶν ἐγκατῴκησε, τούτοις δὴ καὶ ὁ Κύριος ὡς ψυχὴ γίνεται. Ὁ γὰρ κολλώμενος τῷ Κυρίῳ, ὁ θεῖός φησιν Ἀπόστολος, εἰς ἓν Πνεῦμα ἔσται[296]*. Καὶ αὐτὸς δὲ ὁ Κύριος· ὥσπερ ἐγὼ καὶ σὺ ἓν ἐσμέν, ἵνα καὶ οὗτοι ἐν ἡμῖν ἓν ὦσιν*[297]*. Ὢ τῆς εὐδοκίας καὶ ἀγαθότητος, ἧς ἔτυχεν ἡ οὕτω πρὸς τῆς κακίας ταπεινωθεῖσα τῶν ἀνθρώπων φύσις! Πλὴν ἀλλ' ἐπεὶ καὶ τῇ μοχθηρίᾳ τῶν παθῶν ἡ ψυχὴ συνοῦ-*

τὴ νέκρωσι [ποὺ προέρχεται ἀπὸ αὐτά]. Καὶ πράγματι μέχρι τότε ἦταν ἡ ψυχὴ πληγωμένη καὶ φυλακισμένη καὶ αἰχμαλωτισμένη ἀπὸ τὸ πυκνὸ σκότος τῆς ἁμαρτίας. Βεβαίως, καὶ τώρα ἡ ψυχή, ἡ ὁποία δὲν ἔχει ἀξιωθῆ νὰ ἔχῃ ἔνοικο τὸν Κύριο, οὔτε ἑδραιωμένη μέσα της τὴν δύναμι τοῦ Ἁγίου Πνεύματος μὲ ἐμφανεῖς τὶς ἐνέργειές της καὶ μὲ κάθε ἐξουσία καὶ [ἐσωτερικὴ] πληροφορία, εὑρίσκεται ἀκόμη στὸ σκοτάδι. Σὲ ὅσους ὅμως ἐπεφοίτησε ἡ Χάρι τοῦ θείου Πνεύματος καὶ κατοίκησε μέσα στὰ πιὸ βαθειὰ [μέρη] τοῦ νοῦ τους, σὲ αὐτοὺς βεβαίως καὶ ὁ Κύριος γίνεται ὡς ψυχή. «Διότι ἐκεῖνος, ποὺ προσκολλᾶται στὸν Κύριο», λέγει ὁ θεῖος Ἀπόστολος, «γίνεται ἕνα πνεῦμα μὲ Αὐτόν». Ἀλλὰ καὶ ὁ Ἴδιος ὁ Κύριος [λέγει]: «ὅπως Ἐγὼ καὶ Ἐσὺ εἴμαστε ἕνα, ἔτσι καὶ αὐτοί, διὰ τῆς κοινωνίας καὶ ἑνώσεως μαζί Μας, νὰ εἶναι ἕνα». Ὤ, τί [μεγάλη] εὐαρέσκεια καὶ ἀγαθότητα, ποὺ ἀξιώθηκε [ἀπὸ τὸν Θεὸ] ἡ ἀνθρώπινη φύσι, ἡ ὁποία τόσο πολὺ ταπεινώθηκε ἀπὸ τὴν κακία! Ἀλλὰ καὶ ἐπειδή, ὅσο ἡ ψυχὴ συζοῦσε μὲ τὴν κακία τῶν παθῶν, ἦταν

σα, ἓν ὥσπερ μετ᾽ αὐτῆς ἦν, κἂν ἴδιον εἶχε θέλημα, ἀλλὰ τὸ δοκοῦν αὐτῇ ποιεῖν οὐκ ἠδύνατο· ὃ καὶ Παῦλός φησιν, οὐ γὰρ ὃ θέλω τοῦτο ποιῶ[298]*· πόσῳ γε μᾶλλον τῆς τοῦ Θεοῦ δυνάμεως τῇ ἁγιασθείσῃ καὶ ἀξία τούτου γεγενημένῃ ψυχῇ συνελθούσης, εἰς ἓν αὐτῷ ἔσται τὸ τούτου θέλημα. Γίνεται γὰρ ἡ ψυχὴ τότε πρὸς ἀλήθειαν, ὡς ψυχὴ τοῦ Κυρίου, τῷ ἑκοντὶ καὶ κατὰ γνώμην ὑπὸ τῆς τοῦ ἀγαθοῦ Πνεύματος δυνάμεως βασιλεύεσθαι καὶ θελήματι ἰδίῳ μηκέτι αὐτὴν πορεύεσθαι. Τίς γάρ, φησίν, ἡμᾶς χωρίσει ἀπὸ τῆς ἀγάπης τοῦ Χριστοῦ*[299]*; τουτέστι τῆς ἑνωθείσης ψυχῆς τῷ Πνεύματι τῷ Ἁγίῳ;*

ρκθ′. Τῷ βουλομένῳ μιμητῇ οὖν γενέσθαι Χριστοῦ, ἵνα καὶ αὐτῷ γένοιτο υἱῷ Θεοῦ προσαγορευθῆναι, γεννηθέντι ἐκ Πνεύματος, πρὸ τῶν ἄλλων προσήκει τὰς ἀπαντώσας θλίψεις,

σὰν ἕνα μὲ αὐτή, καὶ παρ᾽ ὅλο ποὺ εἶχε τὴν δική της θέλησι, ὅμως δὲν μποροῦσε νὰ κάνῃ αὐτὸ ποὺ ἤθελε· τὸ ὁποῖο καὶ ὁ [Ἀπόστολος] Παῦλος λέγει: «Διότι δὲν κάνω αὐτό, τὸ ὁποῖο θέλω». Πόσο λοιπὸν περισσότερο, ὅταν [αὐτὴ] τὴν ψυχή, ποὺ ἁγιάσθηκε καὶ ἔγινε ἄξιά Του, τὴν ἐπισκεφθῇ ἡ δύναμι τοῦ Θεοῦ, [δὲν] θὰ γίνῃ ἕνα [τὸ θέλημά της] μὲ τὸ θεῖο θέλημα Αὐτοῦ. Διότι τότε γίνεται ἀληθινὰ ἡ ψυχή, ὡς ψυχὴ τοῦ Κυρίου[12], μὲ τὸ νὰ ἐξουσιάζεται ἑκουσίως καὶ αὐτοπροαιρέτως ἀπὸ τὴν δύναμι τοῦ ἀγαθοῦ Πνεύματος, καὶ μὲ τὸ νὰ μὴν πορεύεται πλέον σύμφωνα μὲ τὸ δικό της θέλημα. Διότι λέγει [ὁ Ἀπόστολος]: «Ποιὸς θὰ μᾶς χωρίσῃ ἀπὸ τὴν ἀγάπη τοῦ Χριστοῦ», δηλαδὴ τὴν ψυχή, ποὺ ἑνώθηκε μὲ τὸ Ἅγιο Πνεῦμα;

129. Ἐκεῖνος, λοιπόν, ποὺ ἐπιθυμεῖ νὰ γίνῃ μιμητὴς τοῦ Χριστοῦ, γιὰ νὰ μπορέσῃ καὶ αὐτὸς νὰ κληθῇ υἱὸς τοῦ Θεοῦ, γεννημένος ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, πρὶν ἀπὸ ὅλα πρέπει τὶς θλίψεις ποὺ τοῦ συμβαίνουν, δηλαδὴ τὶς σωματικὲς

ἤτοι σωματικὰς νόσους ἢ τὰς ἐξ ἀνθρώπων ὕβρεις καὶ τὰ ὀνείδη, πρὸς δὲ καὶ τὰς ἐκ τῶν ἀοράτων ἐπιβουλάς, εὐψύχως καὶ καρτερικῶς ὑποφέρειν. Κατ᾽ οἰκονομίαν γὰρ Θεοῦ τὸ δοκίμιον ταῖς ψυχαῖς τῶν διαφόρων παραχωρεῖται θλίψεων, ἵνα φανεραὶ γένοιντο πάντως αἱ γνησίως ἀγαπῶσαι τὸν Κύριον. Σημεῖον δὲ τοῖς ἐκ παντὸς αἰῶνος Πατριάρχαις τε καὶ Προφήταις καὶ Ἀποστόλοις καὶ Μάρτυσι, οὐκ ἄλλως, ἀλλ᾽ ἢ διὰ τῆς ὁδοῦ τῆς στενοπόρου τῶν πειρασμῶν καὶ τῶν θλίψεων διελθεῖν ὑπῆρξε, καὶ οὕτως εὐαρεστῆσαι τῷ Θεῷ. Τέκνον, γάρ, φησὶν ἡ Γραφή, ἐὰν προσέρχῃ δουλεύειν τῷ Κυρίῳ, ἑτοίμασον τὴν ψυχήν σου εἰς πειρασμόν, εὔθυνον τὴν καρδίαν σου καὶ καρτέρησον[300]*. Καὶ ἀλλαχοῦ δέ· τὰ ἐπιφερόμενά σοι πάντα, ὡς ἀγαθὰ πρόσδεξαι, εἰδώς, ὅτι ἄτερ Θεοῦ οὐδὲν γίνεται. Τῆς ὑπομονῆς τοίνυν καὶ τῆς*

ἀσθένειες ἢ τὶς ὕβρεις καὶ τοὺς ὀνειδισμοὺς ἀπὸ τοὺς ἀνθρώπους, ἀκόμη δὲ καὶ τὰ κακόβουλα σχέδια τῶν ἀοράτων ἐχθρῶν ἐναντίον του, νὰ τὰ ὑπομένῃ μὲ γενναιοψυχία καὶ καρτερία. Διότι, κατ᾽ οἰκονομίαν Θεοῦ, παραχωρεῖται στὶς ψυχὲς ἡ δοκιμασία τῶν διαφόρων θλίψεων, ὥστε νὰ φανερωθοῦν ἐξ ἅπαντος αὐτὲς [οἱ ψυχές], ποὺ Τὸν ἀγαποῦν εἰλικρινά. Καὶ αὐτὸ ἦταν σημεῖο [τῆς ἁγιότητος] ὅλων τῶν αἰώνων, καὶ Πατριαρχῶν καὶ Ἀποστόλων καὶ Μαρτύρων, [τὸ] ὅτι [δηλαδὴ] διῆλθαν [τὴν ζωή τους], ὄχι μὲ ἄλλο τρόπο, ἀλλὰ μέσα ἀπὸ τὴν στενὴ ὁδὸ τῶν πειρασμῶν καὶ τῶν θλίψεων καὶ ἔτσι εὐαρέστησαν στὸν Θεό. Διότι λέγει ἡ Γραφή: «παιδί μου, ἂν ἔρχεσαι νὰ ὑπηρετήσῃς τὸν Κύριο, ἑτοίμασε τὴν ψυχή σου γιὰ πειρασμούς, νὰ ἔχῃς εὐθεῖα τὴν καρδία σου καὶ ὑπόμεινε». Καὶ ἀλλοῦ ἐπίσης· ὅλα ὅσα σοῦ συμβαίνουν δέξου τα ὡς ἀγαθά, γνωρίζοντας ὅτι χωρὶς [τὸ θέλημα] τοῦ Θεοῦ τίποτε δὲν γίνεται. Πρέπει λοιπόν, πρὶν ἀπὸ ὅλα, ἡ ψυχή, ἡ ὁποία θέλει νὰ εὐαρεστήσῃ στὸν Θεό,

ἐλπίδος πρὸ παντὸς ἄλλου ψυχῇ τῇ εὐαρεστῆσαι Θεῷ βουλομένῃ ἀντιληπτέον. Μία γὰρ καὶ αὕτη τῆς κακίας τέχνη, ἀκηδίαν ἡμῖν ἐμβάλλειν ἐν καιρῷ θλίψεως, ἵνα τῆς πρὸς τὸν Κύριον ἀποστήσῃ ἐλπίδος. Οὐδέποτε δὲ Θεὸς ἀφῆκε ψυχὴν τὴν ἐπ᾽ ἐκείνῳ ἐλπίζουσαν, καταπονηθῆναι τοῖς πειρασμοῖς, ὥστε καὶ ἐξαπορηθῆναι[301]*· πιστὸς γάρ, ὁ Ἀπόστολός φησιν, ὁ Θεός, ὃς οὐκ ἐάσει ἡμᾶς [recte: ὑμᾶς] πειρασθῆναι ὑπὲρ ὃ δύνασθε· ἀλλὰ ποιήσει σὺν τῷ πειρασμῷ καὶ τὴν ἔκβασιν τοῦ δύνασθαι ὑπενεγκεῖν*[302]*. Καὶ ὁ πονηρὸς δέ, οὐχ ὅσον ἐκείνῳ θέλησις λυπεῖ τὴν ψυχήν, ἀλλ᾽ ὅσον αὐτῷ ἐφεῖται παρὰ τοῦ Θεοῦ. Εἰ γὰρ ἀνθρώποις οὐκ ἄδηλον, πόσον ἂν ἡμιόνῳ βάρος, πόσον δὲ ὄνῳ, πόσον δὲ καμήλῳ ἀγώγιμον εἴη· ἀλλὰ τὸν φορητὸν ἑκάστῳ φόρτον ἐπιτιθέασι. Καὶ τῷ κεραμεῖ δὲ δῆλον πόσον τῷ πυρὶ χρὴ τὰ σκεύη παραδοῦναι*

νὰ ἀποκτήσῃ τὴν ὑπομονὴ καὶ τὴν ἐλπίδα. Διότι μία τέχνη τῆς κακίας [εἶναι] καὶ αὐτή, νὰ βάζῃ μέσα μας τὴν ἀκηδία κατὰ τὸν καιρὸ τῆς θλίψεως, γιὰ νὰ μᾶς ἀπομακρύνῃ ἀπὸ τὴν ἐλπίδα πρὸς τὸν Κύριο. Οὐδέποτε ὅμως ὁ Θεὸς ἄφησε ψυχή, ἡ ὁποία εἶχε τὴν ἐλπίδα της σὲ Ἐκεῖνον, νὰ καταβληθῇ ἀπὸ τοὺς πειρασμούς, ὥστε καὶ νὰ ἀπογοητευθῇ· «διότι», λέγει ὁ Ἀπόστολος, «εἶναι ἄξιος πάσης ἐμπιστοσύνης ὁ Θεός, ὁ Ὁποῖος [σύμφωνα μὲ τὶς ὑποσχέσεις Του], δὲν θὰ ἐπιτρέψῃ σὲ σᾶς νὰ πειρασθῆτε παραπάνω ἀπὸ τὴν δύναμί σας· ἀλλὰ μαζὶ μὲ τὸν πειρασμὸ θὰ φέρῃ καὶ τὸ τέλος [τοῦ πειρασμοῦ], ὥστε νὰ μπορῆτε νὰ τὸν ὑποφέρετε». Καὶ ὁ πονηρός, λοιπόν, δὲν στενοχωρεῖ τὴν ψυχὴ ὅσον ἐκεῖνος θὰ ἤθελε, ἀλλὰ ὅσο τοῦ ἐπιτρέπεται ἀπὸ τὸν Θεό. Ἐάν, λοιπόν, στοὺς ἀνθρώπους δὲν εἶναι ἄγνωστο πόσο βάρος θὰ μποροῦσε νὰ μεταφέρῃ ὁ ἡμίονος, πόσο ὁ ὄνος, πόσο δὲ ἡ καμήλα, ἀλλὰ φορτώνουν τὸ καθένα μὲ τὸ φορτίο, ποὺ μποροῦν νὰ σηκώσουν. Καὶ στὸν κεραμοποιό, ἐπίσης, εἶναι γνωστὸ πόσο χρόνο χρειάζεται νὰ ἀφήσῃ

χρόνον, ἵνα μὴ τὸ πλέον ἐμμείναντα διαῤῥαγῇ, μήτε πάλιν πρὸ τῆς ἀρκούσης πυρώσεως ἐκβληθέντα ἄχρηστα ᾖ. Εἰ τοσαύτη περὶ τὸν ἄνθρωπον σύνεσις, οὐχὶ πολλῷ πλέον, καὶ ἀπείρως πλέον, ἡ τοῦ Θεοῦ σύνεσις οἶδε πόσον ἑκάστῃ ψυχῇ τὸν πειρασμὸν δέον ἐπενεχθῆναι, ἵνα δόκιμος γένοιτο, καὶ ἐπιτηδεία πρὸς τὴν τῶν οὐρανῶν Βασιλείαν;

ρλ΄. Ὥσπερ τὸ τῆς κανάβεως χρῆμα, εἰ μὴ ἐπὶ πολὺ τυπτόμενον διαμείνῃ, οὐκ ἂν γένοιτο χρήσιμον εἰς λεπτοτάτων νημάτων ἐργασίαν· ἀλλ᾽ ὅσῳ περ ἂν τύπτοιτο καὶ ὅσον ξαίνοιτο, τοσοῦτον καθαρώτερόν τε καὶ εὐχρηστότερον γίνεται· καὶ ὃν τρόπον τὸ νεόπλαστον σκεῦος μὴ πυρὶ βληθέν, χρῆσθαι τοῖς ἀνθρώποις ἀνεπιτήδειον· καὶ ὡς τὸ νήπιον ἔτι πρὸς τὰ τοῦ κόσμου ἔργα ἀδόκιμον· οὔτε γὰρ οἰκοδομεῖν, οὔτε φυτεύειν, οὐ σπόρον κατατιθέναι δύναται, οὐχ ἕτερόν τι τῶν τοῦ κόσμου

τὰ σκεύη στὴν φωτιά, γιὰ νὰ μὴ σπάσουν, ἂν μείνουν παραπάνω, οὔτε πάλι ἂν τὰ βγάλῃ πρὶν νὰ πυρωθοῦν ἀρκετά, νὰ εἶναι ἄχρηστα. Ἐὰν [λοιπὸν] εἶναι τόσο μεγάλη ἡ σύνεσι στὸν ἄνθρωπο [ὥστε νὰ διευθετῇ σωστὰ τὰ ἔργα του], δὲν γνωρίζει πολὺ περισσότερο καὶ ἀπείρως περισσότερο ἡ σύνεσι τοῦ Θεοῦ, πόσο πρέπει νὰ ἐπιτεθῇ ὁ πειρασμὸς σὲ κάθε ψυχή, ὥστε νὰ γίνῃ δόκιμη καὶ κατάλληλη γιὰ τὴν Βασιλεία τῶν οὐρανῶν;

130. Ὅπως [ἡ κλωστικὴ ὕλη] τοῦ κανναβιοῦ, ἐὰν δὲν κτυπηθῇ γιὰ πολλὴ ὥρα, δὲν μπορεῖ νὰ χρησιμοποιηθῇ στὴν ἐπεξεργασία λεπτῶν νημάτων. Ἀλλὰ ὅσο [πιὸ πολὺ] χτυπιέται καὶ ὅσο ξαίνεται, τόσο πιὸ καθαρὸ καὶ πιὸ εὔχρηστο γίνεται. Καὶ ὅπως τὸ νεόπλαστο [πήλινο] σκεῦος, ἐὰν δὲν ριφθῇ στὴν φωτιά, εἶναι ἀκατάλληλο γιὰ νὰ χρησιμοποιηθῇ ἀπὸ τοὺς ἀνθρώπους. Καὶ ὅπως τὸ νήπιο εἶναι ἀκόμη ἀνίκανο γιὰ τὰ ἔργα τοῦ κόσμου, διότι δὲν μπορεῖ οὔτε νὰ οἰκοδομῇ, οὔτε νὰ φυτεύῃ, οὔτε νὰ σπέρνῃ, οὔτε κανένα ἄλλο ἀπὸ τὰ ἔρ-

ἔργων ἀνύειν· οὕτω καὶ ψυχαὶ πολλάκις κἂν θείας μετέσχον χάριτος καὶ εἶεν ἐμπληροφορούμεναι τῇ γλυκύτητι καὶ τῇ τοῦ Πνεύματος ἀναπαύσει, διὰ τὴν αὐτῶν νηπιότητα τῇ τοῦ Κυρίου χρηστότητι, ἀλλ᾽ οὖν μήπω δοκιμασθεῖσαι, μηδ᾽ ὑπὸ τῶν πονηρῶν πνευμάτων διαφόροις ἐξετασθεῖσαι θλίψεσιν, ἔτι τῆς νηπιότητος ἔχονται, καὶ ἵν᾽ οὕτως εἴπω, οὐδέπω πρὸς τὴν τῶν οὐρανῶν Βασιλείαν ἐπιτηδείως ἔχουσιν. Εἰ γὰρ χωρίς ἐστε παιδείας, φησὶν ὁ θεῖος Ἀπόστολος, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ υἱοί[302]. *Ὥστε καὶ οἱ πειρασμοὶ καὶ αἱ θλίψεις κατὰ τὸ λυσιτελὲς ἐπάγονται τῷ ἀνθρώπῳ, δοκιμωτέραν οὕτω καὶ στεῤῥοτέραν ἐργαζόμεναι τὴν ψυχήν· καὶ εἴπερ εἰς τέλος ὑπομείνοιε μετ᾽ ἐλπίδος τῆς πρὸς τὸν Κύριον, ἀμήχανον ἀποτυχεῖν αὐτὴν τῆς ἐπαγγελίας τοῦ Πνεύματος καὶ τῆς ἀπολυτρώσεως τῶν τῆς κα-*

γα τοῦ κόσμου νὰ κάνῃ· ἔτσι καὶ οἱ ψυχές, πολλὲς φορές, ἂν καὶ εἶχαν μετοχὴ στὴν θεία Χάρι καὶ ἂν [ἀκόμη] εἶχαν βεβαιωθῆ ἐσωτερικὰ γιὰ τὴν γλυκύτητα καὶ τὴν ἀνάπαυσι τοῦ [Ἁγίου] Πνεύματος, λόγῳ τῆς νηπιακῆς ἁπλότητός τους, χάρι στὴν ἀγαθότητα [βεβαίως] τοῦ Κυρίου, ἐπειδὴ ὅμως δὲν ἐδοκιμάσθηκαν ἀκόμη, οὔτε ἐξετάσθησαν ἀπὸ τὰ πονηρὰ πνεύματα μὲ διάφορες θλίψεις, ἐξακολουθοῦν νὰ εἶναι σὲ νηπιακὴ κατάστασι, καὶ γιὰ νὰ τὸ εἰπῶ ἔτσι, δὲν εἶναι καθόλου κατάλληλες γιὰ τὴν Βασιλεία [τῶν Οὐρανῶν]. «Διότι ἐὰν εἶσθε χωρὶς παιδαγωγία», λέγει ὁ θεῖος Ἀπόστολος, τῆς ὁποίας μέτοχοι ἔγιναν ὅλα [τὰ γνήσια τέκνα], «ἀποδεικνύεται ὅτι εἶσθε νόθοι καὶ ὄχι γνήσιοι υἱοί». Ὥστε καὶ οἱ πειρασμοὶ καὶ οἱ θλίψεις πρὸς ὠφέλεια ἐπέρχονται στὸν ἄνθρωπο, καθόσον καθιστοῦν τὴν ψυχὴ πιὸ ἄξια καὶ πιὸ σταθερή. Καὶ ἐὰν μέχρι τέλους ἤθελε ὑπομείνει μὲ τὴν ἐλπίδα πρὸς τὸν Κύριο, εἶναι ἀδύνατο αὐτὴ [ἡ ψυχὴ] νὰ μὴν ἐπιτύχῃ τὴν ὑπόσχεσι τοῦ [Ἁγίου] Πνεύματος [γιὰ τὴν σωτηρία της] καὶ τὴν ἀπελευθέρωσι

κίας παθῶν.

ρλα΄. Ὥσπερ πολλαῖς βασάνοις διωμιληκότες οἱ Μάρτυρες καὶ θανάτου μέχρι τὰ τῆς καρτερίας ἐπιδειξάμενοι, στεφάνων οὕτω καὶ τῆς δόξης γεγόνασιν ἄξιοι· καὶ ὅσῳ πλείοσι καὶ χαλεπωτέροις τοῖς ἐπιπόνοις ἐχρήσαντο, πλείονα καὶ τὴν δόξαν καὶ τὴν πρὸς Θεὸν ἐκτήσαντο παῤῥησίαν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ψυχαὶ διαφόροις παραδοθεῖσαι θλίψεσιν ἢ τῷ φαινομένῳ ταῖς ἐξ ἀνθρώπων ἐπερχομέναις ἢ τῷ νοουμένῳ λογισμοῖς ἀτόποις ἐγγιγνομέναις ἢ νόσοις σωματικαῖς ἀποτικτομέναις, εἰ μέχρι τέλους τὴν ὑπομονὴν διενέγκωσι, τῶν αὐτῶν τοῖς Μάρτυσι στεφάνων καὶ τῆς αὐτῆς ἐκείνοις ἐπιτεύξονται παῤῥησίας. Ἐπεὶ καὶ τὸ Μαρτύριον τῶν θλίψεων, ὅπερ ἐκεῖνοι δι᾽ ἀνθρώπων, οὗτοι διὰ τῶν τῆς πονηρίας πνευμάτων, τῶν ἐκείνοις ἐνεργησάντων, ὑπομεμενηκότες εἰσί· καὶ ὅσῳ πλεί-

ἀπὸ τὰ πάθη τῆς κακίας.

131. Ὅπως οἱ [Ἅγιοι] Μάρτυρες, ἀφοῦ ἐπέρασαν ἀπὸ πολλὰ βασανιστήρια καὶ ἔδειξαν τὰ [ἔργα] τῆς ὑπομονῆς τους μέχρι καὶ θανάτου, ἔτσι ἔγιναν ἄξιοι καὶ γιὰ τοὺς στεφάνους καὶ τὴν δόξα. Καὶ ὅσο περισσότερα καὶ σκληρότερα βάσανα ὑπέφεραν, [τόσο] περισσότερη ἦταν καὶ ἡ δόξα καὶ ἡ πρὸς τὸν Θεὸν παρρησία, ποὺ ἀπέκτησαν. Μὲ τὸν ἴδιο βέβαια τρόπο καὶ οἱ ψυχές, οἱ ὁποῖες παραδόθηκαν σὲ διάφορες θλίψεις, εἴτε αὐτὲς προξενήθηκαν φανερὰ ἀπὸ τοὺς ἀνθρώπους, εἴτε δημιουργήθηκαν ἐσωτερικὰ ἀπὸ ἀτόπους λογισμούς, εἴτε προκλήθηκαν ἀπὸ σωματικὲς ἀσθένειες, ἂν μέχρι τέλους κρατήσουν τὴν ὑπομονή τους, θὰ ἐπιτύχουν τοὺς ἴδιους στεφάνους μὲ τοὺς Μάρτυρες καὶ τὴν ἴδια μὲ ἐκείνους παρρησία πρὸς τὸν Θεό. Ἐπειδὴ ἔχουν ὑπομείνει καὶ τὸ Μαρτύριο τῶν θλίψεων, τὸ ὁποῖο ἐκεῖνοι [οἱ Μάρτυρες ὑπέμειναν] ἀπὸ τοὺς ἀνθρώπους, αὐτοὶ [δὲ] ἀπὸ τὰ πονηρὰ πνεύματα, τὰ ὁποῖα [καὶ] εὐθύνονται γιὰ τὶς θλίψεις ἐκείνων [τῶν Μαρτύρων]. Καὶ ὅσο περισσότερες

ους καὶ οὗτοι τοῦ ἀντικειμένου θλίψεις ὑπήνεγκαν, τοσούτῳ καὶ πλείονα τὴν δόξαν οὐκ εἰς τὸ μέλλον μόνον ἐκ Θεοῦ κομιοῦνται, ἀλλὰ κἀνταῦθα τῆς τοῦ ἀγαθοῦ Πνεύματος ἀξιωθήσονται παρακλήσεως.

ρλβ'. Ἐπεὶ τοιαύτη ὡμολόγηται ἡ πρὸς τὴν ἄνω ζωὴν φέρουσα τρίβος, στενή τε σφόδρα καὶ τεθλιμμένη[303]*, καὶ διὰ τοῦτο, καὶ ὀλίγους ἔχει τοὺς ταύτην διερχομένους, πᾶσαν τοῦ πονηροῦ πεῖραν διὰ τὴν ἐν οὐρανοῖς ἀποκειμένην ἐλπίδα στεῤῥῶς ὑπομενετέον. Ὅσας γὰρ ἂν καὶ ὑπενέγκωμεν θλίψεις, τί ἀντάξιον, ἢ πρὸς τὴν μέλλουσαν ἐπαγγελίαν, ἢ πρὸς τὴν ἐντεῦθεν ἐγγιγνομένην ταῖς ψυχαῖς ὑπὸ τοῦ ἀγαθοῦ Πνεύματος παράκλησιν, ἢ πρὸς τὴν ἀπολύτρωσιν τοῦ σκότους τῶν παθῶν τῆς κακίας, ἢ πρὸς τὸ τῶν χρεῶν πλῆθος τῶν ἡμετέρων ἁμαρτιῶν, εἰσοίσομεν; Οὐ γὰρ ἄξια, φησί, τὰ παθήματα τοῦ νῦν καιροῦ πρὸς τὴν μέλλουσαν δόξαν ἀποκαλυφθῆναι*

θλίψεις τοῦ ἐχθροῦ ὑπέφεραν καὶ αὐτοί, τόσο καὶ περισσότερη δόξα θὰ ἀποκομίσουν ὄχι μόνο στὸ μέλλον ἀπὸ τὸν Θεό, ἀλλὰ καὶ ἐδῶ θὰ ἀξιωθοῦν τῆς παρηγορίας τοῦ ἀγαθοῦ Πνεύματος.

132. Ἐπειδὴ ἡ ὁδός, ἡ ὁποία ὁδηγεῖ πρὸς τὴν ἄνω ζωή, ἔχει ἀποδειχθῆ «καὶ πολὺ στενὴ καὶ γεμάτη θλῖψι», καὶ γι᾽ αὐτὸ καὶ εἶναι ὀλίγοι αὐτοὶ ποὺ τὴν διέρχονται, πρέπει σταθερὰ νὰ ὑπομένωμε κάθε δοκιμασία ἀπὸ τὸν πονηρό, ὑπὲρ τῆς ἐλπίδος, ποὺ ἔχομε ἐναποθέσει στὸν οὐρανό. Διότι ὅσες θλίψεις καὶ ἂν ὑπομείνωμε, τί [μποροῦμε] νὰ προσφέρωμε ἀντάξιο τῆς ὑποσχέσεως γιὰ τὴν μέλλουσα [ζωή], ἢ τῆς παρηγορίας ποὺ ἔρχεται ἀπὸ τὸ ἀγαθὸ Πνεῦμα μέσα στὶς ψυχές μας ἀπὸ αὐτὴ τὴ ζωή, ἢ τῆς λυτρώσεώς μας ἀπὸ τὸ σκότος τῶν παθῶν τῆς κακίας, ἢ [τῆς ἀφέσεως] τοῦ πλήθους τῶν χρεῶν τῶν ἁμαρτιῶν μας; «Διότι δὲν εἶναι ἄξια», λέγει [ὁ Ἀπόστολος], «τὰ ὅσα πάσχομε κατὰ τὸν παρόντα καιρὸ ἐν συγκρίσει πρὸς τὴν δόξα, ἡ ὁποία μέλλει νὰ ἀποκαλυ-

εἰς ἡμᾶς[304]*. Πάντα τοίνυν, ὡς εἴρηται, καρτερητέον διὰ τὸν Κύριον δεῖ, οἷα γενναίους στρατιώτας τοῦ Βασιλέως ἡμῶν ὑπεραποθνήσκοντας. Διατὶ γὰρ ὅτε τῷ κόσμῳ καὶ τοῖς βιωτικοῖς προσείχομεν πράγμασιν, οὐ λυπηροῖς τοιούτοις περιεπίπτομεν, ἀλλὰ νῦν, ἐπεὶ προσήλθομεν δουλεῦσαι Θεῷ, τοὺς πολυτρόπους τούτους πειρασμοὺς ὑπομένομεν; Ὁρᾷς, ὅτι διὰ τὸν Χριστὸν αἱ θλίψεις, φθονοῦντος ἡμῖν τοῦ ἀντικειμένου τῆς τῶν ἐλπιζομένων ἀνταποδόσεως, χαύνωσίν τε καὶ ῥαθυμίαν ἐνθεῖναι ταῖς ἡμετέραις βουλομένου ψυχαῖς, ἵνα μή, εὐαρέστως ζήσαντες, τούτων ἀξιωθῶμεν; Ὅσῳ τοίνυν ὁ πονηρὸς ὁπλίζεται καθ᾽ ἡμῶν, ἂν ἡμεῖς εὐψύχως τὰς προσβολὰς ὑποφέρωμεν, πᾶσαι αἱ καθ᾽ ἡμῶν ἐκείνου μηχαναὶ λύονται, τῇ τοῦ Χριστοῦ συμμαχίᾳ. Καὶ γὰρ ἔχομεν τὸν ὑπερασπιστὴν ἡμῶν καὶ ὑπέρμαχον Ἰησοῦν· ἐνθυμηθῶμεν, ὅτι καὶ αὐτὸς τὸν αἰῶνα τοῦτον οὕτω*

φθῇ διὰ νὰ δοθῇ εἰς ἡμᾶς». Ὅλα, λοιπόν, ὅπως ἔχει λεχθῆ, πρέπει νὰ τὰ ὑπομείνωμε, γιὰ τὸν Κύριο, σὰν γενναῖοι στρατιῶτες ποὺ πεθαίνομε γιὰ τὸν Βασιλέα μας. Γιὰ ποιὸ λόγο, λοιπόν, ὅταν εἴμαστε [ἀκόμη] στὸν κόσμο καὶ ἀσχολούμεθα μὲ τὰ βιοτικὰ πράγματα, δὲν πέφταμε σὲ τέτοια λυπηρά, ἀλλὰ τώρα ἀφοῦ ἤλθαμε νὰ δουλεύσωμε στὸν Θεό, ὑπομένομε τοὺς πολύτροπους αὐτοὺς πειρασμούς; Βλέπεις, [λοιπόν], ὅτι οἱ θλίψεις μας εἶναι γιὰ τὸν Χριστό, διότι φθονεῖ ὁ ἐχθρὸς τὴν ἀνταπόδοσι [τῶν ἀγαθῶν], τὰ ὁποῖα ἐλπίζομε [νὰ ἀπολαύσωμε], καὶ θέλει νὰ βάλῃ μέσα στὶς ψυχές μας ἀκηδία καὶ ῥαθυμία, ὥστε νὰ μὴν ἀξιωθοῦμε αὐτῶν [τῶν ἀγαθῶν], ἔχοντας ζήσει εὐάρεστα [πρὸς τὸν Θεό]. Ὅσο λοιπὸν ὁ πονηρὸς ὁπλίζεται ἐναντίον μας, ἂν ἐμεῖς ὑποφέρωμε τὶς ἐπιθέσεις του μὲ γενναιοψυχία, ὅλα τὰ τεχνάσματά του ἐναντίον μας διαλύονται, μὲ τὴν συμμαχία τοῦ Χριστοῦ. Καὶ ὄντως ἔχομε τὸν Ἰησοῦ ὑπερασπιστή μας καὶ προστάτη μας. Ἂς ἔχωμε [δὲ πάντοτε] στὴ μνήμη μας,

διώδευσεν, ὀνειδιζόμενος, διωκόμενος, ἐμπαιζόμενος, τέλος καὶ ἀτίμῳ θανάτῳ διὰ Σταυροῦ τελειούμενος.

ρλγ΄. Εἴπερ βουλοίμεθα θλῖψιν ἅπασαν καὶ τοὺς πειρασμοὺς ὑπομένειν ῥᾳδίως, ὁ διὰ Χριστὸν θάνατος ἐπιθυμητὸς ἡμῖν ἔστω καὶ πρὸς ὀμμάτων διαπαντός. Τοιοῦτον γὰρ ἡμῖν καὶ ἐπίταγμα, τὸν Σταυρὸν αἴροντας αὐτῷ ἀκολουθεῖν[305]*· ὅπερ ἐστίν, εὐτρεπεῖς εἶναι καὶ ἑτοίμους πρὸς τὸ ἀποθανεῖν. Ἂν οὕτω διακείμενοι ὦμεν, πᾶσαν, ὡς εἴρηται, θλῖψιν ἀφανῆ τε καὶ δήλην, κατὰ πολὺ τὸ ῥᾷον ὑπομενοῦμεν· ὁ γὰρ καὶ ἀποθανεῖν ὑπὲρ Χριστοῦ δι᾿ ἐπιθυμίας ἔχων, σχολῇ γ᾿ ἂν πρὸς τὰ ἐπίπονα καὶ λυπηρὰ δυσχεράνοι; Παρὰ τοῦτο γὰρ καὶ βαρείας εἶναι τὰς θλίψεις ἡγούμεθα, παρὰ τὸ μὴ τὸν ὑπὲρ Χριστοῦ θάνατον καταθύμιον ἔχειν, μηδὲ πάντοτε Χριστῷ τὴν διάνοιαν ἀναρτᾶν. Ὁ δὲ ἐκεῖνον κληρονομῆσαι*

ὅτι καὶ Αὐτὸς μὲ αὐτὸν τὸν τρόπο ἔζησε στὸν κόσμο αὐτό, ὑβριζόμενος, διωκόμενος, χλευαζόμενος, τέλος [δὲ] καὶ θανατούμενος μὲ τὸν ἄτιμο διὰ Σταυροῦ θάνατο.

133. Ἐὰν θέλωμε μὲ εὐκολία νὰ ὑπομένωμε τὴν κάθε θλῖψι καὶ τοὺς πειρασμούς, ἂς μᾶς εἶναι πάντοτε ἐπιθυμητὸς καὶ πρὸ τῶν ὀφθαλμῶν μας ὁ θάνατος γιὰ τὸν Χριστό. Διότι αὐτὴ [εἶναι] καὶ ἡ ἐντολή [Του] σὲ μᾶς, «νὰ Τὸν ἀκολουθοῦμε σηκώνοντας τὸν σταυρό μας»· τὸ ὁποῖο σημαίνει νὰ εἴμαστε πρόθυμοι καὶ ἕτοιμοι γιὰ νὰ πεθάνωμε. Ἂν ἔχωμε αὐτὴ τὴν διάθεσι, θὰ ὑπομένωμε, ὅπως ἔχει λεχθῆ, πολὺ πιὸ εὔκολα κάθε θλῖψι καὶ ἀφανῆ καὶ φανερή. Διότι αὐτὸς ποὺ ἔχει τὴν ἐπιθυμία νὰ πεθάνῃ γιὰ τὸν Χριστό, καθόλου βέβαια δὲν θὰ δυσανασχετήσῃ μὲ τὰ ἐπίπονα καὶ λυπηρά. Γι᾿ αὐτό, λοιπόν, τὸν λόγο θεωροῦμε καὶ τὶς θλίψεις βαρειές, ἐπειδὴ δὲν ἐπιθυμοῦμε τὸν ὑπὲρ Χριστοῦ θάνατο, οὔτε πάντοτε ἔχομε προσηλωμένη τὴν διάνοιά μας στὸν Χριστό. Αὐτός, λοιπόν, ποὺ ἐπιθυμεῖ νὰ γίνῃ

ἐπιθυμῶν, καὶ τά αὐτοῦ πάθη ζηλοῦν ὁμοίως ἐπιθυμείτω. Ὥστε οἱ τὸν Κύριον ἀγαπᾶν λέγοντες, ἐν τούτῳ φανεροὶ γίνονται, ἐν τῷ πᾶσαν θλῖψιν ἐπερχομένην οὐ γενναίως μόνον, ἀλλὰ καὶ προθύμως διὰ τὴν εἰς αὐτὸν φέρειν ἐλπίδα.

ρλδ′. Χρὴ πρότερον τὸν τῷ Χριστῷ προσεληλυθότα, καὶ πρὸς βίαν πρὸς τὸ ἀγαθὸν ἕλκειν ἑαυτὸν καὶ οὐκ ἐθελούσης ἡμῶν τῆς καρδίας. Βιαστὴ γάρ, φησὶν ὁ ἀψευδὴς Κύριος, ἡ Βασιλεία τῶν οὐρανῶν, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν[306]*· καὶ ἀγωνίζεσθε, πάλιν ὁ αὐτός φησιν, εἰσελθεῖν διὰ τῆς στενῆς θύρας*[307]*. Χρὴ τοίνυν, ὡς εἴρηται, καὶ κατὰ τὸ ἀβούλητον ἑαυτοὺς πρὸς τὴν ἀρετὴν συνωθεῖν, πρὸς ἀγάπην, μὴ ἔχοντας ἀγάπην, πρὸς πρᾳότητα, ταύτης ὄντας ἐν ἀπορίᾳ, πρὸς τὸ συμπαθῆ καὶ φιλάνθρωπον τὴν καρδίαν ἔχειν, πρὸς τὸ ἀνέχεσθαι*

κληρονόμος Ἐκείνου, πρέπει ὁμοίως νὰ ἐπιθυμῇ νὰ μιμῆται καὶ τὰ πάθη Αὐτοῦ. Ὥστε ἐκεῖνοι, οἱ ὁποῖοι λέγουν ὅτι ἀγαποῦν τὸν Κύριο, μὲ αὐτὸ τὸ ἀποδεικνύουν, μὲ τὸ ὅτι κάθε θλῖψι, ποὺ τοὺς παρουσιάζεται τὴν ὑποφέρουν ὄχι μόνο μὲ γενναιότητα, ἀλλὰ καὶ μὲ προθυμία, μὲ τὴν ἐλπίδα ποὺ ἔχουν σ᾽ Αὐτόν.

134. Ἐκεῖνος, ὁ ὁποῖος προσῆλθε στὸν Χριστό, πρέπει πρωτίστως καὶ μὲ βία νὰ σύρῃ τὸν ἑαυτό του πρὸς τὸ ἀγαθὸ [ἀκόμη] καὶ ἂν δὲν τὸ θέλῃ ἡ καρδία μας. Διότι λέγει ὁ ἀψευδὴς Κύριος: «Ἡ Βασιλεία τῶν οὐρανῶν κερδίζεται μὲ τὴ βία καὶ ἐκεῖνοι, ποὺ μεταχειρίζονται βία ἐπὶ τοῦ ἑαυτοῦ των, τὴν ἀράζουν»· καὶ πάλι ὁ Ἴδιος λέγει: «Ἀγωνίζεσθε νὰ εἰσέλθετε [στὴν Βασιλεία τῶν οὐρανῶν] μέσῳ τῆς στενῆς πύλης». Πρέπει λοιπόν, καθὼς ἔχει λεχθῆ, [ἀκόμη] καὶ χωρὶς νὰ συμφωνῇ ἡ βούλησί μας[ιστ′], νὰ πιέζωμε τὸν ἑαυτό μας πρὸς τὴν ἀρετή, [δηλαδὴ] πρὸς τὴν ἀγάπη, ἐνῶ δὲν ἔχομε ἀγάπη, πρὸς τὴν πραότητα, ἐνῶ αὐτὴ μᾶς λείπει, πρὸς τὴν ἀπόκτησι στοργικῆς καὶ φιλανθρώπου καρδίας, ὥστε νὰ ἀνεχώμαστε

ἀτιμίας καὶ παροράσεως, καὶ τοῖς ἐξουθενημένοις ἐγκαρτερεῖν, οὔπω ταύτην ἐσχηκότας τὴν ἕξιν· πρὸς εὐχήν, μήπω πνεύματος εὐχὴν κεκτημένους. Ἂν οὕτως ἀγωνιζομένους ὁ Θεὸς ἴδῃ καὶ βιαίως ἑαυτούς, καίπερ ἀντιπραττούσης ὥσπερ ἡμῶν τῆς καρδίας, πρὸς τὸ ἀγαθὸν ἕλκοντας, δίδωσιν εὐχὴν ἀληθινήν, δίδωσι σπλάγχνα οἰκτιρμῶν, ὑπομονήν, μακροθυμίαν, καὶ ἁπαξαπλῶς πληροῖ πάντων ἡμᾶς τῶν καρπῶν τοῦ Πνεύματος[308]*. Εἰδέ τις καὶ τῶν ἄλλων ἀρετῶν ἐπιδεὴς ὤν, πρὸς μὲν εὐχὴν μόνην, εἰ τύχοι, καὶ παραβιάζοιτο ἑαυτόν, ὥστε σχεῖν εὐχῆς χάρισμα, πρὸς δέ γε πρᾳότητα, πρὸς ταπεινοφροσύνην τε καὶ ἀγάπην καὶ πᾶν τὸ εὐγενὲς φῦλον τῶν ἀρετῶν, ἔτι καὶ πρὸς τὸ βέβαιον εἶναι τὴν πίστιν καὶ τὴν πεποίθησιν εἰς τὸν Χριστόν, καὶ μὴ ὀλιγώρως ἔχειν καὶ ἀμερίμνως, τῷ τοιούτῳ, ἐνίοτε μέν, εὐχὴ δίδοται χάριτος*

τὴν ἀτιμία καὶ τὴν περιφρόνησι, καὶ νὰ καταδεχώμαστε τοὺς περιφρονημένους, ἐνῶ δὲν ἔχομε ἀκόμη αὐτὴ τὴν συνήθεια· πρὸς τὴν προσευχή, ἐνῶ ἀκόμη δὲν ἔχομε ἀποκτήσει ἐσωτερικὴ προσευχή. Ἂν ὁ Θεὸς [μᾶς] ἰδῇ ἔτσι ἀγωνιζομένους καὶ μὲ βία νὰ ἕλκωμε τοὺς ἑαυτούς μας πρὸς τὸ ἀγαθό, ἔστω καὶ ἂν φαίνεται ὅτι μᾶς ἀντιστέκεται ἡ καρδία μας, μᾶς χαρίζει ἀληθινὴ προσευχή, μᾶς δίνει εὔσπλαγχνη καρδία, ὑπομονή, μακροθυμία καὶ γενικὰ μᾶς γεμίζει μὲ ὅλους τοὺς καρποὺς τοῦ [Ἁγίου] Πνεύματος. Ἐὰν δὲ καὶ σὲ κάποιον συμβῇ, ἐνῶ τοῦ λείπουν οἱ ἄλλες ἀρετές, νὰ βιάζῃ τὸν ἑαυτό του μόνο γιὰ τὴν προσευχή, ὥστε νὰ λάβῃ τὸ χάρισμα τῆς προσευχῆς, [δὲν ἀγωνίζεται] ὅμως γιὰ τὴν πραότητα καὶ γιὰ τὴν ταπεινοφροσύνη καὶ ἀγάπη καὶ γιὰ [ὅλο] τὸ εὐγενὲς γένος τῶν ἀρετῶν, [οὔτε] ἀκόμη καὶ γιὰ τὴν βεβαία πίστι καὶ ἐμπιστοσύνη [στὸ πρόσωπο] τοῦ Χριστοῦ, καὶ νὰ μὴν εἶναι ἀμελής, οὔτε ἀδιάφορος, [τότε] σὲ αὐτὸν

ἐκ μέρους ἐν εὐφροσύνῃ καὶ ἀναπαύσει κατὰ τὴν ἐκείνου ζήτησιν παρὰ τοῦ ἀγαθοῦ πνεύματος· ἔρημος δὲ τῶν ἄλλων πάντων μένει καλῶν, τῷ μὴ καὶ πρὸς τὴν ἐκείνων κτῆσιν ἀποβιάσασθαι ἑαυτόν, ὥσπερ εἴρηται, μηδὲ δεηθῆναι Χριστοῦ. Χρὴ γὰρ μὴ πρὸς τὰ εἰρημένα μόνον ἑαυτὸν καὶ ἄκοντα συνωθεῖν, καὶ παρὰ Θεοῦ αἰτεῖν τοῦ λαβεῖν, ἀλλὰ καὶ πρὸς τὸ τὰ μὴ χρήσιμα τῶν ῥημάτων, καὶ ὅλως ἀργά, μηδὲ γλώττης ἄξια κρίνειν. Διαμελετᾶν δὲ ἀεὶ καὶ στόματι καὶ καρδίᾳ τὰ τοῦ Θεοῦ λόγια· ἔτι πρὸς τὸ μὴ θυμοῦσθαι μηδὲ κραυγῇ χρῆσθαι· πᾶσα γάρ, φησί, πικρία καὶ ὀργὴ καὶ κραυγὴ ἀρθήτω ἀφ' ὑμῶν[309]· πρὸς τὸ μὴ καταλαλεῖν τινός, μὴ κρίνειν, μὴ φυσιοῦσθαι[310], ἵν' οὕτως ἰδὼν ὁ Κύριος ἑαυτόν, ὡς εἴρηται, ἄγχοντα καὶ πρὸς βίαν συνέλκοντα, παράσχῃ πάντως τὸ ἀπονητὶ καὶ ῥᾳδίως ποιεῖν, ἃ πρότερον

κάποτε [μπορεῖ] μὲν νὰ δοθῇ ἐν μέρει ἡ Χάρι τῆς προσευχῆς μὲ εὐφροσύνη καὶ ἀνάπαυσι, ἀπὸ τὸ ἀγαθὸ Πνεῦμα, ὅπως τὸ ἐζήτησε· στερεῖται ὅμως ἀπὸ ὅλα τὰ ἄλλα καλά, ἐπειδὴ δὲν ἐβίασε τὸν ἑαυτό του γιὰ τὴν ἀπόκτησί τους, ὅπως ἔχει λεχθῇ, οὔτε παρεκάλεσε τὸν Χριστὸ [γιὰ αὐτά]. Πρέπει λοιπὸν [κανεὶς] νὰ ὠθῇ τὸν ἑαυτό του, [ἀκόμη] καὶ χωρὶς τὴν θέλησί του, ὄχι μόνο πρὸς ὅσα ἔχουν εἰπωθῇ, ἀλλὰ καὶ πρὸς τὸ νὰ ἀπαξιώνῃ νὰ λέγῃ αὐτά, ποὺ εἶναι ἄχρηστα καὶ παντελῶς μάταια. [Πρέπει] δὲ πάντοτε νὰ μελετᾷ προσεκτικὰ τὰ λόγια τοῦ Θεοῦ καὶ μὲ τὸ στόμα καὶ μὲ τὴν καρδία. Ἀκόμη δὲ νὰ μὴν θυμώνῃ οὔτε νὰ κραυγάζῃ. Διότι λέγει [ὁ Ἀπόστολος]: «ἂς φύγῃ μακριά σας κάθε ἐσωτερικὴ δυσαρέσκεια καὶ ὀργὴ καὶ [παράφορη] κραυγή». «Γιὰ νὰ μὴν κατηγορῆτε κανένα, οὔτε νὰ κατακρίνετε, οὔτε νὰ ὑπερηφανεύεσθε». Ἔτσι ὥστε, ἀφοῦ ὁ Κύριος τόν ἰδῇ, ὅπως ἔχει λεχθῇ, νὰ πιέζῃ καὶ νὰ βιάζῃ [τὸν ἑαυτό του], θὰ τοῦ δώσῃ ὁπωσδήποτε [τὴν Χάρι] νὰ κάνῃ ἄκοπα καὶ εὔκο-

οὐδὲ μετὰ βίας, διὰ τὴν σύνοικον πονηρίαν, ἐνεργεῖν ἐνῆν. Καὶ τότε γίνεται αὐτῷ πάντα ταῦτα τὰ τῆς ἀρετῆς ἐπιτηδεύματα, ὥσπερ φύσις, ἐπεὶ καὶ τὸ λοιπὸν ὁ Κύριος κατὰ τὴν ἐπαγγελίαν ἐλθὼν καὶ γενόμενος ἐν αὐτῷ[311]*, καὶ αὐτὸς ὁμοίως ἐν τῷ Κυρίῳ, αὐτὸς ἐν ἐκείνῳ μετὰ πολλῆς εὐπετείας τὰς ἐντολὰς ἐκπληροῖ.*

ρλε΄. Ὁ εἰς εὐχὴν μόνην ἀποβιασάμενος ἑαυτόν, ὡς ὁ λόγος φθάσας ἐδήλωσε, πρὸς ταῦτα δέ, πρὸς ταπεινοφροσύνην, πρὸς ἀγάπην, πρὸς πρᾳότητα καὶ τὸν τῶν ἄλλων ἀρετῶν ὁρμαθὸν μὴ ἐκπονῶν ἑαυτόν, μηδὲ βιαζόμενος, τοιούτῳ πέρατι καταντᾷ. Ἐνίοτε γὰρ αὐτῷ δεομένῳ καὶ θεία χάρις ἐπιφοιτᾷ· ἐπεὶ καὶ ἀγαθὸς ὢν ὁ Θεὸς ὀρέγει τοῖς αἰτοῦσι φιλανθρωπότερον τὰ αἰτήματα· μὴ συνεθίσας δὲ ἑαυτόν, μηδὲ ἐντριβῆ καὶ γεγυμνασμένον πρὸς τὰς ἀρετάς, ἃς ἔφημεν, καταστήσας, ἢ

λα, ἐκεῖνα ποὺ προηγουμένως οὔτε μὲ τὴν βία [δὲν μποροῦσε], ἐξ αἰτίας τῆς πονηρίας, ποὺ κατοικοῦσε καὶ ἐνεργοῦσε μέσα του. Καὶ τότε γίνονται ὅλα αὐτὰ τὰ ἔργα τῆς ἀρετῆς, ὡς φυσικὰ σὲ αὐτόν, ἐπειδὴ εἰς τὸ ἑξῆς ὁ Κύριος, σύμφωνα μὲ τὴν ὑπόσχεσί Του, ἀφοῦ ἦλθε καὶ ἔμεινε μέσα σὲ αὐτόν, καὶ αὐτὸς ὁμοίως μέσα στὸν Κύριο, αὐτὸς μὲ τὴν [Χάρι] Ἐκείνου, ἐκπληρώνει μὲ μεγάλη εὐκολία τὶς ἐντολές Του.

135. Ἐκεῖνος, ὁ ὁποῖος ἐβίασε τὸν ἑαυτό του μόνο στὴν προσευχή, ὅπως [πρὶν τὸ] ἐδήλωσε ὁ λόγος [μας], ἐνῶ γιὰ αὐτά, γιὰ τὴν ταπεινοφροσύνη [δηλαδή], γιὰ τὴν ἀγάπη, γιὰ τὴν πραότητα καὶ γιὰ τὸ σύνολο τῶν ἄλλων ἀρετῶν δὲν κοπιάζει, οὔτε βιάζει τὸν ἑαυτό του, σὲ αὐτὴ τὴν κατάληξι φθάνει. [Συμβαίνει] δηλαδὴ κάποιες φορές, ἐνῶ αὐτὸς προσεύχεται, νὰ τὸν ἐπισκέπτεται καὶ ἡ Θεία Χάρι· ἐπειδὴ καὶ ὁ Θεός, ὡς ἀγαθὸς ποὺ εἶναι, ἱκανοποιεῖ μὲ περισσὴ φιλανθρωπία τὰ αἰτήματα σὲ αὐτοὺς ποὺ τὰ ζητοῦν. Ἀφοῦ ὅμως αὐτὸς δὲν ἔχει συνηθίσει τὸν ἑαυτό του, οὔτε τὸν ἔχει καταστήσει ἔμπειρο καὶ ἐξασκημένο στὶς ἀρετές, τὶς ὁποῖες εἴπαμε, ἢ χάνει

ἐκπίπτει τῆς χάριτος ἣν ἔλαβε, καὶ ὑψηλοφρονήσας πίπτει, ἢ ἐν αὐτῇ ταύτῃ οὐκ ἐπιδίδωσιν, οὐδὲ αὔξει· ὡς γὰρ φάναι, τὸ κατοικητήριόν τε καὶ ἡ ἀνάπαυσις τοῦ ἀγαθοῦ πνεύματος ἡ ταπεινοφροσύνη ἐστίν, ἡ ἀγάπη τε καὶ ἡ πρᾳότης, καὶ ἀκολούθως αἱ ἅγιαι τοῦ Χριστοῦ ἐντολαί. Ὁ τοίνυν βουλόμενος διὰ πασῶν τούτων εἰς αὔξησιν καὶ τελείωσιν προελθεῖν, τὴν μὲν πρώτην εἰσοικιζέσθω ἑαυτῷ καὶ βιαζέσθω φιλεῖν, ὥσπερ εἴρηται, καὶ φιλονεικοῦσαν ἑαυτοῦ τὴν καρδίαν καὶ ἀντερίζουσαν, ἐνδοτικὴν καὶ πειθήνιον τῷ Θεῷ ποιεῖν σπουδαζέτω. Τῷ γὰρ οὕτω βιασαμένῳ πρότερον, καὶ τὸ ἀντιτεῖνον τῆς ψυχῆς ὅλον οἱονεὶ χειρόηθες καταστήσαντι, ἔθει τε χρηστῷ κατήκοον ἐκείνῳ ποιησαμένῳ, καὶ μεθ᾽ οὕτως ἐχούσης ψυχῆς αἰτοῦντι καὶ δεομένῳ, αὔξει καὶ θάλλει ἐν αὐτῷ τὸ δοθὲν ὑπὸ τοῦ Πνεύματος

τὴν Χάρι, τὴν ὁποία ἔλαβε, καὶ ἀφοῦ ὑπερηφανευθῇ πέφτει, ἢ [παραμένοντας] σὲ αὐτή, δὲν προοδεύει, οὔτε [τὴν] αὐξάνει. Διότι, ὅπως εἴπαμε, ἡ κατοικία καὶ ἡ ἀνάπαυσι τοῦ ἀγαθοῦ Πνεύματος εἶναι ἡ ταπεινοφροσύνη καὶ ἡ ἀγάπη καὶ ἡ πραότητα καὶ ἐν συνεχείᾳ [ὅλες] οἱ ἅγιες ἐντολὲς τοῦ Χριστοῦ. Αὐτός, λοιπόν, ὁ ὁποῖος θέλει νὰ προχωρήσῃ μέσῳ ὅλων αὐτῶν σὲ [πνευματικὴ] πρόοδο καὶ τελειότητα, τὴν μὲν πρώτη [δηλαδὴ τὴν ταπεινοφροσύνη] ἂς τὴν λάβῃ μέσα του καὶ ἂς βιάζῃ τὸν ἑαυτό του νὰ τὴν ἀγαπᾷ, ὅπως ἔχει λεχθῆ, καὶ ἂν ἡ καρδία του φιλονικῇ καὶ ἀντιστέκεται, [αὐτὸς] ἂς φροντίζῃ νὰ τὴν κάνῃ ὑποχωρητικὴ καὶ ὑπάκουη στὸν Θεό. Διότι σ᾽ ἐκεῖνον, ὁ ὁποῖος προηγουμένως ἐφήρμοσε τέτοια βία στὸν ἑαυτό του, καὶ τρόπον τινὰ [κατέστειλε] τὴν ἀντίστασι τῆς ψυχῆς [του καὶ αὐτὴν τὴν] κατέστησε εὔχρηστη, καὶ μὲ τὴν καλὴ συνήθεια τὴν ἔκανε τελείως ὑπάκουη σὲ Αὐτὸν καὶ ἔπειτα, μὲ αὐτὴ τὴν ψυχικὴ κατάστασι, ζητᾷ καὶ προσεύχεται, [τότε] αὐξάνει καὶ ἀνθεῖ μέσα του τὸ χάρισμα τῆς προ-

τῆς εὐχῆς χάρισμα, τῷ μετρίῳ τοῦ φρονήματος ἐπαναπαυόμενον· ὃ πρὸς τῇ ἀγάπη καὶ τῇ ἀγαπητικῇ πρᾳότητι ἐπεζήτησε· καὶ τότε χαρίζεται αὐτῷ καὶ αὐτὰ τὸ πνεῦμα, καὶ διδάσκει ταπεινοφροσύνην τε ἀληθῆ καὶ ἀγάπην ἀψευδῆ καὶ πρᾳότητα, ἃ καὶ προβιασάμενος ἐπεζήτησε. Οὕτως οὖν αὐξήσας καὶ τελειωθεὶς κατὰ Κύριον, τῆς Βασιλείας ἄξιος ἀποδείκνυται. Ὁ γὰρ ταπεινὸς οὐδέποτε πίπτει· ποῦ γὰρ καὶ πεσεῖται, ὁ ὑποκάτω πάντων, τόγε ἑαυτοῦ, ὤν; Ὥστε μεγάλη μὲν ὑψηλοφροσύνη ταπείνωσις, μεγάλη δὲ τοὐναντίον ὕψωσις καὶ ἀσφαλὲς ἀξίωμα ἡ ταπεινοφροσύνη.

ρλς΄. Οἱ πρὸς ἀλήθειαν τὸν Θεὸν ἀγαπήσαντες, οὔτε διὰ τὴν Βασιλείαν αὐτῷ δουλεύειν προῄρηνται, καθάπερ ἐμπορίας χάριν καὶ κέρδους, οὔτε μὴν διὰ τὴν ἀποκειμένην τοῖς ἁμαρτωλοῖς κόλασιν· ἀλλ᾽ ἅτε Θεὸν μόνον αὐτὸν καὶ Δη-

σευχῆς, ποὺ τοῦ δόθηκε ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, ἐπειδὴ [Αὐτὸ] ἐπαναπαύεται στὴν μετριοφροσύνη. Αὐτὸ [τὸ χάρισμα] τὸ ἐζήτησε μὲ ἀγάπη [γιὰ τὸν Θεὸ] καὶ ἀγαπητικὴ πραότητα. Καὶ γι᾽ αὐτὸ τὸ [Ἅγιο] Πνεῦμα τοῦ χαρίζει [ὅλα] αὐτὰ καὶ τὸν διδάσκει τὴν ἀληθινὴ ταπεινοφροσύνη καὶ τὴν γνήσια ἀγάπη καὶ πραότητα, τὰ ὁποῖα [ἐκεῖνος] ἐζήτησε, ἀφοῦ πρῶτα ἐβίασε τὸν ἑαυτό του. Ἔτσι λοιπόν, ἀφοῦ προοδεύσῃ καὶ φθάσῃ στὴν τελειότητα, σύμφωνα μὲ τὸ θέλημα τοῦ Κυρίου, ἀποδεικνύεται ἄξιος τῆς Βασιλείας [Του]. Διότι ὁ ταπεινὸς δὲν πέφτει ποτέ. Δηλαδὴ ποῦ νὰ πέσῃ αὐτός, ποὺ τὸν ἑαυτό του τὸν ἔχει κάτω ἀπὸ ὅλους; Ὥστε ἡ ὑψηλοφροσύνη [εἶναι] μεγάλη κατάπτωσι, ἐνῶ ἡ ταπεινοφροσύνη, ἀντίθετα, μεγάλη τιμὴ καὶ βέβαιο ἀξίωμα.

136. Ἐκεῖνοι, οἱ ὁποῖοι ἀγάπησαν ἀληθινὰ τὸν Θεό, δὲν ἐπέλεξαν νὰ Τὸν ὑπηρετοῦν οὔτε γιὰ τὴν [Οὐράνια] Βασιλεία, ὅπως [θὰ λέγαμε] χάριν ἐμπορίου καὶ κέρδους, οὔτε βέβαια λόγῳ [τοῦ φόβου] τῆς κολάσεως, ποὺ ἐπιφυλάσσεται στοὺς ἁμαρτωλούς· ἀλλὰ ἐπειδὴ ἀγάπησαν Αὐτὸν ὡς

μιουργὸν ἴδιον ἠγαπηκότες καὶ ἀκολουθίᾳ τάξεως ἐπιγνόντες, ὅτι δεσπότῃ καὶ κτίστῃ δούλους εὐαρεστεῖν ὀφειλόμενον· οἳ καὶ πολλῇ τῇ συνέσει πρὸς τὰ παραπίπτοντα χρῶνται. Πολλὰ γὰρ τὰ ἐμπόδια τῆς πρὸς Θεὸν τυγχάνει εὐαρεστήσεως· ἐπεὶ μηδὲ πενία μόνον καὶ ἀδοξία, ἀλλὰ καὶ πλοῦτος καὶ τιμὴ ὁμοίως πειρασμοὶ καθίστανται τῇ ψυχῇ· ἐν μέρει δέ πως καὶ ἡ παράκλησις αὐτὴ καὶ ἡ ἄνεσις ἐκείνη, ἡ ὑπὸ τῆς χάριτος καταλαμβάνουσα τὴν ψυχήν, εἰ μὴ αἴσθηται ταύτης ἡ καταξιωθεῖσα, καὶ πολλῷ τῷ μετρίῳ καὶ συνετῷ χρήσηται, πολὺ τὸ εὔκολον ἔχει πρὸς τὸ πειρατήριον αὐτῇ μᾶλλον καὶ κώλυμα καταστῆναι· ἅτε τῆς κακίας προφάσει τῆς δὲ τῆς χάριτος ὑπολύειν αὐτῇ τὸν τόνον, χαύνωσίν τε καὶ ὀλιγωρίαν ἐνιέναι μηχανωμένης. Διὸ καὶ αὐτὴ ἡ χάρις εὐλαβοῦς δεῖται πρὸς μετάληψιν καὶ εὐσυνέτου ψυχῆς· ὥστε καὶ τιμῆσαι

μόνο Θεὸ καὶ Δημιουργό τους καὶ ἀναγνώρισαν τὴν τάξι ποὺ πρέπει νὰ ἀκολουθῆται, ὅτι δηλαδὴ οἱ δοῦλοι ὀφείλουν νὰ εὐαρεστοῦν στὸν Κύριο καὶ Κτίστη τους· οἱ ὁποῖοι [δοῦλοι] καὶ ἀντιμετωπίζουν ὅσα [τοὺς] συμβαίνουν, μὲ μεγάλη σύνεσι. Διότι τυχαίνουν πολλὰ ἐμπόδια γιὰ τὴν εὐαρέστησι στὸ Θεό· ἐπειδὴ ὄχι μόνο ἡ φτώχεια καὶ ἡ ἀφάνεια, ἀλλὰ ὁμοίως καὶ ὁ πλοῦτος καὶ ἡ τιμὴ γίνονται πειρασμοὶ γιὰ τὴν ψυχή· κατὰ ἕνα μέρος, βέβαια, καὶ ἡ παρηγορία καὶ ἡ ἀνάπαυσι ἐκείνη, ἡ ὁποία διὰ τῆς [Θείας] Χάριτος γεμίζει τὴν ψυχή, ἐὰν δὲν τὴν ἀντιμετωπίσῃ σωστὰ ἡ ψυχή, ἡ ὁποία ἀξιώθηκε [νὰ τὴν λάβῃ], καὶ δὲν τὴν χρησιμοποιήσῃ μὲ πολλὴ μετριοφροσύνη καὶ σύνεσι, μπορεῖ πολὺ εὔκολα νὰ ἀποβῇ σ᾽ ἐκείνη πειρασμὸς μᾶλλον καὶ ἐμπόδιο. Διότι ἡ κακία, μὲ πρόφασι τὴν Χάρι, χαλαρώνει τὸν τόνο τῆς ψυχῆς, ἐπινοώντας [τρόπους] γιὰ νὰ τῆς προξενήσῃ χαύνωσι καὶ ἀμέλεια. Συνεπῶς καὶ αὐτὴ ἡ Χάρι, γιὰ νὰ μεταδοθῇ, χρειάζεται εὐλαβῆ καὶ συνετὴ ψυχή· ὥστε καὶ νὰ

ταύτην καὶ ἀξίους τοὺς καρποὺς ἐπιδείξασθαι. Κινδυνεύει τοίνυν οὐ τὰς θλίψεις μόνον, ἀλλὰ καὶ τὰς ἀνέσεις πειρατήριον γίνεσθαι τῇ ψυχῇ· ἐπεὶ καὶ δι᾽ ἀμφοτέρων αἱ ψυχαὶ τῷ κτίσαντι δοκιμάζονται, ἵνα δῆλοι σαφῶς γένωνται, τίνες αἱ μὴ κέρδους αἰτίαν θέμεναι τὴν πρὸς ἐκεῖνον ἀγάπην, ἀλλ᾽ αὐτὸν μόνον τὸν πολλῆς τῳόντι καὶ φιλίας καὶ τιμῆς ἄξιον. Ὥσπερ δὲ τῷ ἀμελεῖ καὶ περὶ τὴν πίστιν ἐνδεεῖ καὶ τῷ φρονήματι νηπιάζοντι, ἐμπόδιον πρὸς τὴν αἰωνίαν ζωὴν ταῦτα γίνεται, ἤτοι τὰ λυπηρὰ καὶ ἐπίπονα, νόσοι, πενίαι, καὶ ἀδοξίαι, ἢ τοὐναντίον πλοῦτος, δόξα, καὶ οἱ ἐξ ἀνθρώπων μακαρισμοί· πρὸς δὲ καὶ ὁ ἐν τῷ ἀφανεῖ πλήττων τοῦ πονηροῦ πόλεμος· οὕτω πάλιν ἀντιστρέφων εὑρήσεις, ὅτι τῷ πιστῷ καὶ συνετῷ καὶ γενναίῳ συνεργὰ μᾶλλον πρὸς τὴν τοῦ Θεοῦ καθίσταται Βασιλείαν. Τοῖς γὰρ τὸν Θεὸν ἀγαπῶσι, κατὰ τὸν θεῖον Ἀπόστο-

Τὴν τιμήσῃ καὶ νὰ παρουσιάσῃ ἀξίους καρπούς. Ὑπάρχει λοιπὸν κίνδυνος ὄχι μόνον οἱ θλίψεις, ἀλλὰ καὶ οἱ ἀνέσεις νὰ γίνουν πειρασμὸς γιὰ τὴν ψυχή. Ἐπειδὴ καὶ μὲ τὰ δύο οἱ ψυχὲς δοκιμάζονται ἀπὸ τὸν Πλάστη τους, γιὰ νὰ φανερωθοῦν μὲ σαφήνεια, ποιὲς [εἶναι ἐκεῖνες], οἱ ὁποῖες δὲν θεωροῦν τὴν ἀγάπη πρὸς Ἐκεῖνον ὡς αἰτία κέρδους, ἀλλὰ [θεωροῦν κέρδος] μόνον Αὐτόν, ὁ Ὁποῖος [εἶναι] πράγματι ἄξιος μεγάλης ἀγάπης καὶ τιμῆς. Ὅπως δὲ ἀκριβῶς σὲ αὐτόν, ὁ ὁποῖος εἶναι ἀμελὴς καὶ ὀλιγόπιστος καὶ νηπιάζει στὸ φρόνημα, γίνονται ἐμπόδιο γιὰ τὴν αἰώνια ζωὴ αὐτά, δηλαδὴ τὰ λυπηρὰ καὶ κοπιαστικά, ἀσθένειες, φτώχεια καὶ ἀφάνεια, ἢ [ἀκόμα καὶ] τὰ ἀντίθετα, πλοῦτος, δόξα καὶ ἔπαινοι ἀπὸ τοὺς ἀνθρώπους· ἐπιπλέον δὲ καὶ ὁ πόλεμος τοῦ πονηροῦ, ποὺ ἐπιτίθεται ἀφανῶς. Ἔτσι πάλι, ἐὰν τὰ ἀντιστρέψῃς, θὰ ἀνακαλύψῃς, ὅτι στὸν πιστὸ καὶ συνετὸ καὶ γενναῖο, αὐτὰ μᾶλλον συνεργοῦν [στὴν ἀπόκτησι] τῆς Βασιλείας τοῦ Θεοῦ. Διότι «σὲ αὐτοὺς ποὺ ἀγαποῦν τὸν Θεό», κατὰ τὸν Θεῖο

λον, πάντα συνεργεῖ εἰς τὸ ἀγαθόν[312]*. Δείκνυται οὖν ἐντεῦθεν, ὅτι τὰ ἐν τῷ κόσμῳ πάντα ἐμπόδιον εἶναι νομιζόμενα, διαῤῥήξας καὶ νικήσας καὶ ὑπερβὰς ὁ ἀληθῶς φιλόθεος, τοῦ θείου μόνου περιέχεται φίλτρου. Σχοινία γὰρ ἁμαρτωλῶν περιεπλάκησάν μοι, ὁ θεῖος φησὶ Προφήτης, καὶ τοῦ νόμου σου οὐκ ἐπελαθόμην*[313]*.*

ρλζʹ. Ὁ θεῖος Ἀπόστολος Παῦλος ἀκριβέστερόν τε καὶ τηλαυγέστερον τὸ ἐντελὲς τοῦ Χριστιανισμοῦ μυστήριον ἑκάστῃ πιστευούσῃ ψυχῇ δεδήλωκε, δι᾽ ἐνεργείας θείας εἰς πεῖραν ἰέναι· ὅπερ ἐστίν, ἡ ἐπουρανίου φωτὸς ἐν ἀποκαλύψει καὶ δυνάμει τοῦ Πνεύματος ἔλλαμψις· ἵνα μή τις τὸν διὰ γνώσεως νοημάτων φωτισμὸν τοῦ Πνεύματος μόνον εἶναι νομίσας, κινδυνεύσῃ δι᾽ ἄγνοιάν τε καὶ ῥαθυμίαν τοῦ τελείου τῆς χάριτος ἀποτυχεῖν μυστηρίου. Διὰ τοῦτο καὶ τὸ ὑπό-

Ἀπόστολο, «ὅλα συνεργοῦν γιὰ τὸ καλό τους». Ἀποδεικνύεται λοιπὸν ἀπὸ [αὐτὰ] ἐδῶ, ὅτι ὅταν ὁ ἀληθινὰ φιλόθεος διαρρήξῃ καὶ νικήσῃ καὶ ὑπερπηδήσῃ ὅλα τὰ τοῦ κόσμου, τὰ ὁποῖα θεωροῦνται ἐμπόδιο, διακατέχεται μόνο ἀπὸ τὸ θεῖο ἔρωτα. «Οἱ πλεκτάνες τῶν ἁμαρτωλῶν περιεπλέχθησαν ὡς ἄλλα σχοινία ἐπάνω μου», λέγει ὁ θεῖος Προφήτης, «καὶ ὅμως οὔτε τότε δὲν ἐλησμόνησα τὸν νόμο Σου».

137. Ὁ θεῖος Ἀπόστολος Παῦλος ἔχει ἀποκαλύψει μὲ τὴν μεγαλύτερη ἀκρίβεια καὶ σαφήνεια, ὅτι τὸ τέλειο μυστήριο τοῦ Χριστιανισμοῦ σὲ κάθε πιστὴ ψυχὴ γνωρίζεται μὲ τὴν ἐμπειρία τῆς θείας ἐνεργείας· ἡ ὁποία εἶναι ἡ ἔλλαμψι τοῦ ἀκτίστου φωτὸς διὰ τῆς ἀποκαλύψεως καὶ δυνάμεως τοῦ [Ἁγίου] Πνεύματος. Ὥστε νὰ μὴν κινδυνεύσῃ κανείς, ἀπὸ ἄγνοια καὶ ραθυμία, νὰ ἀποτύχῃ [καὶ στερηθῇ] τὸ τέλειο μυστήριο τῆς Θείας Χάριτος, νομίζοντας, ὅτι ὁ φωτισμὸς τοῦ [Ἁγίου] Πνεύματος [γίνεται] μόνο μὲ τὴν [ψιλὴ] γνῶσι τῶν [θείων] νοημάτων. Γι᾽ αὐτὸ καὶ ἔφερε ὡς παράδειγμα τὴν

δειγμα τῆς τῷ προσώπῳ Μωσέως περικειμένης τοῦ Πνεύματος δόξης[314]*, εἰς παράστασιν ὡμολογημένην τῆς γνώσεως ἤνεγκε· φησὶ γοῦν· εἰ δὲ ἡ διακονία τοῦ θανάτου ἐν γράμμασιν ἐντετυπωμένη ἐν λίθοις, ἐγενήθη ἐν δόξῃ, ὥστε μὴ δύνασθαι τοὺς υἱοὺς Ἰσραὴλ ἀτενίσαι εἰς πρόσωπον Μωσέως διὰ τὴν δόξαν τοῦ προσώπου αὐτοῦ τὴν καταργουμένην, πόσῳ μᾶλλον ἡ διακονία τοῦ Πνεύματος ἔσται ἐν δόξῃ; Εἰ γὰρ ἡ διακονία τῆς κατακρίσεως δόξα, πολλῷ μᾶλλον περισσεύει ἡ διακονία τῆς δικαιοσύνης ἐν δόξῃ· καὶ γὰρ οὐ δεδόξασται τὸ δεδοξασμένον ἐν τούτῳ τῷ μέρει, ἕνεκεν τῆς ὑπερβαλλούσης δόξης· εἰ γὰρ τὸ καταργούμενον διὰ δόξης, πολλῷ μᾶλλον τὸ μένον ἐν δόξῃ*[315]*· καταργούμενον εἴρηκε διὰ τὸ θνητῷ σώματι Μωσέως περικεῖσθαι τὴν τοῦ φωτὸς δόξαν.*

δόξα τοῦ [Ἁγίου] Πνεύματος, ποὺ περιέβαλλε [ὡς λάμψι] τὸ πρόσωπο τοῦ Μωϋσῆ, γιὰ νὰ παραστήσῃ ἀδιαμφισβήτητη [αὐτὴ] τὴ γνῶσι. Λέγει, λοιπόν: «Ἐὰν ἡ διακονία τοῦ νόμου, ποὺ ὁδηγεῖ στὸν θάνατο, [καὶ] εἶχε χαραχθῆ μὲ γράμματα σὲ λίθους, συνοδεύθηκε μὲ δόξα, ὥστε νὰ μὴ μποροῦν οἱ Ἰσραηλῖτες νὰ κοιτάξουν κατ᾽ εὐθεῖαν τὸ πρόσωπο τοῦ Μωϋσῆ ἀπὸ τὴν λαμπρότητα τοῦ προσώπου του, ἡ ὁποία ἦταν πρόσκαιρη καὶ θὰ κατηργεῖτο, πῶς δὲν θὰ εἶναι περισσότερο ἔνδοξη ἡ διακονία [τῆς Καινῆς Διαθήκης], ποὺ δίδει τὴ Χάρι τοῦ Ἁγίου Πνεύματος; Διότι, ἐὰν ἡ διακονία ἐκείνη, ποὺ κατέληγε στὴν κατάκρισι, ἦταν ἔνδοξη, πολὺ περισσότερη ἄφθονη δόξα ἔχει ἡ διακονία, ποὺ παρέχει στοὺς ἀνθρώπους τὴν δικαίωσι. Καὶ πράγματι, δὲν εἶναι κἂν δόξα ἡ δόξα τοῦ Παλαιοῦ Νόμου, ἐὰν συγκριθῆ πρὸς τὴν Καινὴ Διαθήκη, λόγῳ τῆς ὑπερβολικῆς δόξας ποὺ ἔχει Αὐτή. Διότι ἐὰν [ὁ Νόμος τῆς Παλαιᾶς Διαθήκης], ποὺ θὰ κατηργεῖτο, δοξάσθηκε, πολὺ περισσότερο ἔνδοξη εἶναι [ἡ Καινὴ Διαθήκη, ἡ ὁποία μένει καὶ δὲν θὰ καταργηθῆ ποτέ». Εἶπε «καταργούμενο», διότι ἡ λάμψι τῆς δόξας περιέβαλλε τὸ θνητὸ σῶμα τοῦ

Καὶ ἐπάγει· ἔχοντες οὖν τοιαύτην ἐλπίδα, πολλῇ παῤῥησίᾳ χρώμεθα[316]· καὶ προβὰς μικρόν, ἔδειξε τὴν ἀδιάῤῥευστον καὶ ἀθάνατον ἐκείνην τοῦ Πνεύματος ἐν ἀποκαλύψει δόξαν, νῦν ἐν τῷ ἀθανάτῳ τοῦ ἔσω ἀνθρώπου τοῖς ἀξίοις ἀθανάτως τε καὶ ἀκαταργήτως ἐλλάμπεσθαι. Φησὶ γοῦν· ἡμεῖς δὲ πάντες, τουτέστιν οἱ κατὰ τελείαν πίστιν ἐκ τοῦ Πνεύματος γεννηθέντες, ἀνακεκαλυμμένῳ προσώπῳ τὴν δόξαν Κυρίου κατοπτριζόμεθα, τὴν αὐτὴν εἰκόνα μεταμορφούμενοι ἀπὸ δόξης εἰς δόξαν, καθάπερ ἀπὸ Κυρίου Πνεύματος[317]· ἀνακεκαλυμμένῳ προσώπῳ, τῷ τῆς ψυχῆς δηλαδή· καί, ἡνίκα δὲ ἐπιστρέψῃ τις πρὸς Κύριον, περιερεῖται τὸ κάλυμμα· ὁ δὲ Κύριος τὸ πνεῦμά ἐστι[318]. Φανερῶς οὖν διὰ τούτων ἀπέδειξε, κάλυμμα σκότους ἐπιβεβλῆσθαι τῇ ψυχῇ· ὅπερ ἀπὸ τῆς τοῦ Ἀδὰμ παραβάσεως, χώραν

Μωϋσῆ. Καὶ προσθέτει: «ἔχοντες λοιπὸν μιὰ τέτοια ἐλπίδα, μεταχειριζόμεθα πολλὴ παρρησία». Καὶ προχωρώντας λίγο ἔδειξε, ὅτι ἡ ἄφθαρτη καὶ ἀθάνατη ἀποκαλυφθεῖσα δόξα τοῦ [Ἁγίου] Πνεύματος [μπορεῖ] τώρα νὰ λάμπῃ καὶ ἀθάνατα καὶ ἀκατάλυτα στὴν ψυχὴ τοῦ ἀνθρώπου, στοὺς ἀξίους. Λέγει, λοιπόν: «Ὅλοι ἐμεῖς, δηλαδή, ὅσοι γεννηθήκαμε ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα κατὰ τὴν ὀρθὴ πίστι, χωρὶς κάλυμμα στὸ πρόσωπο, δεχόμαστε ὡς καθρέπτες τὴν λάμψι τοῦ Κυρίου, καὶ μεταμορφωνόμαστε στὴν εἰκόνα Του, [στὸ ἐσωτερικό μας δηλαδὴ σχηματίζεται ἡ μορφὴ τοῦ Κυρίου] καὶ προοδεύομε ἀπὸ λαμπρότητα σὲ λαμπρότητα, ὅπως εἶναι ἑπόμενο νὰ συμβαίνῃ σὲ ὅσους δέχονται λαμπηδόνες ἀπὸ τὸ Κύριον Πνεῦμα»[13]· μὲ ἀκάλυπτο τὸ πρόσωπο δηλαδὴ τῆς ψυχῆς. «Καὶ τὸ κάλυμμα ἀφαιρεῖται, μόλις ἐπιστρέψῃ κανεὶς στὸν Κύριο. Καὶ ὁ Κύριος εἶναι τὸ [Ἅγιο] Πνεῦμα». Μὲ αὐτά, λοιπόν, ἀπέδειξε φανερά, ὅτι ἔχει τοποθετηθῆ ἕνα σκοτεινὸ κάλυμμα ἐπάνω στὴν ψυχή· τὸ ὁποῖο, ἀπὸ τὴν παράβασι τοῦ Ἀδάμ,

ἔσχεν εἰς τὴν ἀνθρωπότητα παραδύναι· νυνὶ δὲ ἀπὸ τῆς τοῦ Πνεύματος ἐλλάμψεως περιαιρεῖσθαι τοῦτο πιστεύομεν ἐκ τῶν πιστῶν καὶ ἀξίων τῷόντι ψυχῶν· δι᾽ ἣν αἰτίαν καὶ ἡ ἔλευσις ἡ τοῦ Χριστοῦ γεγένηται· καὶ εἰς τοιαῦτα μέτρα ἁγιότητος φθάσαι τοὺς ἐπ᾽ ἀληθείας πιστεύοντας ηὐδόκησεν ὁ Θεός.

ρλη΄. Ἡ τοιαύτη, φησί, τοῦ Πνεύματος ἔλλαμψις, οὐχ οἷον νοημάτων μόνον ἀποκάλυψίς ἐστι καὶ φωτισμὸς χάριτος, ὥσπερ εἴρηται, ἀλλ᾽ ὑποστατικοῦ φωτὸς ἐν ταῖς ψυχαῖς βεβαία καὶ διηνεκὴς ἔλλαμψις. Ὁ γὰρ εἰπὼν ἐκ σκότους φῶς λάμψαι, ὃς ἔλαμψεν ἐν ταῖς καρδίαις ἡμῶν πρὸς φωτισμὸν τῆς γνώσεως τῆς δόξης τοῦ Χριστοῦ[319]*· καὶ τό, φώτισον τοὺς ὀφθαλμούς μου μήποτε ὑπνώσω εἰς θάνατον*[320]*, τουτέστιν, ἵνα μή, λυομένης τῆς σαρκός, ἡ ψυχὴ ἐπισκοτῆται τῷ τοῦ θανάτου τῆς κακίας καλύμματι· πρὸς δὲ*

βρῆκε τόπο νὰ εἰσχωρήσῃ στὴν ἀνθρωπότητα. Τώρα ὅμως πιστεύομε, ὅτι μὲ τὴν ἔλλαμψι τοῦ [Ἁγίου] Πνεύματος αὐτὸ ἀφαιρεῖται ἀπὸ τὶς πιστὲς καὶ ὄντως ἄξιες ψυχές. Γι᾽ αὐτὸ τὸν λόγο [ἄλλωστε] ἔχει γίνει καὶ ἡ ἔλευσι τοῦ Χριστοῦ [στὴ γῆ]. Καὶ εὐδόκησε ὁ Θεὸς σὲ τέτοια μέτρα ἁγιότητος νὰ φθάσουν αὐτοί, ποὺ ἀληθινὰ πιστεύουν [σ᾽ Αὐτόν].

138. Αὐτὴ ἡ ἔλλαμψι τοῦ [Ἁγίου] Πνεύματος, λέγει [ὁ Ἅγιος], δὲν εἶναι μόνον σὰν μιὰ ἀποκάλυψι [θείων] νοημάτων καὶ φωτισμὸς Χάριτος, ὅπως ἔχει λεχθῆ, ἀλλὰ ἔλλαμψι ὑποστατικοῦ, [θεϊκοῦ καὶ ἀκτίστου] φωτός, μέσα στὶς ψυχές, βεβαία καὶ ἀκατάπαυστη. [Τὰ παρακάτω χωρία:] «Διότι Ἐκεῖνος, ποὺ [κατὰ τὴν Δημιουργία τοῦ Κόσμου] διέταξε ἀπὸ τὸ σκοτάδι νὰ λάμψῃ φῶς, Αὐτὸς [καὶ τώρα] ἔλλαμψε μέσα στὶς καρδίες μας τὸν φωτισμὸ νὰ γνωρίσωμε τὴν δόξα τοῦ Χριστοῦ». Καὶ ἐπίσης τό: «Φώτισε τοὺς ὀφθαλμούς μου γιὰ νὰ μὴν κοιμηθοῦν [τὸν ὕπνο] τοῦ θανάτου», δηλαδή, ὅταν χωρίζεται [ἡ ψυχὴ] ἀπὸ τὸ σῶμα, νὰ μὴ σκοτισθῇ ἀπὸ τὸ κάλυμμα τοῦ θανάτου τῆς κακίας.

καὶ τό, ἀποκάλυψον τοὺς ὀφθαλμούς μου ἔτι καὶ κατανοήσω τὰ θαυμάσια ἐκ τοῦ νόμου σου[321]*· καὶ τό, ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὁδηγήσουσι καὶ ἄξουσιν εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου*[322]*· ἀλλὰ μὴν καὶ τό, ἐσημειώθη ἐφ᾽ ἡμᾶς τὸ φῶς τοῦ προσώπου σου, Κύριε*[323]*, καὶ τὰ λοιπά, τὴν αὐτὴν ἀκολουθίαν τοῦ σκοποῦ παρίστησιν.*

ρλθ′. Καὶ τῷ μακαρίῳ δέ, φησί, Παύλῳ τὸ ἐλλάμψαν ἐν τῇ ὁδῷ φῶς[324]*, δι᾽ οὗ καὶ εἰς τρίτον οὐρανὸν ἦρται, καὶ μυστηρίων ἀλαλήτων ἀκουστὴς ἐγένετο*[325]*, οὐ νοημάτων τις καὶ γνώσεως φωτισμὸς ἦν, ἀλλὰ δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος καθ᾽ ὑπόστασιν ἐν τῇ ψυχῇ ἔλλαμψις, οὗ τὴν ὑπερβολὴν τῆς λαμπρότητος οἱ τῆς σαρκὸς ὀφθαλμοὶ μὴ διενεγκόντες ἀπετυφλώθησαν*[326]*, δι᾽ οὗ πᾶσά τε γνῶσις ἀποκαλύπτεται καὶ Θεὸς πρὸς ἀλήθειαν τῇ*

Ἐπίσης καὶ τό: «Ἀπομάκρυνε κάθε τι ποὺ σκιάζει καὶ ἄνοιξε τοὺς ὀφθαλμοὺς τῆς ψυχῆς μου καὶ τότε θὰ κατανοήσω πλήρως τὰ θαυμάσια τοῦ Νόμου Σου»· Καὶ τό: «Στεῖλε μου τὸ φῶς Σου, καὶ δεῖξε μου τὴν ἀλήθειά Σου· [καὶ] αὐτὰ θὰ μὲ ὁδηγήσουν καὶ θὰ μὲ φέρουν εἰς τὸ ἅγιο ὅρος Σου καὶ εἰς τὰ δικά Σου σκηνώματα». Ἀλλὰ καὶ τό: «Ἔλλαμψε τὸ φῶς τοῦ Προσώπου Σου ἐπάνω μας Κύριε», [ὅπως] καὶ τὰ ὑπόλοιπα [σχετικὰ χωρία] ἀποβλέπουν στὸν ἴδιο στόχο [δηλαδὴ νὰ ἐπιβεβαιώσουν τὴν μετοχή μας στὸ ἄκτιστο φῶς].

139. Καὶ τὸ φῶς, λέγει [ὁ Ἅγιος], ποὺ ἔλλαμψε [καὶ εἶδε] ὁ Μακάριος Παῦλος στὸ δρόμο [γιὰ τὴν Δαμασκό], μέσῳ τοῦ ὁποίου καὶ ὑψώθηκε ἕως τὸν τρίτο οὐρανὸ καὶ ἄκουσε ἄρρητα μυστήρια, δὲν ἦταν κάποιος φωτισμός νοημάτων καὶ γνώσεως, ἀλλὰ ἦταν ὑποστατικὴ ἔλλαμψι, στὴν ψυχή [του], τῆς δυνάμεως τοῦ ἀγαθοῦ Πνεύματος, τοῦ Ὁποίου [φωτὸς] τὴν ὑπερβολικὴ λαμπρότητα ἐπειδὴ δὲν μπόρεσαν νὰ ὑποφέρουν οἱ σαρκικοὶ ὀφθαλμοί [του], ἐτυφλώθησαν, [καὶ] διὰ τοῦ ὁποίου ἀποκαλύπτεται κάθε γνῶσι καὶ γνωρίζεται ὁ

ἀξίᾳ καὶ φιλουμένῃ γνωρίζεται.

ρμ'. Πᾶσα ψυχὴ διὰ τῆς οἰκείας σπουδῆς τε καὶ πίστεως, τέλεον ἐνδύσασθαι τὸν Χριστὸν ἐντεῦθεν κατὰ δύναμίν τε καὶ πληροφορίαν χάριτος καταξιωθεῖσα καὶ τῷ ἐπουρανίῳ τῆς ἀφθάρτου εἰκόνος φωτὶ ἑνωθεῖσα, καὶ νῦν μὲν μυστηρίων οὐρανίων γνῶσιν ἐν ὑποστάσει μυεῖται πάντων· ἐν δέ γε τῇ μεγάλῃ τῆς ἀναστάσεως ἡμέρᾳ, τῇ αὐτῇ ἐπουρανίῳ τῆς δόξης εἰκόνι, καὶ τὸ σῶμα ταύτης συνδοξασθέν, καὶ ὑπὸ τοῦ πνεύματος, κατὰ τό γεγραμμένον, εἰς οὐρανοὺς ἁρπαγέν[327]*, καὶ σύμμορφον γενέσθαι τῷ σώματι τῆς δόξης αὐτοῦ*[328] *καταξιωθέν, καὶ τὴν Βασιλείαν αἰώνιόν τε καὶ ἀδιάδοχον καὶ τῷ Χριστῷ σύγκληρον ἕξει.*

ρμα'. Ὁπόσον τις ἰδίᾳ σπουδῇ καὶ πίστει Πνεύματος Ἁγίου δόξης κεκοινώνηκεν οὐρανίου, ἔργοις τε ἀγαθοῖς τὴν ψυχὴν διε-

Θεὸς ἀληθινὰ στὴν ἄξια καὶ ἀγαπημένη [ἀπὸ Αὐτὸν ψυχή].

140. Κάθε ψυχή, ποὺ μὲ τὴν δική της φροντίδα καὶ πίστι, καταξιώθηκε ἀπὸ ἐδῶ νὰ ἐνδυθῇ ὁλοκληρωτικὰ τὸν Χριστό, μὲ τὴν δύναμι καὶ τὴν πληροφορία τῆς Χάριτος, καὶ ἑνώθηκε μὲ τὸ ἐπουράνιο φῶς τῆς ἀφθάρτου εἰκόνος [δηλαδὴ δέχθηκε τὸ ἄκτιστο φῶς τοῦ Χριστοῦ], καὶ τώρα μὲν μυεῖται ὑποστατικὰ [οὐσιαστικὰ] στὴν γνῶσι ὅλων τῶν οὐρανίων μυστηρίων· ὅμως κατὰ τὴν μεγάλη ἡμέρα τῆς Ἀναστάσεως, καὶ τὸ σῶμα αὐτῆς, ἀφοῦ θὰ ἔχῃ τὴν ἴδια δόξα μὲ τὴν δοξασμένη ἐπουράνια μορφὴ [Ἐκείνου], καὶ ἁρπαγῇ ἀπὸ τὸ Ἅγιο Πνεῦμα εἰς τοὺς οὐρανούς, σύμφωνα μὲ αὐτὰ ποὺ ἔχουν γραφῆ, καὶ καταξιωθῇ νὰ γίνῃ ὅμοιο μὲ τὸ δικό Του ἔνδοξο σῶμα, θὰ κληρονομήσῃ μαζὶ μὲ τὸν Χριστὸ τὴν Βασιλεία [Του], ἡ ὁποία εἶναι αἰώνια καὶ χωρὶς διαδοχή.

141. Ὅσο κανεὶς μὲ δική του προσπάθεια καὶ πίστι ἔχει γίνει κοινωνὸς τῆς οὐρανίου δόξης τοῦ Ἁγίου Πνεύματος καὶ ἐστόλισε τὴν ψυχή του μὲ

κόσμησε, τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἄξιον αὐτοῦ γενήσεται καὶ τὸ σῶμα συνδοξασθῆναι. Ὁ γάρ τις ἔνδον ἀπεθησαύρισε νῦν, τοῦτο πρόεισιν ἔξω τότε· καθάπερ ὁ εἴσω τῶν ξύλων ἐν χειμῶνι καρπός, ἔξω κατὰ τὸν ἔαρος καιρὸν γίνεται, ὥσπερ δὴ καὶ πρότερον ἐδηλώθη. Τῶν μὲν οὖν Ἁγίων ἡ θεοειδὴς τοῦ Πνεύματος εἰκὼν ἀπὸ τοῦ νῦν ἔνδον ὥσπερ ἐντυπωθεῖσα, καὶ τὸ σῶμα θεοειδὲς ἔξω καὶ οὐράνιον ἀπεργάσεται, τῶν βεβήλων δὲ καὶ ἁμαρτωλῶν, οἴμοι, τὸ τοῦ κοσμικοῦ πνεύματος ἀφεγγὲς κάλυμμα περιβαλὸν τὴν ψυχὴν καὶ τῇ τῶν παθῶν εἰδεχθείᾳ σκοτεινὸν τὸν νοῦν καὶ ἀσχήμονα καταστῆσαν, σκοτεινὸν ἅμα καὶ τὸ σῶμα καὶ αἰσχύνης ἔμπλεον πάσης ἔξωθεν ἀποδείξεται.

ρμβ'. Ὥσπερ, μετὰ τὴν παράβασιν τοῦ Ἀδάμ, θάνατον αὐτοῦ καταψηφισαμένης τῆς τοῦ Θεοῦ ἀγαθότητος[329]*, τοῦτο πρῶτον μὲν*

ἔργα ἀγαθά, τόσο καὶ τὸ σῶμα του ἐκείνη τὴν ἡμέρα [τῆς Παρουσίας Του] θὰ ἀξιωθῇ νὰ δοξασθῇ μαζί [Του]. Διότι, ὅ,τι κανεὶς σὲ αὐτὴ τὴν ζωὴ ἀποθησαύρισε μέσα του, αὐτὸ τότε θὰ παρουσιασθῇ πρὸς τὰ ἔξω. Ἀκριβῶς, ὅπως ὁ καρπὸς τῶν δένδρων, ὁ ὁποῖος εἶναι [κρυμμένος] μέσα [τους] τὸν χειμῶνα, ἐμφανίζεται ἔξω κατὰ τὸν καιρὸ τῆς ἀνοίξεως, ὅπως, βεβαίως, καὶ προηγουμένως ἀναφέραμε. Ἡ θεοειδὴς λοιπὸν εἰκόνα τοῦ [Ἁγίου] Πνεύματος, ἐφόσον ἀπὸ τώρα εἶναι τρόπον τινὰ τυπωμένη μέσα στοὺς Ἁγίους, θὰ παραστήσῃ τότε καὶ τὸ σῶμα [τους] ἐξωτερικὰ θεοειδὲς καὶ οὐράνιο. Τὸ σῶμα ὅμως τῶν βεβήλων καὶ ἁμαρτωλῶν, ἀλλοίμονο, τῶν ὁποίων τὴν ψυχὴ ἐτύλιξε τὸ σκοτεινὸ κάλυμμα τοῦ κοσμικοῦ πνεύματος, καὶ κατέστησε τὸν νοῦ [τους] σκοτεινὸ καὶ ἄσχημο μὲ τὴν δυσμορφία τῶν παθῶν, θὰ τὸ ἐμφανίσῃ [τότε] καὶ ἐξωτερικὰ σκοτεινὸ καὶ γεμᾶτο ἀπὸ κάθε αἰσχύνη.

142. Ὅπως μετὰ τὴν παράβασι τοῦ Ἀδάμ, ἀφοῦ ἡ ἀγαθότητα τοῦ Θεοῦ τὸν κατεδίκασε σὲ θάνατο, πρῶτα αὐτὸν [τὸν θά-

ὑπέστη κατὰ ψυχήν, τῶν νοερῶν αὐτῆς καὶ ἀθανάτων αἰσθητηρίων, τῇ στερήσει τῆς ἐπουρανίου καὶ πνευματικῆς ἀπολαύσεως ἀπεσβηκότων αὐτῷ καὶ νεκρῶν ὥσπερ γεγενημένων, ὕστερον δὲ καὶ ὁ τοῦ σώματος θάνατος μετά γε τριάκοντα ἔτη πρὸς τοῖς ἐνακοσίοις ἐπεγένετο[330]*· οὕτω καὶ νῦν διὰ Σταυροῦ καὶ θανάτου τοῦ Σωτῆρος τῇ ἀνθρωπότητι καταλλαγεὶς ὁ Θεός, ἀποκαθίστησι τὴν πιστεύσασαν ἐν ἀληθείᾳ ψυχήν, ἔτι ἐν σαρκὶ οὖσαν, εἰς τὴν τῶν οὐρανίων φώτων καὶ μυστηρίων ἀπόλαυσιν, καὶ τὰ νοερὰ αὐτῆς αἰσθητήρια τῷ θείῳ πάλιν φωτὶ τῆς χάριτος ὀμματοῖ. Ὕστερον δέ, καὶ αὐτῷ τῷ σώματι ἀθάνατόν τε καὶ ἄφθαρτον περιβαλεῖ δόξαν.*

ρμγ΄. Οἱ τοῦ κόσμου τοῦδε μακρὰν γενόμενοι καὶ σεμνῶς μὲν καὶ φιλαρέτως πολιτευόμενοι, ἔτι δὲ καλύμματι τῶν παθῶν ὑποκείμενοι, ᾧ διὰ τῆς τοῦ πρωτοπλάστου παρακοῆς ἔνοχοι κατέστημεν πάν-

νατο] τὸν ὑπέστη στὴν ψυχή του, καθόσον μὲ τὴν στέρησι τῆς οὐρανίου καὶ πνευματικῆς ἀπολαύσεως παρέλυσαν τὰ νοερὰ καὶ ἀθάνατα αἰσθητήριά της, καὶ ἔγιναν ὡς νεκρά, ὕστερα δὲ ἀκολούθησε καὶ ὁ σωματικὸς θάνατος μετὰ ἀπὸ ἐννιακόσια τριάντα χρόνια· ἔτσι καὶ τώρα, ἀφοῦ ὁ Θεὸς συμφιλιώθηκε μὲ τὸ ἀνθρώπινο γένος διὰ τοῦ Σταυροῦ καὶ τοῦ θανάτου τοῦ Σωτῆρος, ἀποκαθιστᾶ τὴν ψυχή, ποὺ ἐπίστευσε [σὲ Αὐτὸν] ἀληθινά, ἐνῶ ἀκόμη βρίσκεται ἐν ζωῇ, στὴν ἀπόλαυσι τῶν οὐρανίων φώτων καὶ μυστηρίων καὶ ζωογονεῖ τὰ νοερά της αἰσθητήρια μὲ τὸ θεῖο φῶς τῆς Χάριτος. Κατόπιν δὲ καὶ αὐτὸ τὸ σῶμα θὰ τὸ ἐνδύσῃ μὲ ἀθάνατη καὶ ἄφθαρτη δόξα.

143. Οἱ [ἄνθρωποι], ποὺ ἔφυγαν μακρυὰ ἀπὸ αὐτὸν τὸν κόσμο καὶ πολιτεύονται μὲ σεμνότητα καὶ ἀγάπη γιὰ τὴν ἀρετή, οἱ ὁποῖοι ὅμως βρίσκονται [ἀκόμα] κάτω ἀπὸ τὸ κάλυμμα τῶν παθῶν, γιὰ τὸ ὁποῖο γίναμε ὅλοι ἔνοχοι λόγῳ τῆς παρακοῆς τῶν πρωτο-

τες, τὸ σαρκικόν φημι φρόνημα, ὃ καὶ τῷ Ἀποστόλῳ θάνατος οἰκείως ἐκλήθη, τὸ φρόνημα γάρ, φησί, τῆς σαρκός, θάνατος[331]*· οὗτοι παραπλήσιοί εἰσιν ἀνθρώποις, νυκτὸς μὲν βαδίζουσιν, ὑπὸ δὲ τῶν ἄστρων, ἅπερ εἰσὶν αἱ ἅγιαι τοῦ Θεοῦ ἐντολαί, καταυγαζομένοις. Οὔπω γὰρ εἰς τέλος τοῦ σκότους ἀπαλλαγεῖσι, καλῶς ἅπαντα κατοπτεύειν αὐτοῖς ἀδύνατον· οἷς καὶ προσῆκόν ἐστι, πόνῳ καὶ πίστει πολλῇ τῆς ἀρετῆς ἐπιμελομένοις, δεηθῆναι Χριστὸν τὸν ἥλιον δικαιοσύνης ἐπιλάμψαι ταῖς καρδίαις αὐτῶν, ὥστε δυνηθῆναι πάντα πρὸς ἀκρίβειαν ἐπιδεῖν, τήν τε τῶν νοητῶν θηρίων καθ' ἡμῶν ἐπίθεσιν ποικίλην καὶ παντοδαπὴν οὖσαν καὶ τὰ τοῦ ἀφθάρτου κόσμου ἄρρητα τὴν ὄψιν καὶ τὴν ἡδονὴν ἀπόρρητα κάλλη, ὅν γε δὴ τρόπον καὶ τοῖς ἄκροις τὴν ἀρετήν, καὶ ὧν ἐνεργῶς τὸ νοερὸν φῶς ἐν ταῖς καρδίαις ἔλαμψεν, ἐπίδηλα ταῦτα καὶ καταφανῆ*

πλάστων, τὸ σαρκικὸ φρόνημα ἐννοῶ, τὸ ὁποῖο καὶ ἀπὸ τὸν Ἀπόστολο ὀνομάσθηκε ὀρθὰ θάνατος, «διότι τὸ φρόνημα, λέγει, τῆς σαρκὸς [εἶναι] θάνατος»· αὐτοὶ [λοιπὸν] ὁμοιάζουν μὲ ἀνθρώπους, [ποὺ] βαδίζουν μὲν τὴν νύκτα, ἀλλὰ φωτίζονται ἀπὸ τὰ ἀστέρια, τὰ ὁποῖα εἶναι οἱ ἅγιες ἐντολὲς τοῦ Θεοῦ. Ἐπειδὴ [ὅμως] δὲν ἔχουν τελείως ἀπαλλαγεῖ ἀπὸ τὸ σκοτάδι, εἶναι ἀδύνατο σ' αὐτοὺς νὰ τὰ βλέπουν ὅλα καθαρά. Αὐτοὶ πρέπει, φροντίζοντας μὲ κόπο καὶ πολλὴ πίστι γιὰ τὴν ἀρετή, νὰ ἱκετεύσουν τὸν Χριστό, τὸν ἥλιο τῆς δικαιοσύνης, νὰ λάμψῃ μέσα στὶς καρδίες τους, ὥστε νὰ μπορέσουν νὰ τὰ διακρίνουν ὅλα μὲ ἀκρίβεια, καὶ τὴν ἐπίθεσι τῶν νοητῶν θηρίων ἐναντίον μας, ἡ ὁποία εἶναι ποικίλη καὶ πολύμορφη, καὶ τὰ κάλλη τοῦ ἀφθάρτου κόσμου, τὰ ἀπερίγραπτα στὴν ὄψι καὶ ἀνέκφραστα στὴν ἡδονή, μὲ τὸν ἴδιο τρόπο ποὺ αὐτὰ γίνονται σαφῆ καὶ ὁλοφάνερα καὶ σὲ αὐτοὺς [ποὺ ἔφθασαν] στὸ ὕψιστο σημεῖο τῆς ἀρετῆς καὶ εἰς τῶν ὁποίων τὶς καρδίες ἔλλαμψε καθαρώτατα τὸ

γίνεται. Τελείων γάρ, ὡς ὁ μακάριός φησι Παῦλος, ἡ στερεὰ τροφή, τῶν διὰ τὴν ἕξιν τὰ αἰσθητήρια ἐγγεγυμνασμένων πρὸς τὴν τοῦ καλοῦ τε καὶ κακοῦ διάκρισιν[332]*· ἀλλὰ καὶ ὁ θεῖος Πέτρος φησί· καὶ ὑμεῖς ἔχοντες τὸν Προφητικὸν λόγον, ᾧ καλῶς ποιεῖτε προσέχοντες, ὡς λύχνῳ φαίνοντι ἐν αὐχμηρῷ τόπῳ, ἕως οὗ ἡμέρα διαυγάσῃ καὶ φωσφόρος ἀνατείλῃ ἐν ταῖς καρδίαις ὑμῶν*[333]*. Οἱ δὲ πολλοὶ οὐδὲν ὅλως διενηνόχασιν ἐκείνων τῶν ἐν νυκτὶ φωτὸς παντάπασιν ἀπόρων περιπατούντων καὶ μηδὲ βραχείας ἀπολαυόντων αὐγῆς, ὅπερ ἐστι θεῖος λόγος ταῖς ψυχαῖς αὐτῶν ἐπιλάμπειν δυνάμενος, ὡς σχεδόν, μὴ ἀνομοίους εἶναι τυφλοῖς. Οὗτοί εἰσιν οἱ ταῖς ὑλικαῖς τὸ ὅλον περιπλοκαῖς καὶ τοῖς βιωτικοῖς ἅμμασι καταδεδεμένοι, καὶ μήτε θείῳ φόβῳ διακρατούμενοι, μήτε τινὰς τῶν ἀγαθοεργιῶν μετερχόμενοι· καὶ γὰρ ὅσοι τῶν βιωτικῶν*

νοερὸ φῶς. Διότι, ὅπως λέγει ὁ μακάριος Παῦλος, ἡ στερεὰ τροφὴ εἶναι γιὰ τοὺς τελείους, οἱ ὁποῖοι μὲ τὴν ἕξι ἔχουν γυμνασμένα τὰ [πνευματικὰ] αἰσθητήρια γιὰ τὴν διάκρισι τοῦ καλοῦ καὶ τοῦ κακοῦ. Ἀλλὰ καὶ ὁ θεῖος Πέτρος λέγει: «καὶ ἐσεῖς ποὺ ἔχετε τοὺς λόγους τῶν Προφητῶν, στοὺς ὁποίους καλὰ κάνετε ποὺ προσέχετε, σὰν σὲ λύχνο ποὺ φέγγει σὲ σκοτεινὸ τόπο, ἕως ὅτου χαράξῃ ἡ ἡμέρα καὶ ἀνατείλῃ τὸ ἄστρο τῆς αὐγῆς στὶς καρδίες σας». Οἱ πολλοὶ ὅμως οὐδόλως διαφέρουν ἀπὸ ἐκείνους, οἱ ὁποῖοι βαδίζουν τὴν νύκτα καὶ δὲν ἔχουν παντελῶς κανένα φῶς καὶ οὔτε κἂν μικρὴ ἀκτῖνα, τὸ ὁποῖο [φῶς] εἶναι [κάποιος] θεῖος λόγος, ποὺ μπορεῖ νὰ φωτίζῃ τὶς ψυχές τους· ὥστε σχεδὸν νὰ εἶναι ὅμοιοι μὲ τοὺς τυφλούς. Αὐτοὶ εἶναι οἱ ὁλοκληρωτικὰ δεμένοι μὲ τὶς ἁλυσίδες τῆς ὕλης καὶ τὰ βιοτικὰ δεσμά, καὶ οὔτε συγκρατοῦνται ἀπὸ τὸν θεῖο φόβο, οὔτε κάνουν κάποιο ἀγαθὸ ἔργο. Διότι πράγματι, ὅσοι ἀπὸ

ἀνδρῶν, ὥσπερ λέλεκται, ὑπὸ τῶν ἁγίων ἐντολῶν ὡς ὑπὸ ἄστρων τινῶν διαυγάζονται, πίστει καὶ φόβῳ τῷ τοῦ Θεοῦ προσέχοντες, οὗτοι οὐχὶ καθάπαξ τῷ σκότει περιλαμβάνονται· παρ᾽ ὃ καὶ ἐλπίδα σωτηρίας ἔχειν δύνανται.

ρμδ'. Ὥσπερ ἐκ διαφόρων, φημί, ἀφορμῶν τε καὶ ἐπιτηδευμάτων ὁ ἐν τῷ κόσμῳ τοῖς ἀνθρώποις συλλέγεται πλοῦτος, ὁ μὲν ἐξ ἀρχοντικῶν ἀξιωμάτων, ὁ δὲ ἐξ ἐμπορίας, ὁ δὲ ἐκ φιλοπονίας δήπου καὶ γεωργίας, καὶ ἄλλος ἄλλως· τὴν αὐτὴν οἴου μοι καὶ τοῖς πνευματικοῖς εἶναι διάταξιν. Οἱ μὲν γὰρ ἐκ διαφόρων χαρισμάτων, ὡς τὸ τοῦ Ἀποστόλου δηλοῖ· ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα[334]*· οἱ δέ, ἐκ διαφόρων ἀσκήσεων, διαφόρων τε δικαιωμάτων καὶ ἀρετῶν, διὰ μόνον Θεὸν γινομένων, τὸν ἐπουράνιον ἀθροίζουσι πλοῦτον· οὗ χάριτι ἀπείρηται τὸ τὸν πλησίον κρίνειν, ἢ ἐξουθενεῖν, ἢ ὑπὸ κατάγνω-*

ἐκείνους τοὺς ἄνδρες ποὺ ζοῦν στὸν κόσμο, ὅπως ἔχει λεχθῆ, καὶ φωτίζονται σὰν ἀπὸ ἄστρα ἀπὸ τὶς ἅγιες ἐντολές, ἐπειδὴ κρατοῦν τὴν πίστι καὶ τὸν φόβο τοῦ Θεοῦ, αὐτοὶ δὲν τυλίγονται ἀπὸ τὸ σκοτάδι ὁλοκληρωτικά. Γι᾽ αὐτὸ καὶ μποροῦν νὰ ἔχουν ἐλπίδα σωτηρίας.

144. Ὅπως ἀπὸ διάφορες, λέγω, ἀφορμὲς καὶ ἐργασίες συγκεντρώνεται ἀπὸ τοὺς ἀνθρώπους στὸν κόσμο ὁ πλοῦτος· ἄλλος μὲν ἀπὸ ἀρχοντικὰ ἀξιώματα· ἄλλος δὲ ἀπὸ ἐμπόριο· ἄλλος ὁπωσδήποτε ἀπὸ ἐργατικότητα καὶ ἀπὸ γεωργικὴ ἐργασία καὶ ἄλλος μὲ ἄλλον τρόπο· [ἔτσι] θεωρῶ, ὅτι καὶ στὰ πνευματικὰ ἀκολουθεῖται ἡ ἴδια τάξι. Διότι οἱ μὲν συγκεντρώνουν τὸν ἐπουράνιο πλοῦτο ἀπὸ διάφορα χαρίσματα, ὅπως φανερώνει ὁ λόγος τοῦ Ἀποστόλου· «ἔχοντες διάφορα χαρίσματα, ἀνάλογα μὲ τὴν Χάρι τοῦ Θεοῦ, ποὺ μᾶς ἐδόθη»· ἄλλοι δὲ ἀπὸ διάφορες ἀσκήσεις καὶ ἀπὸ δίκαιες πράξεις καὶ ἀρετές, ποὺ γίνονται μόνο γιὰ τὸν Θεό· γιὰ χάρι αὐτοῦ [τοῦ οὐρανίου πλούτου] ἔχει ἀπαγορευθῆ νὰ κρίνῃ [κανεὶς], ἢ νὰ ἐξουδενώνῃ, ἢ νὰ καταδικάζῃ

σιν ἄγειν. Πλὴν ἀλλ᾽ οὐκ ἄδηλοι καὶ οἱ τὸν χρυσὸν ἀνορύττοντες· οἱ διὰ μακροθυμίας καὶ ὑπομονῆς δηλαδὴ τρέχοντες, καὶ κατὰ μέρος πλουτοῦντες τέως τῆς ἀγαθῆς αὐτοὺς ἐλπίδος ὑπερειδούσης. Οὐκ ἄδηλοι δὲ καὶ οἱ καθαπερεὶ μίσθιοι, βλάκες ὄντες καὶ νωχελεῖς, οἱ εὐθέως τὸ ἐμπίπτον ὥσπερ ἐσθίοντες, καὶ μὴ μεθ᾽ ὑπομονῆς τὰ μετὰ χεῖρας ἀνύοντες, ἀεὶ γυμνοί τε καὶ πένητες καθορῶνται καὶ περιέρχονται. Καὶ γὰρ οὗτοι πρὸς μὲν τὸ λαβεῖν τὴν χάριν, ἑτοίμως ἄγαν καὶ θερμῶς ἔχοντες, πρὸς δὲ τὸ ποιεῖν τε καὶ ἐπικτᾶσθαι ῥάθυμοι ὄντες καὶ ἀφερέπονοι, εὐμετάβλητοι καὶ ἅμα τοῦ ἅψασθαι κορεννύμενοι, ἀψίκοροί τε καὶ ναρκώδεις περὶ τὸ πονεῖν γνωριζόμενοι, καὶ ἧς ἔτυχον ἀξιωθέντες χάριτος ἀφαιροῦνται. Ἀείποτε γὰρ ἡ νωθεία καὶ ὀκνηρὰ καὶ ἀμβλεῖα καὶ ἠμελημένη προαίρεσις, ἀσύμφωνος μὲν τῇ χάριτι, ἔρημος δὲ

τὸν πλησίον. Ἀλλά, ὅμως, δὲν [παραμένουν] κρυφοὶ ἐκεῖνοι, οἱ ὁποῖοι ἐξορύσσουν τὸν χρυσό· αὐτοὶ [δηλαδὴ] ποὺ ἀγωνίζονται μὲ μακροθυμία καὶ ὑπομονὴ καὶ ἀποκτοῦν μερικὸ πλοῦτο, ἐνῶ τοὺς ἐνισχύει ἡ ἐλπίδα τοῦ ἀγαθοῦ. Ἐπίσης, δὲν [παραμένουν] κρυφοὶ καὶ ἐκεῖνοι, οἱ ὁποῖοι, ὅπως ἀκριβῶς οἱ μισθωτοί, ἐπειδὴ εἶναι ἀνόητοι καὶ ὀκνηροί, σὰν αὐτοὺς ποὺ τρώγουν ἀμέσως ὁτιδήποτε βρεθῆ μπροστά τους καὶ δὲν φέρουν εἰς πέρας μὲ ὑπομονὴ τὰ ἔργα ποὺ ἄρχισαν, ἐμφανίζονται καὶ γυρίζουν πάντοτε γυμνοὶ καὶ πτωχοί. Καὶ αὐτοί, λοιπόν, γιὰ νὰ λάβουν μὲν τὴν Χάρι εἶναι ἕτοιμοι καὶ ὑπερβολικὰ ἐνθουσιώδεις, στὸ νὰ τὴν ἐργασθοῦν ὅμως καὶ νὰ τὴν προσαυξήσουν εἶναι ῥάθυμοι καὶ φυγόπονοι, [ἐπίσης εἶναι] εὐμετάβλητοι καὶ εὐθὺς μόλις τὴν ἀγγίξουν, αἰσθάνονται κορεσμό, καὶ κατὰ τὴν ὥρα τῆς ἐργασίας ἀμέσως φαίνονται κουρασμένοι καὶ νωθροὶ καὶ [ἔτσι] στεροῦνται τὴ Χάρι ποὺ ἀξιώθηκαν νὰ λάβουν. Διότι πάντοτε ἡ νωθρότητα καὶ ἡ ὀκνηρὴ καὶ ἐξασθενημένη καὶ παραμελημένη προαίρεσι, [ἡ ὁποία εἶναι] ἀφ᾽ ἑνὸς μὲν ἀσύμφωνη μὲ τὴν Χάρι, ἀφ᾽ ἑτέρου

ἀγαθῶν πράξεων, ἀδόκιμός τε παρὰ Θεῷ καὶ ἄδοξος, καὶ νῦν ἔγνωσται καὶ ἐν ἐκείνῳ τῷ αἰῶνι εὑρεθήσεται.

ρμεʹ. Παραβάντι τῷ ἀνθρώπῳ τὴν ἐντολὴν τοῦ Θεοῦ καὶ τῆς τοῦ Παραδείσου διαγωγῆς ἐκπεσόντι, δυσὶν ὥσπερ ἁλύσεσι δεδέσθαι συνηκολούθησε· μιᾷ μὲν τῶν βιωτικῶν πραγμάτων καὶ σαρκικῶν ἡδονῶν, πλούτου, δόξης, φιλίας, γυναικός, τέκνων, συγγενείας, πατρίδος, κτημάτων, καὶ ἁπλῶς πάντων τῶν φαινομένων, ἀφ᾽ ὧν ὁ τοῦ Θεοῦ λόγος κατ᾽ οἰκείαν ἡμᾶς προαίρεσιν ἀπολύεσθαι κελεύει· ἑτέρα δὲ ἀδήλῳ καὶ ἀφανεῖ· καὶ γὰρ δέδεταί τινι δεσμῷ σκότους ἡ ψυχὴ πρὸς αὐτῶν τῶν τῆς πονηρίας πνευμάτων, παρ᾽ ὃ μηδὲ δυνατὸν αὐτῇ μήτ᾽ ἀγαπῆσαι Θεόν, μήτε πιστεῦσαι, μήτε προσευχῇ χρήσασθαι καθάπερ ἔχει θελήματος. Πάντων γὰρ ἡ ἐναντιότης ἔν τε τοῖς φανεροῖς, ἔν τε τοῖς ἀδήλοις, ἀπὸ τῆς παραβάσεως τοῦ πρώτου ἀνθρώπου πάντας

δὲ ἔρημη ἀπὸ ἀγαθὰ ἔργα καὶ ἀκατάλληλη καὶ ἄδοξη γιὰ τὸν Θεό, ἔχει ἀποδειχθῇ καὶ σὲ αὐτὴ τὴν ζωὴ [ἀλλὰ] καὶ στὸν μέλλοντα αἰῶνα θὰ ἀποκαλυφθῇ.

145. Ὅταν ὁ ἄνθρωπος παρέβη τὴν ἐντολὴ τοῦ Θεοῦ καὶ ἐξέπεσε ἀπὸ τὴν ζωή τοῦ Παραδείσου, συνέβη ὡς ἀποτέλεσμα τὸ νὰ δεθῇ [μὲ δύο δεσμά], σὰν μὲ δύο ἁλυσίδες. Ἡ μία μὲν [εἶναι] τῶν βιοτικῶν πραγμάτων καὶ σαρκικῶν ἡδονῶν, ὁ πλοῦτος [δηλαδή], ἡ δόξα, ἡ φιλία, ἡ γυναῖκα, τὰ παιδιά, οἱ συγγενεῖς, ἡ πατρίδα, τὰ κτήματα καὶ γενικὰ ὅλα τὰ ὁρατά, ἀπὸ τὰ ὁποῖα ὁ λόγος τοῦ Θεοῦ προστάσσει νὰ ἐλευθερωνώμασθε, σύμφωνα μὲ τὴν δική μας προαίρεσι. Ἡ ἄλλη [ἁλυσίδα εἶναι] κρυφὴ καὶ ἀόρατη. Καὶ [αὐτὸ] ἐπειδὴ ἡ ψυχὴ ἔχει δεθῇ μὲ αὐτὰ τὰ πνεύματα τῆς πονηρίας, μὲ κάποιο σκοτεινὸ δεσμό, ἐξ αἰτίας τοῦ ὁποίου δὲν τῆς εἶναι δυνατὸν οὔτε τὸν Θεὸ νὰ ἀγαπήσῃ, οὔτε νὰ πιστεύσῃ, οὔτε νὰ προσευχηθῇ, σύμφωνα μὲ τὸ θέλημά της. Διότι, ἡ ἀντίθεσι σὲ ὅλα [τὰ καλὰ] καὶ στὰ ἐμφανῆ καὶ στὰ ἀφανῆ, μᾶς ἀκολουθεῖ ὅλους, ἀπὸ τὴν παράβασι τοῦ πρώτου

ἡμᾶς μέτεισιν. Ἐπειδὰν οὖν τις ὑπήκοον οὖς τῷ λόγῳ τοῦ Θεοῦ παρασχόμενος, ἀποστῇ μὲν τῶν βιωτικῶν πραγμάτων, ἀποτάξεται δὲ πάσαις ταῖς σαρκικαῖς ἡδοναῖς· τότε δὴ τῷ Θεῷ προσεδρεύων καὶ κατὰ σχολὴν αὐτῷ συγγιγνόμενος, δύναμιν λαμβάνει πρὸς τὸ μαθεῖν, ὅτι κέκρυπταί τις ἐν ἀδύτοις καρδίας ἄλλη πάλη καὶ ἄλλος λογισμῶν πόλεμος. Καὶ οὕτω παραμένων καὶ τῶν τοῦ Χριστοῦ δεόμενος οἰκτιρμῶν, πίστεως αὐτῷ πολλῆς μετά γε τοῦ ὑπομένειν συνεπομένης, οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ Θεοῦ ῥοπῆς συνεφαπτομένης, δύναται τῶν ἔνδον ἀπαλλαγῆναι δεσμῶν τε καὶ φραγμῶν ἐκείνων καὶ τοῦ σκότους τῶν πνευμάτων τῆς πονηρίας, ἅπέρ εἰσιν αἱ τῶν κεκρυμμένων παθῶν ἐνέργειαι. Τοῦτον δὲ τὸν πόλεμον, διὰ μὲν χάριτος τοῦ Χριστοῦ καὶ δυνάμεως, δυνατοὶ γινόμεθα καταργεῖν· ἀθεεὶ δὲ καὶ δι᾽ ἑαυτοῦ ῥύσασθαί τινα ἑαυτὸν

ἀνθρώπου. Ὅταν, λοιπόν, κάποιος δώσῃ τὰ αὐτιά του πρὸς ὑπακοὴν τοῦ Λόγου τοῦ Θεοῦ, [καὶ] ἀφ᾽ ἑνὸς ἀπομακρυνθῇ ἀπὸ τὰ βιοτικὰ πράγματα, ἀφ᾽ ἑτέρου ἀπαρνηθῇ ὅλες τὶς σαρκικὲς ἡδονές, τότε ἀφοῦ παραμείνῃ κοντὰ στὸν Θεὸ καὶ ἀφοσιωθῇ σὲ Αὐτόν, λαμβάνει [θεία] δύναμι καὶ γνωρίζει, ὅτι μέσα στὰ ἄδυτα τῆς καρδίας ἔχει κρυφθῇ κάποια ἄλλη πάλη καὶ [κάποιος] ἄλλος πόλεμος λογισμῶν. Καὶ παραμένοντας ἔτσι καὶ ἱκετεύοντας τὸν Χριστὸ γιὰ τὸ ἔλεός Του, ὄχι μόνον μὲ μεγάλη πίστι, ποὺ εἶναι βεβαίως συνακόλουθη τῆς ὑπομονῆς [του], ἀλλὰ καὶ μὲ τὴν συνδρομὴ τῆς ἐνισχυτικῆς δυνάμεως τοῦ Θεοῦ, μπορεῖ νὰ ἀπαλλαγῇ καὶ ἀπὸ τὰ ἐσωτερικὰ δεσμὰ καὶ τοὺς φραγμοὺς ἐκείνους καὶ ἀπὸ τὸ σκότος τῶν πνευμάτων τῆς πονηρίας, τὰ ὁποῖα εἶναι οἱ ἐνέργειες τῶν παθῶν, ποὺ ἔχουν κρυφθῇ. Αὐτόν, λοιπόν, τὸν πόλεμο μὲ τὴν Χάρι μὲν καὶ τὴν δύναμι τοῦ Χριστοῦ, ἀποκτοῦμε δύναμι νὰ τὸν καταργήσωμε. Χωρὶς ὅμως τὴν βοήθεια τοῦ Θεοῦ, τὸ νὰ λυτρώσῃ ἀπὸ μόνος του κάποι-

μέχρι τοῦ καὶ τῆς ἐκ τῶν λογισμῶν ἀπηλλάχθαι πάλης, ἀδύνατον παντελῶς· τὸ δὲ ἀντιλέγειν μόνον καὶ μὴ συνήδεσθαι δυνατόν.

ρμϛʹ. Εἴ τις τοῖς πράγμασι τοῦ κόσμου τούτου καὶ τοῖς ποικίλοις ἐνέχοιτο δεσμοῖς, τοῖς τῆς κακίας τε συναπάγοιτο πάθεσι, πολλοῦ γε καὶ δεῖ γινώσκειν, ὥσπερ καὶ φθάσαντες ἔφημεν, εἶναί τινα πάλην ἄλλην καὶ πόλεμον ἐν τῷ ἀφανεῖ ἕτερον. Ἀγαπητὸν γάρ, ἵνα λύσας τις ἑαυτὸν πάντων τῶν φαινομένων καὶ τῶν σαρκικῶν ἡδονῶν ἀποστήσας, τῷ Κυρίῳ τε προσεδρεύειν ἀρξάμενος, ἐπιγνῶναι δυνηθῇ τὴν ἔνδον οἰκουροῦσαν τῶν παθῶν πάλην καὶ τὸν ἐν ἡμῖν κρυπτὸν πόλεμον. Εἰ μὴ γάρ, ὡς ἔφημεν, ταῦτα γένηται παρ᾽ ὅλης ἡμῶν τῆς ψυχῆς καὶ ὅλος ἐξ ὅλου τις προσεδρεύειν τῷ Θεῷ στέρξειεν, οὐδ᾽ ἐπιγινώσκει τὰ ἀπόρρητα ταῦτα τῆς κακίας πάθη καὶ τοὺς

ος τὸν ἑαυτό του, μέχρι καὶ τὸ νὰ ἀπαλλαγῇ ἀπὸ τὴν πάλη τῶν λογισμῶν, εἶναι παντελῶς ἀδύνατο. Αὐτὸ ποὺ μόνο μπορεῖ [νὰ κάνῃ] εἶναι νὰ ἀντιλέγῃ [στοὺς λογισμοὺς] καὶ νὰ μὴν εὐχαριστῆται μὲ αὐτούς.

146. Ἐὰν κάποιος ἔχῃ ἐμπλακεῖ μὲ τὰ πράγματα τοῦ κόσμου τούτου καὶ τὰ ποικίλα δεσμά του, καὶ παρασύρεται ἀπὸ τὰ πάθη τῆς κακίας, ἀπέχει πολὺ βέβαια ἀπὸ τὸ νὰ γνωρίζῃ, ὅπως καὶ εἴπαμε, ὅταν ἐφθάσαμε [σὲ αὐτὸ τὸ σημεῖο], ὅτι ὑπάρχει κάποια ἄλλη πάλη καὶ κάποιος ἄλλος πόλεμος, ποὺ [διεξάγονται] ἀφανῶς. Πρέπει νὰ εἶναι ἐπιθυμία μας, ἀφοῦ ἐλευθερώσῃ κανεὶς τὸν ἑαυτό του ἀπὸ ὅλα τὰ ὁρατὰ καὶ ἀπομακρυνθῇ ἀπὸ τὶς σαρκικὲς ἡδονές, καὶ ἀρχίσῃ νὰ προσκολλᾶται στὸν Κύριο, νὰ μπορέσῃ νὰ ἀντιληφθῇ τὴν πάλη τῶν παθῶν, ποὺ διεξάγεται στὴν καρδία μας καὶ τὸν ἐσωτερικό μας ἀόρατο πόλεμο. Διότι, ὅπως εἴπαμε, ἂν δὲν γίνουν αὐτὰ μὲ ὅλη μας τὴν ψυχή, καὶ δὲν ποθήσῃ κάποιος νὰ παραμένῃ ὁλοκληρωτικὰ κοντὰ στὸν Θεό, δὲν ἀντιλαμβάνεται τὰ κρυφὰ αὐτὰ πάθη τῆς κακίας καὶ τὰ ἐσωτερικὰ

νουν καὶ ἀπαῤῥησίαστον, κινοῦνται εἰς φθόνον, καὶ πάντα ποιοῦσι καὶ πράσσουσι, ἕως οὗ καὶ τῆς μονῆς αὐτὸν ἐκδιώξωσι. Οὐ φέρει γὰρ κενοδοξία ἄτιμος ἐπαινουμένην ταπείνωσιν ὁρᾶν ἀπεναντίας αὐτῆς.

ιδ΄. Ἄγχεται κενόδοξος ταπεινόφρονα ὁρῶν προχέοντα δάκρυα καὶ δισσῶς ὠφελούμενον· Θεὸν ἵλεων δι᾽ αὐτῶν ἐργαζόμενον καὶ ἀνθρώπους εἰς ἔπαινον ἐπισπώμενον ἀβούλητον.

ιε΄. Ἀφ᾽ οὗ σεαυτὸν ὅλον τῷ πνευματικῷ σου ἀναθήσῃς πατρί, ἴσθι ὡς ξένος ᾖς ἐπὶ πᾶσιν οἷς ἔξωθεν ἐπιφέρῃ· ἀνθρώποις, λέγω, πράγμασί τε καὶ χρήμασιν· οὗ χωρίς, μηδὲν ἐν αὐτοῖς πρᾶξαι ἢ ποιῆσαι θελήσῃς· ἀλλὰ μηδὲ μικρὸν ἢ μέγα πρᾶγμα αἰτήσῃ παρ᾽ αὐτοῦ· εἰ μήτι αὐτὸς τῇ οἰκείᾳ γνώμῃ ἢ προστάξει λαβεῖν σε, ἢ αὐτὸς ἐκεῖνος αὐτοχείρως παρέξει σοι.

χίζουν νὰ τὸν φθονοῦν, καὶ ἐνεργοῦν καὶ κάνουν τὰ πάντα, ἕως ὅτου τὸν διώξουν καὶ ἀπὸ τὴν Μονή. Διότι δὲν ὑποφέρει ἡ κενοδοξία, ποὺ περιφρονεῖται, νὰ βλέπῃ ἀπέναντί της τὴν ταπείνωσι νὰ ἐπαινῆται.

14. Ἀγχώνεται ὁ κενόδοξος, ὅταν βλέπῃ τὸν ταπεινόφρονα νὰ χύνῃ δάκρυα καὶ [ἔτσι] νὰ ὠφελῆται διπλᾶ· [πρῶτα μὲν] μὲ αὐτὰ νὰ κάνῃ τὸν Θεὸ εὐσπλαχνικὸ [ἀπέναντί του] καὶ [δεύτερον] νὰ προσελκύῃ ἀκουσίως τοὺς ἀνθρώπους νὰ τὸν ἐπαινοῦν.

15. Ἀφ᾽ ὅτου ἀναθέσῃς ὅλον σου τὸν ἑαυτὸ στὸν πνευματικό σου Πατέρα, γνώριζε ὅτι εἶσαι [πλέον] ὡς ξένος πρὸς ὅλα ἐκεῖνα, τὰ ὁποῖα φέρνεις μαζί σου ἀπὸ τὸν ἔξω κόσμο· ἐννοῶ ἀνθρώπους καὶ πράγματα καὶ χρήματα. Χωρὶς [τὴν εὐλογία] τοῦ Γέροντος, νὰ μὴ θελήσῃς μὲ αὐτὰ νὰ κάνῃς ἢ νὰ διαχειρισθῇς [κάτι]· ἀλλὰ οὔτε νὰ ζητήσῃς ἀπὸ αὐτὸν μικρὸ ἢ μεγάλο πρᾶγμα· ἐκτὸς ἐὰν ἐκεῖνος μὲ τὴν δική του γνώμη ἢ σὲ διατάξῃ νὰ πάρῃς [κάτι], ἢ ὁ ἴδιος μὲ τὸ χέρι του σοῦ τὸ δώσῃ.

ις΄. Μὴ δῷς ἄνευ τοῦ κατὰ Θεόν σου πατρὸς ἐλεημοσύνην, ἐξ ὧν χρημάτων προσήνεγκας· ἀλλὰ μηδὲ διὰ μεσίτου λαβεῖν τινα ἐξ αὐτῶν θελήσῃς παρ᾽ ἐκείνου· κρεῖττον γὰρ πτωχὸν καὶ ξένον εἶναι τε καὶ ἀκούειν σε ἢ σκορπίζειν χρήματα καὶ διδόναι τοῖς πένησιν, εἰσαγωγικὸν ὄντα. Πίστεως δὲ ἀκραιφνοῦς τὰ πάντα, ὡς ἐν χειρὶ Θεοῦ, τῇ τοῦ πνευματικοῦ πατρὸς ἀναθέσθαι βουλήσει.

ιζ΄. Μηδὲ λαβεῖν ὕδατος ποτὸν αἰτήσῃ, εἰ καὶ συμβῇ σε φλέγεσθαι, μέχρις ἄν, οἴκοθεν κινηθεὶς ὁ πνευματικός σου πατὴρ προτρέψῃ σε. Ἄγχε γὰρ σεαυτὸν καὶ βιάζου ἐν πᾶσι, πείθων καὶ λέγων τῷ λογισμῷ· εἰ θέλῃ ὁ Θεός, καὶ ᾖς ἄξιος τοῦ πιεῖν, ἀποκαλύπτει πάντως τῷ πατρί σου καὶ λέγει σοι, πίε. Καὶ τηνικαῦτα πίεσαι μετὰ καθαροῦ συνειδότος, εἰ καὶ παρὰ τὸν καιρὸν ἡ ὥρα ἐστίν.

16. Χωρὶς [τὴν εὐλογία] τοῦ κατὰ Θεὸν πατρός σου, μὴ δώσῃς ἐλεημοσύνη ἀπὸ τὰ χρήματα ποὺ ἔφερες [μαζί σου στὴν Μονή]. Ἀλλὰ οὔτε καὶ νὰ θελήσῃς νὰ πάρῃς ἀπὸ ἐκεῖνον μερικὰ ἀπὸ αὐτά, μέσῳ [κάποιου] μεσολαβητή. Διότι εἶναι καλλίτερο, νὰ εἶσαι πτωχὸς καὶ ξένος καὶ ὑποτακτικός, παρὰ νὰ σκορπίζῃς τὰ χρήματα καὶ νὰ τὰ δίνῃς στοὺς πτωχούς, ἐνῷ εἶσαι ἀρχάριος. Καὶ [ἀπόδειξι] τῆς εἰλικρινοῦς πίστεώς σου εἶναι, νὰ ἀναθέσῃς τὰ πάντα στὴ διάθεσι τοῦ πνευματικοῦ σου Πατέρα, ὅπως [θὰ τὰ ἀνέθετες] στὰ χέρια τοῦ Θεοῦ.

17. Οὔτε νὰ ζητήσῃς νὰ πιῇς νερό, ἀκόμη καὶ ἂν σοῦ συμβῇ νὰ καίγεσαι [ἀπὸ δίψα], μέχρι ὅτου, ἀφοῦ ἀπὸ μόνος του ὑποκινηθῇ ὁ πνευματικός σου Πατέρας, σὲ προτρέψῃ. Πίεζε λοιπὸν καὶ βίαζε τὸν ἑαυτό σου σὲ ὅλα, πείθοντας καὶ λέγοντας στὸν λογισμό σου· «ἐὰν θέλῃ ὁ Θεὸς καὶ σὺ εἶσαι ἄξιος νὰ πιῇς [νερό], τὸ ἀποκαλύπτει ὁ Θεὸς στὸν Πατέρα σου καὶ σοῦ λέγει, πιές». Καὶ τότε πλέον θὰ πίνῃς μὲ καθαρὴ τὴν συνείδησί σου, ἀκόμη καὶ ἂν δὲν εἶναι ἡ κανονισμένη ὥρα [ποὺ λύνεις τὴν ἐγκράτειά σου].

ιη΄. Ὁ πεῖραν ἐσχηκὼς πνευματικῆς ὠφελείας καὶ ἀνόθευτον πίστιν κτησάμενος, μάρτυρα τῆς ἀληθείας τὸν Θεὸν προβαλλόμενος εἶπεν· ἐθέμην τοιοῦτον ἐν ἐμαυτῷ λογισμόν, ὡς μήτε φαγεῖν, μήτε πιεῖν αἰτήσασθαί ποτε τῷ πατρί μου, ἢ πάρεξ αὐτοῦ μεταλαβεῖν τινος τὸ καθόλου, ἕως ἂν ὁ Θεὸς πληροφορήσῃ αὐτὸν καὶ προστάξῃ μοι· καὶ οὕτως ἔχων, οὐδέποτε, φησί, τοῦ σκοποῦ μου ἀπέτυχον.

ιθ΄. Ὁ πίστιν κτησάμενος ἐναργῆ πρὸς τὸν κατὰ Θεὸν πατέρα αὐτοῦ, βλέπων αὐτόν, βλέπειν αὐτὸν τὸν Χριστὸν λογίζεται· καὶ συνὼν ἢ ἀκολουθῶν αὐτῷ, Χριστῷ συνεῖναι καὶ ἀκολουθεῖν βεβαίως πιστεύει. Ὁ τοιοῦτος οὐκ ἐπιθυμήσει ἑτέρῳ τινὶ ὁμιλῆσαί ποτε· οὐ προτιμήσει τι τῶν τοῦ κόσμου πραγμάτων, ὑπὲρ τὴν ἐκείνου μνήμην ὁμοῦ καὶ ἀγάπην. Τί γὰρ μεῖζον,

18. Ἐκεῖνος, ὁ ὁποῖος ἔχει δοκιμάσει τὴν πνευματικὴ ὠφέλεια καὶ ἀπέκτησε ἀνόθευτη πίστι [στὸν Πνευματικό του Πατέρα], ἀφοῦ ἐπρόβαλλε σὰν μάρτυρα τῆς ἀληθείας τὸν Θεό, εἶπε: «ἔβαλα μέσα μου αὐτὸν τὸν λογισμό, [δηλαδὴ πῆρα τὴν ἀπόφασι] νὰ μὴ ζητήσω ποτὲ ἀπὸ τὸν Πατέρα μου οὔτε νὰ φάω, οὔτε νὰ πιῶ, οὔτε καθόλου νὰ γευθῶ κάτι χωρὶς ἐκεῖνος [νὰ μοῦ τὸ πῇ], ἕως ὅτου ὁ Θεὸς τὸν πληροφορήσῃ καὶ μὲ προστάξῃ [νὰ τὸ κάνω]». Καὶ ἔχοντας αὐτὸν τὸν τρόπο [σὰν κανόνα], λέγει, δὲν ἀπέτυχα ποτὲ ἀπὸ τὸν σκοπό μου.

19. Ἐκεῖνος, ὁ ὁποῖος ἀπέκτησε καθαρὴ πίστι στὸν κατὰ Θεὸν Πατέρα του, ὅταν τὸν βλέπῃ, θεωρεῖ ὅτι βλέπει Αὐτὸν [τὸν Ἴδιο] τὸν Χριστὸ καὶ ὅταν εὑρίσκεται μαζί του ἢ τὸν ἀκολουθῇ, πιστεύει μὲ βεβαιότητα, ὅτι εὑρίσκεται μαζὶ μὲ τὸν Χριστὸ καὶ [Αὐτὸν] ἀκολουθεῖ. Ὁ [ὑποτακτικὸς] αὐτὸς δὲν θὰ ἐπιθυμήσῃ ποτὲ νὰ συναναστραφῇ μὲ κάποιον ἄλλο· οὔτε θὰ προτιμήσῃ κάποιο ἀπὸ τὰ πράγματα τοῦ κόσμου περισσότερο ἀπὸ τὴν μνήμη Ἐκείνου, καὶ τὴν ἀγάπη Του. Διότι τί εἶναι μεγαλύ-

ἢ καὶ ὠφελιμώτερον ἐν τῇ παρούσῃ καὶ ἐν τῇ μελλούσῃ ζωῇ, τοῦ συνεῖναι Χριστῷ; τί δὲ ὡραιότερον ἢ γλυκύτερον τῆς θέας αὐτοῦ; Εἰ δὲ καὶ ὁμιλίας ἀξιοῦται τῆς παρ᾽ αὐτοῦ, πάντως ζωὴν αἰώνιον ἐκ ταύτης ἀρύεται.

κʹ. Ὁ ἐκ διαθέσεως τοὺς λοιδοροῦντας ἢ ἀδικοῦντας καὶ ἀποστεροῦντας αὐτὸν ἀγαπῶν καὶ ὑπὲρ τούτων εὐχόμενος, εἰς προκοπὴν ἐν ὀλίγῳ μεγάλην ἀνέρχεται. Ἐν αἰσθήσει γὰρ καρδίας τοῦτο γινόμενον, εἰς ἄβυσσον ταπεινώσεως καὶ εἰς δακρύων πηγὰς τὸ λογιζόμενον καταφέρει· ἐν οἷς καταποντίζεται τὸ τριμερὲς τῆς ψυχῆς· ἀνάγει δὲ εἰς οὐρανὸν ἀπαθείας τὸν νοῦν καὶ θεωρητικὸν ἀπεργάζεται· καὶ τῇ γεύσει τῆς ἐκεῖθεν χρηστότητος, πάντα σκύβαλα τὰ τοῦ παρόντος βίου ἡγεῖσθαι ποιεῖ[5]· καὶ αὐτήν τε τὴν τροφὴν καὶ πόσιν μὴ ἐνηδόνως ἢ συχνοτέρως προσίεσθαι.

τερο ἢ καὶ ὠφελιμώτερο στὴν παροῦσα καὶ στὴν μέλουσα ζωή, ἀπὸ τὸ νὰ εἶναι [κανεὶς] μαζὶ μὲ τὸν Χριστό; Τί λοιπὸν [μπορεῖ νὰ εἶναι] ὡραιότερο καὶ γλυκύτερο ἀπὸ τὴν θέα Αὐτοῦ; Ἐὰν δὲ καὶ ἀξιώνεται νὰ συνομιλῇ μαζί Του [μὲ τὴν προσευχή], ὁπωσδήποτε ἀπὸ αὐτὴ ἀντλεῖ ζωὴ αἰώνια.

20. Ἐκεῖνος, ὁ ὁποῖος ἀγαπᾶ μὲ ὅλη τὴν διάθεσι [τῆς ψυχῆς του], αὐτοὺς ποὺ τὸν κακολογοῦν ἢ τὸν ἀδικοῦν καὶ τοῦ στεροῦν [τὰ πράγματά του] καὶ προσεύχεται γι᾽ αὐτούς, ἀνεβαίνει σύντομα [καὶ φθάνει] σὲ μεγάλη προκοπή. Διότι ὅταν αὐτὸ γίνεται μὲ καρδιακὴ αἴσθησι, οἱ λογισμοὶ [αὐτοὶ τῆς ἀγάπης] κατεβάζουν [τὸν ἄνθρωπο] σὲ ἄβυσσο ταπεινώσεως καὶ σὲ πηγὲς δακρύων· στὰ ὁποῖα βυθίζεται τὸ τριμερὲς τῆς ψυχῆς[α΄]· [καὶ] ἀνεβάζει τὸν νοῦ σὲ οὐρανὸ ἀπαθείας καὶ τὸν καθιστᾶ θεωρητικό· καὶ μὲ τὴν γεῦσι τῆς ἀγαθότητος, [ποὺ προέρχεται] ἀπὸ ἐκεῖ [δηλαδὴ τὴν ἀπάθεια], τὸν κάνει νὰ θεωρῇ σκύβαλα ὅλα [τὰ πράγματα] τῆς παρούσης ζωῆς, καὶ νὰ λαμβάνῃ καὶ αὐτὴ [ἀκόμη] τὴν τροφὴ καὶ τὸ νερὸ χωρὶς εὐχαρίστησι καὶ ὄχι συχνά.

κα΄. Οὐ πράξεων μόνων πονηρῶν ἀπέχεσθαι δεῖ, ἀλλὰ καὶ λογισμῶν καὶ ἐννοιῶν ἐναντίων σπουδάζειν χρὴ τὸν ἀσκητὴν ἐλεύθερον εἶναι, ἐνδιατρίβειν δὲ ἀεὶ ταῖς ψυχωφελέσι καὶ πνευματικαῖς ἐνθυμήσεσι, ἵνα οὕτως ἀμέριμνος ἀπὸ τῶν βιωτικῶν διαμένῃ.

κβ΄. Ὥσπερ ὁ ὅλον ἑαυτοῦ ἀπογυμνώσας τὸ σῶμα, ἐὰν καλύμματί τινι κεκαλυμμένους ἔχῃ τοὺς ὀφθαλμοὺς καὶ οὐ θελήσῃ ἆραι καὶ ἀποσείσασθαι αὐτό, οὐ δύναται ἀπὸ μόνης τῆς γυμνότητος τοῦ λοιποῦ σώματος ἰδεῖν τὸ φῶς, οὕτω καὶ ὁ πάντων τῶν ἄλλων πραγμάτων ὁμοῦ καὶ χρημάτων καταφρονήσας καὶ ἀπαλλαγεὶς αὐτῶν τῶν παθῶν, εἰ μὴ καὶ τῶν βιωτικῶν ἐνθυμήσεων καὶ τῶν πονηρῶν ἐννοιῶν ἐλευθερώσῃ τὸν τῆς ψυχῆς ὀφθαλμόν, οὐκ ὄψεταί ποτε τὸ νοητὸν φῶς, τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν καὶ Θεόν.

κγ΄. Ὥσπερ κάλυμμα ἐν ὀφθαλμοῖς ἐπιτεθέν, οὕτω λογισμοὶ κοσμικοὶ καὶ βιω-

21. Ὁ ἀσκητὴς δὲν πρέπει νὰ ἀπέχῃ μόνο ἀπὸ πονηρὲς πράξεις, ἀλλὰ πρέπει νὰ φροντίζῃ νὰ εἶναι ἐλεύθερος καὶ ἀπὸ λογισμοὺς καὶ ἀπὸ διανοήματα ἀντίθετα [πρὸς τὴν σωτηρία του], νὰ ἔχῃ δὲ πάντοτε ψυχωφελεῖς καὶ πνευματικοὺς διαλογισμούς, ἔτσι ὥστε νὰ παραμένῃ ἀμέριμνος ἀπὸ τὰ βιοτικά.

22. Ὅπως ἀκριβῶς ὁ [ἄνθρωπος], ὁ ὁποῖος ἔχει ἀπογυμνώσει ὅλο του τὸ σῶμα, ἐὰν ἔχῃ καλύψει τὰ μάτια του μὲ κάποιο κάλυμμα, καὶ δὲν θελήσῃ νὰ τὸ πάρῃ καὶ νὰ τὸ ἀπομακρύνῃ, δὲν μπορεῖ μόνο ἀπὸ τὴν γυμνότητα τοῦ ὑπολοίπου σώματος νὰ ἰδῇ τὸ φῶς, ἔτσι καὶ ἐκεῖνος, ποὺ καταφρόνησε ὅλα τὰ ἄλλα πράγματα μαζὶ καὶ τὰ χρήματα, καὶ ἀπαλλάχθηκε ἀπὸ τὰ πάθη του, ἐὰν δὲν ἐλευθερώσῃ τὸν ὀφθαλμὸ τῆς ψυχῆς καὶ ἀπὸ τὶς κοσμικὲς ἐνθυμήσεις καὶ τοὺς πονηροὺς διαλογισμούς, δὲν θὰ ἰδῇ ποτὲ τὸ νοητὸ φῶς, τὸν Κύριο ἡμῶν Ἰησοῦ Χριστὸ καὶ Θεό.

23. Ὅπως ἀκριβῶς ἕνα κάλυμμα τοποθετημένο πάνω στὰ μάτια [ἐμποδίζει τὴν ὅρασι],

τικαὶ ἐνθυμήσεις ἐν διανοίᾳ, ἤγουν ἐν ὀφθαλμῷ ψυχῆς γίνονται· καθ᾽ ὅσον οὖν ἐαθῶσι χρόνον, οὐ βλέψομεν· ἐπὰν δὲ ἐξαρθῶσι τῇ τοῦ θανάτου μνήμῃ, τότε τρανῶς ἴδωμεν τὸ φῶς τὸ ἀληθινόν, ὃ φωτίζει πάντα ἄνθρωπον εἰς τὸν ἄνω κόσμον ἐρχόμενον[6].

κδ΄. Ὁ ἐκ γενετῆς ὢν τυφλός, οὐ γνώσεται οὐδὲ πιστεύει τῶν γραφομένων τὴν δύναμιν· ὁ δὲ καταξιωθείς ποτε βλέψαι, συμμαρτυρήσει εἶναι ἀληθῆ τὰ λεγόμενα.

κε΄. Ὁ βλέπων τοῖς αἰσθητοῖς ὀφθαλμοῖς, οἶδε πότε νύξ, πότε ἡμέρα ἐστίν· ὁ δὲ τυφλός, τὰ ἀμφότερα ἀγνοεῖ. Καὶ ὁ πνευματικῶς ἀναβλέψας καὶ τοῖς νοεροῖς ὁρῶν ὀφθαλμοῖς, θεασάμενος τὸ ἀληθινὸν καὶ ἄδυτον φῶς, ὅταν ἐκ ῥαθυμίας εἰς τὴν προτέραν ἀποστραφῇ τύφλωσιν καὶ τοῦ φωτὸς ἀποστερηθῇ, εὐαισθήτως ἐπαισθάνεται τῆς τούτου στερήσε-

κατὰ τὸν ἴδιο τρόπο καὶ οἱ κοσμικοὶ λογισμοὶ καὶ οἱ βιοτικὲς ἐνθυμήσεις γίνονται [ἐμπόδιο] στὴ διάνοια, δηλαδὴ στὸν ὀφθαλμὸ τῆς ψυχῆς. Γιὰ ὅσο, λοιπόν, χρόνο ἀφεθοῦν [μέσα μας], δὲν πρόκειται νὰ δοῦμε· ὅταν ὅμως ξερριζωθοῦν μὲ τὴν μνήμη τοῦ θανάτου, τότε θὰ ἰδοῦμε ὁλοκάθαρα «τὸ φῶς τὸ ἀληθινό, τὸ ὁποῖο φωτίζει κάθε ἄνθρωπο ποὺ ἔρχεται στὸν ἄνω κόσμο».

24. Ἐκεῖνος, ὁ ὁποῖος εἶναι τυφλὸς ἐκ γενετῆς, οὔτε θὰ γνωρίσῃ, οὔτε πιστεύει τὴν δύναμι αὐτῶν ποὺ γράφομε· ἐκεῖνος ὅμως ποὺ καταξιώθηκε κάποτε νὰ ἀναβλέψῃ, θὰ ἐπιβεβαιώσῃ μαζί μας, ὅτι εἶναι ἀληθινὰ αὐτὰ ποὺ λέγομε.

25. Ἐκεῖνος, ὁ ὁποῖος βλέπει μὲ τὰ αἰσθητὰ μάτια, ξέρει πότε εἶναι νύκτα [καὶ] πότε ἡμέρα· ὁ τυφλὸς ὅμως ἀγνοεῖ καὶ τὰ δύο. Καὶ αὐτός, ὁ ὁποῖος ἀνέβλεψε πνευματικά, [ἀφοῦ θεραπεύθηκε ἀπὸ τὴν πνευματική του τύφλωσι] καὶ βλέπει μὲ νοεροὺς ὀφθαλμούς, ἔχοντας δεῖ τὸ ἀληθινὸ καὶ ἄδυτο Φῶς, ὅταν ἀπὸ ῥαθυμία ἐπιστρέψῃ στὴν προηγούμενη τύφλωσί του καὶ στερηθῇ [τῆς θέας Ἐκείνου] τοῦ Φωτός, αἰσθάνεται ἔντονα τὴν στέρησί του·

ως· καὶ πόθεν αὕτη συνέβη γενέσθαι, οὐκ ἀγνοεῖ. Ὁ δέ γε μένων τυφλὸς ἐκ γενετῆς, οὐδὲν οὔτε τῇ πείρᾳ, οὔτε τῇ ἐνεργείᾳ τούτων ἐπίσταται· εἰ μή τι ἐξ ἀκοῆς ἀκούσῃ καὶ μάθῃ, περὶ ὧν οὔποτε ἐθεάσατο, καὶ διηγήσηται ἄλλοις ἅπερ ἀκήκοεν, αὐτοῦ καὶ τῶν ἀκουόντων, περὶ ποίων πραγμάτων ἀλλήλοις προσδιαλέγονται, μὴ εἰδότων.

κς΄. Ἀδύνατον καὶ τὴν σάρκα τῷ κόρῳ τῶν βρωμάτων κατεμπιπλᾶν, καὶ πνευματικῶς τῆς νοερᾶς καὶ θείας ἐπαπολαύειν χρηστότητος. Ὅσῳ γὰρ τὴν γαστέρα τις θεραπεύσει, κατὰ τοσοῦτον ἐκείνης ἑαυτὸν ἀποστερήσει· καθ᾽ ὅσον δὲ τὸ σῶμα ὑπωπιάσει[7], ἀναλόγως καὶ τῆς πνευματικῆς τροφῆς τε καὶ παρακλήσεως ἐμπλησθήσεται.

κζ΄. Καταλείψωμεν πάντα τὰ ἐπὶ τῆς γῆς· μὴ πλοῦ-

καὶ δὲν ἀγνοεῖ ἀπὸ ποιὰ αἰτία τοῦ συνέβη αὐτή. Ὁ τυφλὸς ὅμως ἐκ γενετῆς, ὁ ὁποῖος παραμένει [τυφλός], δὲν γνωρίζει τίποτε ἀπὸ αὐτά, οὔτε ἀπὸ τὴν πεῖρα, οὔτε ἀπὸ τὴν ἐνέργεια αὐτῶν· ἐκτὸς ἐὰν κάτι ἐξ ἀκοῆς τὸ ἀκούσῃ καὶ τὸ μάθῃ, γιὰ αὐτὰ ποὺ ποτὲ δὲν εἶδε, [λόγῳ τῆς πνευματικῆς τυφλώσεώς του], καὶ διηγηθῇ σὲ ἄλλους, ἐκεῖνα τὰ ὁποῖα ἔχει ἀκούσει, [ἂν καὶ οὔτε] αὐτός, [οὔτε] αὐτοί, ποὺ τὸν ἀκοῦν, δὲν γνωρίζουν γιὰ ποιὰ πράγματα συνομιλοῦν μεταξύ τους.

26. Εἶναι ἀδύνατον κάποιος καὶ τὴν σάρκα νὰ χορταίνῃ μέχρι κορεσμοῦ τῶν φαγητῶν, καὶ [συγχρόνως] νὰ ἀπολαμβάνῃ πνευματικῶς τὴν θεία καὶ νοερὴ χρηστότητα. Διότι ὅσο κανεὶς ὑπηρετήσῃ τὴν κοιλία [του], τόσο θὰ στερήρῃ τὸν ἑαυτό του ἀπὸ ἐκείνη [τὴν θεία παρηγορία]. Κατὰ τὸ μέτρο δὲ ποὺ θὰ ταλαιπωρήσῃ τὸ σῶμα του, [μὲ τὴν ἐγκράτεια καὶ τὴν ἄσκησι], ἀναλόγως θὰ πληρωθῇ καὶ ἀπὸ πνευματικὴ τροφὴ καὶ παρηγορία.

27. Ἂς ἐγκαταλείψωμε πάντα τὰ γήϊνα· ὄχι μόνο τὸν πλοῦ-

τον μόνον καὶ χρυσὸν καὶ τὰς ἄλλας ὕλας τοῦ βίου, ἀλλὰ καὶ τὴν ἐπιθυμίαν τὴν πρὸς αὐτά, τέλεον ἀπὸ τῶν ψυχῶν ἡμῶν ἀπελάσωμεν. Μισήσωμεν μὴ μόνον τὰς ἡδονὰς τοῦ σώματος, ἀλλὰ καὶ τὰς ἀλόγους κινήσεις αὐτοῦ καὶ νεκρῶσαι τοῦτο διὰ πόνων σπουδάσωμεν. Διὰ τούτου γὰρ ἐνεργοῦνται τὰ τῆς ἐπιθυμίας καὶ εἰς ἔργον ἐξάγονται. Καὶ ζῶντος αὐτοῦ, ἀνάγκη πᾶσα τὴν ψυχὴν ἡμῶν νεκρὰν εἶναι καὶ δυσκίνητον πρὸς πᾶσαν θείαν ἐντολήν, ἢ καὶ παντελῶς ἀκίνητον.

κη'. Καθάπερ ἡ φλὸξ τοῦ πυρὸς εἰς ὕψος ἀεὶ αἴρεται, καὶ μᾶλλον ἐὰν στρέψῃς τὴν ὕλην ἀφ' ἧς ἀνάπτεται, οὕτω καὶ ἡ τοῦ κενοδόξου καρδία ταπεινωθῆναι οὐ δύναται· ἀλλ' ὡς ἂν εἴπῃς αὐτῷ τὰ τῆς ὠφελείας αὐτοῦ, μᾶλλον καὶ μᾶλλον ἐπαίρεται. Ἐλεγχόμενος γὰρ ἢ καὶ νουθετούμενος, ἀντιλέγει σφοδρῶς· ἐπαινούμενος δὲ ἢ καὶ παρα-

το καὶ τὸν χρυσὸ καὶ τὰ ἄλλα ὑλικὰ [πράγματα] τοῦ βίου, ἀλλὰ ἂς ἐξορίσωμε ἐντελῶς [ἀπὸ τὴν ψυχή μας] καὶ τὴν ἐπιθυμία μας γιὰ αὐτά. Ἂς μισήσωμε ὄχι μόνο τὶς ἡδονὲς τοῦ σώματος, ἀλλὰ καὶ τὶς παράλογες κινήσεις του, καὶ ἂς φροντίσωμε νὰ τὸ νεκρώσωμε μὲ κόπους. Διότι μέσῳ αὐτοῦ [δηλαδὴ τοῦ σώματος] διεγείρονται οἱ ἐπιθυμίες καὶ φθάνουν στὴν πρᾶξι. Καὶ ὅσο αὐτὸ εἶναι ζωντανό, [βρίσκεται σὲ κατάστασι ἐμπαθείας], κατ' ἀνάγκην ὅλη ἡ ψυχή μας εἶναι νεκρὴ καὶ δυσκίνητη γιὰ [τὴν ἐκτέλεσι] κάθε ἐντολῆς [τοῦ Θεοῦ] ἢ καὶ τελείως ἀκίνητη.

28. Ὅπως ἡ φλόγα τῆς φωτιᾶς σηκώνεται πάντοτε πρὸς τὰ πάνω, καὶ μάλιστα ἂν ἀνακινήσῃς τὸ ὑλικὸ ἀπὸ τὸ ὁποῖο ἀνάβει, [δηλαδὴ ἂν συνδαυλίσῃς τὰ ξύλα], ἔτσι καὶ ἡ καρδία τοῦ κενοδόξου δὲν μπορεῖ νὰ ταπεινωθῇ· ἀλλά, ἂν καὶ τοῦ εἰπῇς ἐκεῖνα ποὺ [εἶναι] πρὸς ὠφέλειά του, ἀκόμη περισσότερο ὑπερηφανεύεται. Διότι, ὅταν ἐλέγχεται ἢ νουθετῆται, ἀντιλέγει μὲ σφοδρότητα· ὅταν δὲ ἐπαινῆται ἢ καὶ

καλούμενος, ἀνυψοῦται κακῶς.

κθ΄. Ἄνθρωπος μεμελετηκὼς ἀντιλέγειν, ἑαυτῷ δίστομός ἐστι μάχαιρα, ἀναιρῶν ἀγνώστως τὴν ἰδίαν ψυχὴν καὶ τῆς αἰωνίου ζωῆς ἀλλότριον αὐτὴν ἐργαζόμενος.

λ΄. Ὁ ἀντιλέγων, ὅμοιός ἐστι τῷ ἑκουσίως ἔκδοτον ἑαυτὸν ποιοῦντι τοῖς ὑπεναντίοις τοῦ βασιλέως ἐχθροῖς. Ἡ γὰρ ἀντιλογία, ἁρπάγιόν ἐστι, δέλεαρ ἔχον τὴν δικαιολογίαν, δι᾽ ἧς ἀπατώμενοι, τὸ ἄγκιστρον καταπίνομεν τῆς ἁμαρτίας· ὑφ᾽ οὗ καὶ ἁρπάζεσθαι εἴωθεν ἡ ἀθλία ψυχή, ἀπὸ τῆς γλώττης καὶ τοῦ λαιμοῦ ὑπὸ τῶν πνευμάτων τῆς πονηρίας· καὶ ποτὲ μὲν εἰς ὕψος ὑπερηφανίας ἀνάγεσθαι, ποτὲ δὲ εἰς χάος ἀβύσσου ἁμαρτίας καταβυθίζεσθαι καὶ μετὰ τῶν ἐξ οὐρανοῦ ἐκπεπτωκότων καταδικάζεσθαι.

λα΄. Ὁ ἀτιμαζόμενος ἢ ὑβριζόμενος, καὶ σφόδρα

παρηγορῆται, ὑψηλοφρονεῖ ἀπρεπῶς.

29. Ἄνθρωπος, ὁ ὁποῖος ἀποφάσισε νὰ ἀντιλέγῃ, γίνεται γιὰ τὸν ἑαυτό του δίκοπο μαχαίρι, φονεύοντας ἀσύνετα τὴν ψυχή του, καὶ καθιστώντας την ξένη γιὰ τὴν αἰώνια ζωή.

30. Ἐκεῖνος, ὁ ὁποῖος ἀντιλέγει, εἶναι ὅμοιος μὲ αὐτὸν ποὺ θεληματικὰ παραδίδει [αἰχμάλωτο] τὸν ἑαυτό του, στοὺς ἀντιπάλους ἐχθρούς τοῦ βασιλέως. Διότι ἡ ἀντιλογία εἶναι ἄγκιστρο, ποὺ ἔχει δόλωμα τὴν δικαιολογία, ἀπὸ τὴν ὁποία ἀφοῦ ἐξαπατηθοῦμε, καταπίνομε τὸ ἄγκιστρο τῆς ἁμαρτίας· μὲ τὸ ὁποῖο καὶ συλλαμβάνεται συνήθως ἀπὸ τὴν γλῶσσα καὶ τὸν λαιμὸ ἡ ἀθλία ψυχή, ἀπὸ τὰ πονηρὰ πνεύματα. Καὶ ἄλλοτε μὲν ἀναβιβάζεται σὲ ὕψη ὑπερηφανίας, ἄλλοτε δὲ καταποντίζεται στὸ χάος τῆς ἀβύσσου τῆς ἁμαρτίας καὶ καταδικάζεται μαζὶ [μὲ τοὺς δαίμονες] ποὺ ἔχουν πέσει ἀπὸ τὸν οὐρανό.

31. Ἐκεῖνος, ὁ ὁποῖος ὑφίσταται προσβολὲς ἢ ὕβρεις

ἀλγῶν τὴν καρδίαν, γινωσκέτω ἐκ τούτου, ὅτι τὸν παλαιὸν ὄφιν περιφέρει ἐγκόλπιον. Εἰ μὲν οὖν μετὰ σιωπῆς ὑπομείνῃ ἢ μετὰ πολλῆς ταπεινώσεως ἀποκριθήσεται, ἀσθενῆ τοῦτον καὶ ἐκλελυμένον εἰργάσατο. Εἰ δὲ μετὰ πικρίας ἀντείπῃ, ἢ καὶ λαλήσῃ μετὰ θρασύτητος, δέδωκεν ἰσχὺν τῷ ὄφει τὸν ἰὸν ἐκχέαι ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ ἀνημέρως κατεσθίειν τὰ ἐντὸς αὐτοῦ· ὡς ἐντεῦθεν καθ᾽ ἑκάστην ἐνδυναμούμενον αὐτόν, κατάβρωμα ποιεῖσθαι τὴν ἐπ᾽ ἀγαθοῖς διόρθωσιν καὶ ἰσχὺν τῆς ἀθλίας αὐτοῦ ψυχῆς· καὶ ζῆν μὲν αὐτὸν ἔκτοτε τῇ ἁμαρτίᾳ, νεκρὸν δὲ παντελῶς εἶναι τῇ δικαιοσύνῃ.

λβ΄. Ἐὰν ἀποτάξασθαι βουληθῇς καὶ τὴν Εὐαγγελικὴν πολιτείαν ἐκδιδαχθῆναι, μὴ ἀπείρῳ, μηδὲ ἐμπαθεῖ διδασκάλῳ ἑαυτὸν ἐκδῷς· ἵνα μή, ἀντὶ Εὐαγγελικῆς, διαβολικὴν πολιτείαν ἐκδιδαχθῇς. Ἐπειδὴ καλῶν διδασκάλων, καλὰ

καὶ αἰσθάνεται σφοδρὸ πόνο στὴν καρδιά του, νὰ ξέρῃ ἀπὸ αὐτό, ὅτι φέρει στὸν κόλπο του τὸ ἀρχαῖο φίδι [τὸν διάβολο]. Ἐὰν μὲν λοιπὸν ὑπομείνῃ μὲ σιωπή, ἢ ἀπαντήσῃ μὲ πολλὴ ταπείνωσι, [ἤδη] ἀποδυνάμωσε καὶ παρέλυσε αὐτὸ [τὸ φίδι]. Ἐὰν ὅμως φέρῃ ἀντίλογο μὲ πικρία, ἢ μιλήσῃ μὲ θράσος, ἔχει δώσει δυνατότητα στὸ φίδι νὰ ξεχύνῃ τὸ δηλητήριο στὴν καρδία του, καὶ ἀνελέητα νὰ κατεσθίῃ τὴν ψυχή του. Ἔτσι [καὶ] εἰς τὸ ἑξῆς, ἀφοῦ μέρα μὲ τὴν ἡμέρα αὐτὸ θὰ ἐνδυναμώνεται, θὰ καταβροχθίζῃ τὴν διόρθωσι πρὸς τὸ ἀγαθὸ καὶ τὴν δύναμι τῆς ἀθλίας ψυχῆς του· [μὲ ἀποτέλεσμα] αὐτὸς μὲν νὰ ζῇ εἰς τὸ ἑξῆς μέσα στὴν ἁμαρτία, ἀλλὰ νὰ εἶναι [καὶ] ἐντελῶς νεκρὸς γιὰ τὴν δικαιοσύνη.

32. Ἐὰν θελήσῃς νὰ ἐγκαταλείψῃς [τὸν κόσμο] καὶ νὰ διδαχθῇς τὴν Εὐαγγελικὴ πολιτεία, μὴν παραδώσῃς τὸν ἑαυτό σου οὔτε σὲ ἄπειρο, οὔτε σὲ ἐμπαθῆ διδάσκαλο· γιὰ νὰ μὴ διδαχθῇς [ἀπὸ αὐτόν], ἀντὶ τῆς Εὐαγγελικῆς, τὴν διαβολικὴ πολιτεία. Ἐπειδὴ τῶν κα-

τὰ μαθήματα· κακῶν δέ, κακά· καὶ σπερμάτων πονηρῶν, πάντως πονηρὰ τὰ γεώργια.

λγ΄. Εὐχαῖς καὶ δάκρυσι τὸν Θεὸν καθικέτευσον, πέμψαι σοι ὁδηγὸν ἀπαθῆ τε καὶ ἅγιον. Ἐρεύνα δὲ καὶ αὐτὸς τὰς θείας Γραφὰς καὶ μάλιστα τὰς τῶν Ἁγίων Πατέρων πρακτικάς συγγραφάς· ἵνα ταύταις ἀντιπαρατιθεὶς τὰ παρὰ τοῦ διδασκάλου καὶ προεστῶτός σοι διδασκόμενα καὶ πραττόμενα, ὡς ἐν κατόπτρῳ δύνασαι βλέπειν ταῦτα καὶ καταμανθάνειν. Καὶ τὰ μὲν συνάδοντα ταῖς Γραφαῖς, ἐγκολποῦσθαι καὶ κατέχειν τῇ διανοίᾳ· τὰ δὲ νόθα καὶ ἀλλότρια, διακρίνειν καὶ ἀποπέμπεσθαι, ἵνα μὴ πλανηθῇς. Πολλοὶ γάρ, ἴσθι, πλάνοι καὶ ψευδοδιδάσκαλοι ἐν ταῖς ἡμέραις ταύταις γεγόνασιν.

λδ΄. Πᾶς ὁ μὴ βλέπων, ἄλλους δὲ ὁδηγεῖν ὑπισχνούμενος, πλάνος ἐστί· καὶ τοὺς ἑπομένους αὐτῷ, εἰς

λῶν διδασκάλων, καλὰ [εἶναι καὶ] τὰ μαθήματα· τῶν δὲ κακῶν, κακά· καὶ τῶν πονηρῶν σπερμάτων οἱ καρποί, ὁπωσδήποτε [εἶναι] πονηροί.

33. Μὲ προσευχὲς καὶ δάκρυα νὰ ἱκετεύσῃς τὸν Θεό, νὰ σοῦ στείλῃ ὁδηγὸ καὶ ἀπαθῆ καὶ ἅγιο. Νὰ μελετᾷς δὲ καὶ ἐσὺ προσεκτικὰ τὶς θεῖες Γραφὲς [Καινὴ καὶ Παλαιὰ Διαθήκη], καὶ ἰδίως τὰ πρακτικὰ συγγράμματα τῶν Ἁγίων Πατέρων· ὥστε, ἀφοῦ ἀντιπαραβάλῃς πρὸς αὐτὲς [τὶς Γραφές], αὐτὰ ποὺ διδάσκεσαι, [ἀλλὰ] καὶ τὶς πράξεις τοῦ διδασκάλου καὶ Προεστῶτος σου, νὰ μπορῇς νὰ τὰ βλέπῃς σὰν σὲ καθρέπτη καὶ νὰ τὰ παρατηρῇς καλῶς. Καὶ ὅσα μὲν [εἶναι] σύμφωνα μὲ τὶς Γραφὲς νὰ τὰ ἐγκολπώνεσαι καὶ νὰ τὰ κρατᾷς στὸ νοῦ· τὰ δὲ νόθα καὶ ξένα νὰ τὰ διακρίνῃς καὶ νὰ τὰ ἀποδιώκῃς, γιὰ νὰ μὴ πλανηθῇς. Διότι γνώριζε, ὅτι σὲ αὐτὲς τὶς ἡμέρες ἔχουν ἐμφανισθῆ πολλοὶ πλάνοι καὶ ψευδοδιδάσκαλοι.

34. Κάθε ἕνας, ὁ ὁποῖος δὲν βλέπει, ἀλλὰ ὑπόσχεται νὰ ὁδηγῇ ἄλλους, εἶναι πλάνος· καὶ αὐτούς, ποὺ τὸν ἀκολου-

βυθὸν ἀπωλείας ἐντίθησιν κατὰ τὴν τοῦ Κυρίου φωνήν· τυφλὸς τυφλὸν ἐὰν ὁδηγῇ, ἀμφότεροι εἰς βόθυνον ἐμπεσοῦνται[δ].

λε΄. Ὁ τυφλὸς πρὸς τὸ ἕν, τυφλὸς ὅλος πρὸς πάντα ἐστίν. Ὁ δὲ βλέπων ἐν τῷ ἑνί, ἐν θεωρίᾳ τῶν πάντων ἐστί· τῆς θεωρίας τε τῶν πάντων ἀπέχεται καὶ ἐν τῇ θεωρίᾳ τῶν πάντων γίνεται, καὶ τῶν θεωρουμένων ἔξω ἐστίν· ἐν τῷ ἑνὶ οὕτως ὤν, τὰ πάντα ὁρᾷ· καὶ ἐν πᾶσιν ὤν, οὐδὲν τῶν πάντων ὁρᾷ· ὁ βλέπων ἐν τῷ ἑνί, διὰ τοῦ ἑνὸς καὶ ἑαυτὸν καὶ ἅπαντα καὶ πάντας καθορᾷ· καὶ κεκρυμμένος ὢν ἐν αὐτῷ, οὐδὲν τῶν ἁπάντων ὁρᾷ.

λς΄. Ὁ μὴ τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ τοῦ ἐπουρανίου ἀνθρώπου τε καὶ Θεοῦ, ἐν τῷ λογικῷ καὶ νοερῷ ἀνθρώπῳ, εὐαισθήτως καὶ γνωστῶς ἐνδυσάμενος, αἷμα μόνον ἐστὶ καὶ σάρξ,

θοῦν, τοὺς ρίχνει στὸν βυθὸ τῆς ἀπωλείας, σύμφωνα μὲ τὴν φωνὴ τοῦ Κυρίου: «Ἐὰν ἕνας τυφλὸς ὁδηγῇ ἕναν [ἄλλο] τυφλό, καὶ οἱ δὺο [μαζὶ] θὰ πέσουν σὲ λάκκο».

35. Ἐκεῖνος, ὁ ὁποῖος εἶναι τυφλὸς στὸ Ἕνα [ποὺ εἶναι ὁ Χριστός], εἶναι ὁλοκληρωτικὰ τυφλὸς σὲ ὅλα. Ἐκεῖνος ὅμως, ποὺ βλέπει τὸν Ἕνα, θεωρεῖ [καὶ κατανοεῖ] τὰ πάντα· καὶ ἀπέχει [μὲν] ἀπὸ τὴν ὅραση ὅλων τῶν [αἰσθητῶν], [ἀλλὰ] καὶ ὅλα τὰ βλέπει [καὶ τὰ ἀντιλαμβάνεται, ἂν] καὶ ἀπὸ τὰ βλεπόμενα εὑρίσκεται ἔξω. [Διότι,] εὑρισκόμενος [στὴ θεωρία][β'] τοῦ Ἑνός, βλέπει τὰ πάντα· καὶ ἐνῶ θεωρεῖ τὰ πάντα, τίποτα ἀπ᾽ ὅλα δὲν βλέπει. Αὐτὸς ποὺ βλέπει τὸν Ἕνα, μέσῳ [Αὐτοῦ] τοῦ Ἑνός, καὶ τὸν ἑαυτό του καὶ ὅλα καὶ ὅλους βλέπει καθαρά· καὶ ζώντας κρυμμένος μέσα στὸν Χριστό, τίποτε ἀπὸ ὅλα δὲν βλέπει.

36. Ἐκεῖνος, ὁ ὁποῖος δὲν ἐφόρεσε μὲ πλήρη συναίσθησι καὶ γνῶσι τὴν εἰκόνα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, «τοῦ ἐπουρανίου» ἀνθρώπου καὶ Θεοῦ, κατὰ τὸ λογικὸ καὶ νοερὸ μέρος τῆς ἀνθρωπίνης [ὑποστάσεως], εἶναι μόνο αἷμα καὶ σάρκα, χωρὶς νὰ ἔχῃ τὴν

πνευματικῆς δόξης αἴσθησιν μὴ δυνάμενος διὰ τοῦ λόγου λαβεῖν. Καθάπερ καὶ οἱ ἐκ γενετῆς τυφλοί, διὰ τοῦ λόγου μόνου, τὸ τοῦ ἡλίου φῶς γνῶναι οὐ δύνανται.

λζ΄. Ὁ ἀκούων οὕτως καὶ βλέπων καὶ αἰσθανόμενος, οἶδε τῶν λεγομένων τὴν δύναμιν· ὡς ἤδη τὴν εἰκόνα φορέσας τοῦ ἐπουρανίου[9] *καὶ εἰς ἄνδρα τέλειον ἐλθὼν τοῦ πληρώματος τοῦ Χριστοῦ*[10]*· καὶ οὕτως ἔχων δύναται καὶ καλῶς ὁδηγεῖν ἐν τῇ ὁδῷ τῶν τοῦ Θεοῦ ἐντολῶν τὸ ποίμνιον τοῦ Θεοῦ. Ὁ δὲ μὴ εἰδώς, καὶ ἄλλως ἔχων, πρόδηλός ἐστιν, ὅτι οὐδὲ τὰ αἰσθητήρια τῆς ψυχῆς τετρανωμένα καὶ ὑγιῆ ἐπιφέρεται· ᾧ καὶ μᾶλλον καλῶς ἕξει, τὸ ἄγεσθαι ἢ τὸ ἄγειν ἐπικινδύνως.*

λη΄. Ὁ τῷ διδασκάλῳ καὶ ὁδηγῷ αὐτοῦ, ὡς Θεῷ ἀτενίζων, ἀντιλέγειν οὐ δύναται. Εἰ δὲ οἴεται καὶ λέγει

δυνατότητα νὰ λάβῃ τὴν αἴσθησι τῆς πνευματικῆς δόξας διὰ τῶν λόγων. Ὅπως ἀκριβῶς καὶ οἱ ἐκ γενετῆς τυφλοί, δὲν μποροῦν μόνο μὲ τὰ λόγια νὰ γνωρίζουν, [πῶς εἶναι] τὸ φῶς τοῦ ἡλίου.

37. Ἐκεῖνος, ὁ ὁποῖος μὲ αὐτὸν τὸν τρόπο ἀκούει καὶ βλέπει καὶ αἰσθάνεται, ἀντιλαμβάνεται τὴν δύναμι αὐτῶν ποὺ λέγομε· ἐπειδὴ ἤδη ἐφόρεσε τὴν εἰκόνα «τοῦ ἐπουρανίου» καὶ ἔφθασε [νὰ γίνῃ] «τέλειος ἄνθρωπος [ἀπὸ ἄποψι πνευματικῆς ὡριμότητος, κατὰ τὸ μέτρο] τῆς τελειότητος τοῦ Χριστοῦ»· καὶ εὑρισκόμενος σ᾽ αὐτὴν τὴν κατάστασι, μπορεῖ καὶ ὀρθὰ νὰ καθοδηγῇ τὸ ποίμνιο τοῦ Θεοῦ στὴν ὁδὸ τῶν ἐντολῶν τοῦ Θεοῦ. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος [δὲν ἀπέκτησε αὐτὴ τὴν γνῶσι] καὶ εἶναι σὲ διαφορετικὴ κατάστασι, φανερώνει, ὅτι οὔτε τὰ αἰσθητήρια τῆς ψυχῆς διαθέτει καθαρὰ καὶ ὑγιῆ· γι᾽ αὐτὸ καὶ καλλίτερα θὰ κάνῃ νὰ καθοδηγῆται μᾶλλον, παρὰ νὰ καθοδηγῇ [ἄλλους] ἐπικίνδυνα.

38. Ἐκεῖνος, ὁ ὁποῖος ἀτενίζει πρὸς τὸν διδάσκαλο καὶ καθοδηγητή του ὅπως στὸν [Ἴδιο] τὸν Θεό, δὲν μπορεῖ νὰ [τοῦ]

ἀμφότερα ἔχειν, ἴστω, πεπλάνηται. Ὁποίαν γὰρ οἱ τοῦ Θεοῦ πρὸς τὸν Θεὸν ἔχουσι τὴν διάθεσιν[α'], ἀγνοεῖ.

λθ'. Ὁ πιστεύων ἐν τῇ χειρὶ τοῦ ποιμένος αὐτοῦ τὴν ἑαυτοῦ ὑπάρχειν ζωὴν καὶ τὸν θάνατον, οὐκ ἀντείποι ποτέ. Ἡ δὲ τούτων ἄγνοια, ἀντιλογίαν γεννᾷ, τὴν πρόξενον τοῦ νοητοῦ καὶ αἰωνίου θανάτου.

μ'. Πρὸ τοῦ λαβεῖν τὴν ἀπόφασιν τὸν κατάδικον, τόπος δίδοται ἀπολογίας αὐτῷ, τῷ δικαστῇ λαλεῖν περὶ ὧν ἔπραξε. Μετὰ δὲ τὴν τῶν πρακτέων φανέρωσιν καὶ τὴν τοῦ δικαστοῦ ἀπόφασιν, οὐδέν, ἢ μικρὸν ἢ μέγα, τοῖς βασανίζουσιν ἀντιλέγει.

μα'. Πρὸ τοῦ εἰσελθεῖν εἰς τοῦτο τὸ δικαστήριον τὸν Μοναχὸν καὶ φανερῶσαι αὐτοῦ τὰ ἐγκάρδια, ἴσως ἀντιλέγειν ἔξεστιν αὐτῷ· τὰ μὲν κατὰ ἄγνοιαν, τὰ δὲ καὶ ὡς οἰομένῳ κρύπτειν

ἀντιλέγῃ. Ἐὰν δὲ νομίζῃ καὶ λέγῃ, ὅτι [μπορεῖ] νὰ ἔχῃ καὶ τὰ δύο, ἂς ξέρῃ ὅτι ἔχει πλανηθῇ. Διότι ἀγνοεῖ ποιὰ εἶναι τὰ αἰσθήματα, ποὺ ἔχουν γιὰ τὸν Θεό οἱ [ἄνθρωποι] τοῦ Θεοῦ.

39. Ἐκεῖνος, ὁ ὁποῖος πιστεύει, ὅτι στὸ χέρι τοῦ Γέροντός του εἶναι ἡ ζωὴ καὶ ὁ θάνατός του, δὲν θὰ ἀντιμιλήσῃ ποτέ. Ἡ ἄγνοια ὅμως αὐτῶν, γεννᾶ τὴν ἀντιλογία, ποὺ προξενεῖ τὸν νοητὸ καὶ αἰώνιο θάνατο.

40. Πρὶν νὰ λάβῃ τὴν ἀπόφασι [ἀπὸ τὸ δικαστήριο] ὁ κατηγορούμενος, τοῦ δίδεται εὐκαιρία ἀπολογίας, μιλώντας στὸν δικαστή, γιὰ ἐκεῖνα τὰ ὁποῖα διέπραξε. Μετὰ ὅμως ἀπὸ τὴν ἀποκάλυψι ἐκείνων ποὺ ἔκανε καὶ [τὴν ἔκδοσι] τῆς ἀποφάσεως τοῦ δικαστοῦ, κανένα πλέον μικρὸ ἢ μεγάλο ἀντίλογο [δὲν τοῦ ἐπιτρέπεται νὰ ἐκφέρῃ] σὲ αὐτοὺς ποὺ τὸν τιμωροῦν.

41. Πρὶν νὰ εἰσέλθῃ ὁ Μοναχὸς σ᾽ αὐτὸ [τὸ πνευματικὸ] δικαστήριο [δηλαδὴ τὴν ἐξομολόγησι], καὶ νὰ φανερώσῃ ὅσα εὑρίσκονται μέσα στὴν καρδία του, ἴσως ἔχει τὴν δυνατότητα νὰ ἀντιλέγῃ· ἀφ᾽ ἑνὸς μὲν ἀπὸ ἄγνοια, ἀφ᾽ ἑτέρου δὲ διότι νομίζει, ὅτι [μπορεῖ] νὰ κρύβῃ τὰ

τὰ ἑαυτοῦ. Μετὰ δὲ τὴν τῶν λογισμῶν ἀποκάλυψιν καὶ εἰλικρινῆ ἐξαγόρευσιν, οὐκ ἔξεστιν ἀντιλέγειν τῷ μετὰ Θεὸν δικαστῇ καὶ ἐξουσιαστῇ αὐτοῦ, μέχρι θανάτου ποτέ. Ὁ γὰρ Μοναχὸς ἐν τούτῳ κατ᾽ ἀρχὰς εἰσελθὼν τῷ δικαστηρίῳ καὶ ἀπογυμνώσας τὰ κρυπτὰ τῆς καρδίας αὐτοῦ, πέπεισται ἐκ προοιμίων, εἴγε καὶ ὁποσοῦν γνῶσιν κέκτηται, ὅτι μυρίων ὑπάρχει θανάτων ἄξιος· καὶ διὰ τῆς ὑπακοῆς αὐτοῦ καὶ ταπεινώσεως, πάσης τιμωρίας καὶ κολάσεως λυτρωθῆναι πιστεύει· εἰ ὡς ἀληθῶς ἄρα τὸν τρόπον τοῦ μυστηρίου ἐπίσταται.

μβ΄. Ὁ ἀνεξάλειπτα ταῦτα φυλάττων ἐν τῇ ἑαυτοῦ διανοίᾳ, τὴν καρδίαν οὐδέποτε κινηθήσεται, παιδευόμενος ἢ νουθετούμενος ἢ ἐλεγχόμενος. Ἐπειδὴ ὁ ἐμπίπτων τοῖς τοιούτοις κακοῖς, λέγω δὴ τῇ ἀντιλογίᾳ καὶ ἀπιστίᾳ, τῇ πρὸς τὸν πνευματικὸν πατέρα αὐτοῦ καὶ διδάσκαλον, εἰς πέ-

δικά του [ἁμαρτήματα]. Μετὰ ὅμως ἀπὸ τὴν φανέρωσι τῶν λογισμῶν καὶ τὴν εἰλικρινῆ ἐξομολόγησι, δὲν τοῦ ἐπιτρέπεται νὰ ἀντιλέγῃ ποτὲ [καὶ] μέχρι θανάτου στὸν μετὰ τὸν Θεὸ [γι᾽ αὐτόν] δικαστὴ καὶ ἐξουσιαστή του. Διότι ὁ Μοναχός, ὁ ὁποῖος ἀπὸ τὴν ἀρχὴ εἰσῆλθε σ᾽ αὐτὸ τὸ δικαστήριο καὶ ἀποκάλυψε τὰ κρύφια τῆς καρδίας του, ἔχει ἀπὸ πρὶν τὴν πεποίθησι, ἐὰν βεβαίως ἔχῃ ἀποκτήσει κάποια [πνευματικὴ] γνῶσι, ὅτι εἶναι ἄξιος μυρίων θανάτων· καὶ πιστεύει, ὅτι μὲ τὴν ὑπακοὴ καὶ τὴν ταπείνωσι, θὰ λυτρωθῇ ἀπὸ κάθε τιμωρία καὶ κόλασι· [αὐτὸ βέβαια ἰσχύει], ἐὰν ἀληθινὰ γνωρίζῃ τί [ἀκριβῶς] συμβαίνει στὸ μυστήριο αὐτό.

42. Ἐκεῖνος, ὁ ὁποῖος διαφυλάσσει ἀνεξάλειπτα στὴν διάνοιά του αὐτά, οὐδέποτε θὰ κινηθῇ [μὲ ἀντίδρασι] ἡ καρδία του, ὅταν παιδαγωγῆται ἢ νουθετῆται ἢ ἐλέγχεται. Διότι αὐτός, ὁ ὁποῖος πέφτει σὲ τέτοιου εἴδους κακά, ἐννοῶ βεβαίως τὴν ἀντιλογία καὶ τὴν ἀπιστία πρὸς τὸν πνευματικό του Πατέρα καὶ διδάσκαλο,

ταυρον καὶ βυθὸν ᾅδου, ἔτι ζῶν, ἐλεεινῶς καταφέρεται· καὶ οἶκος τοῦ σατανᾶ καὶ πάσης αὐτοῦ τῆς ἀκαθάρτου δυνάμεως γίνεται, ὡς ἀπειθὴς καὶ ἀπωλείας υἱός.

μγʹ. Παρακαλῶ σε τὸν τῆς ὑπακοῆς, ἵνα ταῦτα στρέφῃς συνεχῶς ἐν τῇ διανοίᾳ σου· καὶ πάσῃ σπουδῇ ἀγωνίσασθαι, τοῦ μὴ κατελθεῖν ἐν τοῖς εἰρημένοις τοῦ ᾅδου κακοῖς, ἀλλ᾽ οὕτω δέεσθαι θερμῶς τοῦ Θεοῦ καθ᾽ ἑκάστην, καὶ λέγειν· Θεὲ καὶ Κύριε τῶν ἁπάντων, ὁ πάσης πνοῆς καὶ ψυχῆς ἔχων τὴν ἐξουσίαν, ὁ μόνος ἰάσασθαί με δυνάμενος, ἐπάκουσόν μου τῆς δεήσεως τοῦ ταλαιπώρου, καὶ τὸν ἐν ἐμοὶ ἐμφωλεύοντα δράκοντα, τῇ τοῦ Παναγίου σου Πνεύματος ἐπιφοιτήσει, θανατώσας, ἀφάνισον· κἀμέ, πτωχὸν καὶ γυμνὸν πάσης ἀρετῆς ὑπάρχοντα, τοῖς τοῦ ἁγίου μου πατρὸς ποσὶ μετὰ δακρύων προσπεσεῖν ἀξίωσον· καὶ τὴν ἁγίαν αὐτοῦ

κατακρημνίζεται ἐλεεινά, ἐνῷ ἀκόμη ζεῖ, στὸν οἶκο τοῦ Ἅδη καὶ εἰς τὰ βαθύτερα μέρη του· καὶ γίνεται κατοικητήριο τοῦ σατανᾶ καὶ ὅλης τῆς ἀκάθαρτης δυνάμεώς του, [δηλαδὴ ὅλων τῶν δαιμονίων], ὡς παρήκοος καὶ υἱὸς ἀπωλείας.

43. Παρακαλῶ ἐσένα, τὸ [τέκνο] τῆς ὑπακοῆς, αὐτὰ νὰ διαλογίζεσαι συνεχῶς στὴν διάνοιά σου· καὶ νὰ ἀγωνίζεσαι μὲ κάθε προσπάθεια, νὰ μὴ φθάσῃς κάτω στὰ δεινὰ τοῦ Ἅδη, ποὺ ἔχομε ἀναφέρει, ἀλλὰ μὲ αὐτὸ τὸν τρόπο κάθε μέρα νὰ προσεύχεσαι θερμὰ στὸν Θεὸ καὶ νὰ λέγῃς· «Θεὲ καὶ Κύριε τῶν ὅλων, Ἐσὺ ποὺ ἔχεις τὴν ἐξουσία πάνω σὲ κάθε πνοὴ καὶ ζωή, ὁ μόνος ποὺ μπορεῖς νὰ μὲ θεραπεύσῃς, ἄκουσε τὴν δέησί μου, τοῦ ταλαιπώρου, καὶ τὸν δράκοντα, ποὺ φωλιάζει μέσα μου, ἐξαφάνισέ τον ἀφοῦ τὸν θανατώσῃς μὲ τὴν κάθοδο τοῦ Παναγίου σου Πνεύματος. Καὶ ἐμένα, ποὺ εἶμαι πτωχὸς καὶ γυμνὸς ἀπὸ κάθε ἀρετή, ἀξίωσέ με νὰ προσπέσω μὲ δάκρυα στὰ πόδια τοῦ ἁγίου μου πατρός, καὶ τὴν ἁγία του ψυχὴ ἕλκυσε σὲ συμ-

ψυχὴν εἰς συμπάθειαν τοῦ ἐλεῆσαί με ἕλκυσον· καὶ δὸς Κύριε ταπείνωσιν τῇ καρδίᾳ μου καὶ λογισμοὺς πρέποντας ἁμαρτωλῷ συνθεμένῳ σοι μετανοεῖν· καὶ μὴ εἰς τέλος ἐγκαταλείψῃς ψυχὴν ἅπαξ συνταξαμένην καὶ ὁμολογήσασαν καὶ ἀντὶ παντὸς τοῦ κόσμου ἐκλεξαμένην καὶ προτιμησαμένην σε· οἶδας γάρ, Κύριε, ὅτι θέλω σωθῆναι, εἰ καὶ ἡ πονηρά μου συνήθεια ἐμπόδιόν μου καθίσταται· ἀλλὰ δυνατά σοι, Δέσποτα, πάντα ὅσα παρὰ ἀνθρώποις ἀδύνατα[11].

μδ΄. Οἱ καλὸν τὸν θεμέλιον τῆς πίστεως καὶ ἐλπίδος ἐν τῇ αὐλῇ καταβαλόντες τῆς εὐσεβείας, μετὰ φόβου καὶ τρόμου, καὶ ἐπὶ τὴν πέτραν τῆς ὑπακοῆς τῶν πνευματικῶν πατέρων τοὺς πόδας ἀσαλεύτους ἐρείσαντες, καὶ ὡς ἐκ Θεοῦ στόματος τὰ παρ᾽ ἐκείνων ἐντελλόμενα ἀκούοντες, καὶ τῷ θεμελίῳ τούτῳ τῆς ὑπακοῆς ἀδιστάκτως

πάθεια γιὰ μένα, ὥστε νὰ μοῦ δείξῃ ἔλεος. Καὶ δῶσε Κύριε ταπείνωσι στὴν καρδία μου, καὶ λογισμοὺς ποὺ ἁρμόζουν σὲ ἁμαρτωλό, ὁ ὁποῖος σοῦ ὑποσχέθηκε νὰ ζῇ βίο μετανοίας· καὶ μὴν ἐγκαταλείψῃς ἐντελῶς τὴν ψυχή, ἡ ὁποία κάποτε [καὶ γιὰ πάντα] Σὲ ἀκολούθησε καὶ Σὲ ὡμολόγησε[δ'] [κατὰ τὴν ὥρα τοῦ Μεγάλου καὶ Ἀγγελικοῦ Σχήματος] καὶ ἐπέλεξε καὶ προτίμησε Ἐσένα ἀντὶ ὅλου τοῦ κόσμου. Διότι γνωρίζεις Κύριε ὅτι θέλω νὰ σωθῶ, ἂν καὶ ἡ πονηρή μου συνήθεια, μοῦ γίνεται ἐμπόδιο· ἀλλὰ σὲ Σένα Δέσποτα εἶναι δυνατὰ «ὅλα ὅσα γιὰ τοὺς ἀνθρώπους [εἶναι] ἀδύνατα».

44. Ἐκεῖνοι, οἱ ὁποῖοι μὲ φόβο καὶ τρόμο ἔβαλαν γερὸ τὸ θεμέλιο τῆς πίστεως καὶ τῆς ἐλπίδος στὴν αὐλή της εὐσεβείας, καὶ ἐστήριξαν ἀσάλευτα τὰ πόδια τους ἐπάνω στὴν πέτρα τῆς ὑπακοῆς τῶν πνευματικῶν πατέρων, καὶ ὑπακούουν σὲ ὅσα ἐκεῖνοι ἐντέλλονται ὡς προερχόμενα ἀπὸ τὸ στόμα τοῦ Θεοῦ, καὶ τὰ κτίζουν χωρὶς δισταγμὸ μὲ ταπείνωσι ψυχῆς, πάνω σὲ αὐτὸ τὸ θεμέλιο τῆς ὑπακοῆς,

ἐποικοδομοῦντες αὐτὰ ἐν ταπεινώσει ψυχῆς, εὐθὺς κατορθοῦσι. Καὶ κατορθοῦται αὐτοῖς τὸ μέγα τοῦτο καὶ πρῶτον κατόρθωμα, τὸ ἑαυτοὺς ἀπαρνήσασθαι. Τὸ γὰρ πληροῦν ἀλλότριον θέλημα καὶ μὴ τὸ ἑαυτοῦ, οὐ μόνον ἀπάρνησιν τῆς ἰδίας ψυχῆς, ἀλλὰ καὶ νέκρωσιν τὴν πρὸς τὸν κόσμον ἅπαντα ἐμποιεῖ.

με'. Τῷ τῷ ἑαυτοῦ πατρὶ ἀντιλέγοντι, συγχαίρουσι δαίμονες. Τὸν δὲ μέχρι θανάτου ταπεινούμενον, θαυμάζουσιν Ἄγγελοι. Ἔργον γὰρ Θεοῦ ὁ τοιοῦτος ἐργάζεται, ἐξομοιούμενος τῷ Υἱῷ τοῦ Θεοῦ, τῷ τὴν ὑπακοὴν πεπληρωκότι τῷ ἰδίῳ Πατρὶ μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ[12]*.*

μς'. Ὁ πολὺς καὶ ἄκαιρος συντριμμὸς τῆς καρδίας σκοτίζει καὶ θολοῖ τὴν διάνοιαν· καὶ τὴν μὲν καθαρὰν εὐχὴν καὶ κατάνυξιν ἀπὸ τῆς ψυχῆς ἐξαφανίζει, πόνον δὲ καρδιακὸν ἐμποιεῖ· ἐντεῦθεν δὲ σκληρότητα

[αὐτοὶ] γρήγορα φθάνουν σὲ [πνευματικὰ] κατορθώματα. Καὶ ἐπιτυγχάνεται σ' αὐτοὺς τὸ μέγα τοῦτο καὶ πρῶτο κατόρθωμα, τὸ νὰ ἀπαρνηθοῦν τοὺς ἑαυτούς τους. Διότι τὸ νὰ ἐκπληρώνῃ [κάποιος] τὸ θέλημα τοῦ ἄλλου καὶ ὄχι τὸ δικό του, προξενεῖ, ὄχι μόνο ἀπάρνησι τῆς ἴδιας τῆς ψυχῆς του, ἀλλὰ καὶ νέκρωσι πρὸς τὸν κόσμο ὁλόκληρο.

45. Μαζὶ μὲ αὐτὸν ποὺ ἀντιλέγει στὸν πατέρα του, χαίρουν οἱ δαίμονες. Αὐτὸν ὅμως, ποὺ μέχρι θανάτου ταπεινώνεται, θαυμάζουν οἱ Ἄγγελοι. Διότι αὐτὸς ἐργάζεται ἔργον Θεοῦ, ἐπειδὴ γίνεται ὅμοιος μὲ τὸν Υἱὸ τοῦ Θεοῦ, ὁ Ὁποῖος ἐξεπλήρωσε τὴν ὑπακοὴ στὸν Πατέρα Του «μέχρι θανάτου, καὶ μάλιστα θανάτου σταυρικοῦ».

46. Ἡ ὑπερβολικὴ καὶ παράκαιρη συντριβὴ τῆς καρδίας σκοτίζει καὶ θολώνει τὴν διάνοια. Καὶ τὴν μὲν καθαρὴ εὐχὴ καὶ κατάνυξι ἐξαφανίζει, προξενεῖ δὲ καὶ [σωματικὸ] καρδιακὸ πόνο. Κατόπιν δὲ ἀπὸ αὐτό, [ἐπιφέρει] σκληρότητα καὶ ἄμετρη ἀναισθησία].

καὶ πώρωσιν ἄπειρον· διὰ δὲ τούτων τοῖς πνευματικοῖς, οἱ δαίμονες τὴν ἀπόγνωσιν πραγματεύονται.

μζʹ. Ὁπηνίκα σοι ταῦτα ὑπαντήσωσι, Μοναχέ, εὕρῃς δὲ ζῆλον καὶ πόθον τελειότητος ἐν τῇ ψυχῇ σου πολύν, ὡς ἐπιθυμῆσαι πᾶσαν μὲν ἐντολὴν πληρῶσαι Θεοῦ, καὶ μηδὲ μέχρις ἀργοῦ λόγου παραπίπτειν καὶ ἁμαρτάνειν, μηδενὸς δὲ τῶν πάλαι ἀπολειφθῆναι ἁγίων κατὰ πρᾶξιν καὶ γνῶσιν καὶ θεωρίαν· ὁρᾷς δὲ κωλυόμενον σαυτὸν παρὰ τοῦ ὑποσπείροντος τὰ τῆς ἀθυμίας ζιζάνια καὶ μὴ ἐῶντός σε εἰς τοσοῦτον ὕψος ἁγιωσύνης ἐλάσαι ἐν τῷ ὑποβάλλειν αὐτὸν λογισμοὺς ἀθυμίας καὶ λέγειν· ἀδύνατόν σοι μέσον τοῦ κόσμου σωθῆναι καὶ φυλάξαι πάσας τὰς ἐντολὰς ἀνελλιπῶς τοῦ Θεοῦ· τότε σὺ ἐν μιᾷ καθίσας καταμόνας γωνίᾳ, σύστειλον σεαυτὸν καὶ ἐπισύναξόν σου τὸν λογισμὸν καὶ δὸς ἀγαθὴν βουλὴν τῇ σῇ

Μὲ αὐτοὺς [τοὺς τρόπους] οἱ δαίμονες, κατεργάζονται τὴν ἀπόγνωσι στοὺς πνευματικοὺς [ἀνθρώπους].

47. Ὅταν Μοναχὲ σοῦ συμβοῦν αὐτά, ἀλλὰ μέσα στὴν ψυχή σου εὕρῃς μεγάλο ζῆλο καὶ πόθο γιὰ τὴν τελειότητα, ὥστε νὰ ἐπιθυμήσῃς νὰ ἐκπληρώσῃς μὲν κάθε ἐντολὴ τοῦ Θεοῦ, καὶ νὰ μὴν πέφτῃς καὶ ἁμαρτάνῃς οὔτε ἀκόμα καὶ στὴν ἀργολογία, ἀλλὰ καὶ σὲ τίποτε νὰ μὴν ὑπολείπεσαι ἀπὸ τοὺς παλαιότερους Ἁγίους στὴν πρᾶξι καὶ στὴν γνῶσι καὶ στὴν θεωρία· ἀλλὰ [συγχρόνως] βλέπεις τὸν ἑαυτό σου νὰ ἐμποδίζεται ἀπὸ ἐκεῖνον [τὸν ἐχθρό], ποὺ σπέρνει τὰ ζιζάνια τῆς ἀθυμίας καὶ δὲν σὲ ἀφήνει νὰ φθάσῃς σὲ τόσο μεγάλο ὕψος ἁγιότητος, μὲ τὸ νὰ [σοῦ] ὑποβάλλῃ λογισμοὺς ἀθυμίας καὶ νὰ λέγῃ: «σοῦ εἶναι ἀδύνατον νὰ σωθῇς μέσα στὸν κόσμο καὶ νὰ φυλάξῃς ἀνελλιπῶς ὅλες τὶς ἐντολὲς τοῦ Θεοῦ», τότε ἐσύ, ἀφοῦ καθίσῃς μόνος σου σὲ μία γωνία, συμμάζευσε τὸν ἑαυτό σου καὶ συγκέντρωσε τὸν λογισμό σου, καὶ βάλε καλὴ γνώμη στὴν ψυχή σου καὶ

ψυχῇ καὶ εἰπέ· ἵνα τί περίλυπος εἶ ἡ ψυχή μου; καὶ ἵνα τί συνταράσσεις με; ἔλπισον ἐπὶ τὸν Θεόν, ὅτι ἐξομολογήσομαι αὐτῷ· σωτήριον τοῦ προσώπου μου, οὐχὶ τὰ ἔργα μου, ἀλλ᾽ ὁ Θεός μού ἐστι[13]*. Τίς γὰρ καὶ ἐξ ἔργων νόμου δικαιωθήσεται*[14]*; οὐ δικαιωθήσεται γὰρ ἐνώπιόν σου πᾶς ζῶν*[15]*· ἀλλ᾽ ἐκ πίστεως τῆς εἰς αὐτὸν τὸν Θεόν μου, ἐλπίζω σωθῆναι διὰ τῆς ἀφάτου εὐσπλαχνίας αὐτοῦ δωρεάν. Ὕπαγε ὀπίσω μου σατανᾶ· Κυρίῳ τῷ Θεῷ μου προσκυνῶ καὶ αὐτῷ ἐκ νεότητός μου λατρεύω*[16]*, τῷ δυναμένῳ με σῶσαι ἐν μόνῳ τῷ ἐλέει αὐτοῦ. Ἀπόστηθι οὖν ἀπ᾽ ἐμοῦ. Ὁ Θεὸς ὁ ποιήσας με κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν αὐτοῦ*[17]*, καταργήσει σε.*

μη΄. Ὁ Θεὸς ἐξ ἡμῶν οὐδὲν ἕτερον ἐπιζητεῖ τῶν ἀνθρώπων, ἀλλ᾽ ἢ τὸ μὴ ἁμαρτάνειν καὶ μόνον. Τοῦτο δὲ οὐκ ἔστιν ἔργον νόμου, ἀλλὰ φυλακὴ ἀπαράβατος τῆς εἰκόνος καὶ τοῦ ἄνωθεν ἀξιώματος·

λέγε· «Γιατὶ ψυχή μου εἶσαι γεμάτη ἀπὸ λύπη, καὶ γιατὶ μὲ ταράζεις ὁλόκληρο; Στήριξε τὴν ἐλπίδα σου στὸν Θεό, γιατὶ Αὐτὸν θὰ δοξολογήσω· [διότι] σωτηρία τοῦ προσώπου μου δὲν εἶναι τὰ ἔργα μου, ἀλλὰ ὁ Θεός μου». «Ποιὸς λοιπὸν θὰ δικαιωθῇ μὲ τὰ ἔργα τοῦ νόμου; Δὲν θὰ δικαιωθῇ ἐνώπιόν Σου κανεὶς ἀπὸ αὐτοὺς ποὺ ζοῦν [στὴν γῆ]»· ἀλλὰ ἐλπίζω μὲ τὴν πίστι σὲ Αὐτόν, τὸν Θεό μου, νὰ σωθῶ δωρεάν, χάρι στὴν ἄφατη εὐσπλαχνία Του. «Ὕπαγε ὀπίσω μου σατανᾶ». Ἐγὼ προσκυνῶ τὸν Κύριο καὶ Θεό μου, καὶ Αὐτὸν μόνο λατρεύω ἀπὸ τὴν νεότητά μου, ὁ Ὁποῖος μπορεῖ νὰ μὲ σώσῃ μόνο μὲ τὸ ἔλεός Του. Φῦγε λοιπὸν μακρυὰ ἀπὸ μένα. Ὁ Θεὸς ποὺ μὲ ἐδημιούργησε «κατ᾽ εἰκόνα καὶ καθ᾽ ὁμοίωσιν Αὐτοῦ», θὰ σὲ καταργήσῃ.

48. Ὁ Θεὸς ἀπὸ ἐμᾶς τοὺς ἀνθρώπους τίποτα ἄλλο δὲν ζητᾶ, παρὰ τὸ νὰ μὴν ἁμαρτάνωμε καὶ μόνον. Αὐτό δέ, δὲν εἶναι τήρησι νομικῆς ἐντολῆς, ἀλλὰ ἡ συνεχὴς διαφύλαξι τοῦ «κατ᾽ εἰκόνα» καὶ τοῦ ἄνωθεν ἀξιώματος [ποὺ ἐλάβαμε]· στὰ

ἐν οἷς κατὰ φύσιν ἑστῶτες καὶ τὸν χιτῶνα φοροῦντες λελαμπρυσμένον τοῦ Πνεύματος, ἐν τῷ Θεῷ μένομεν καὶ αὐτὸς ἐν ἡμῖν[18]*· θέσει Θεοὶ καὶ υἱοὶ Θεοῦ χρηματίζοντες, ἐν τῷ φωτὶ τῆς γνώσεως τοῦ Θεοῦ σημειούμενοι.*

μθ′. Ἀκηδία καὶ βάρος τοῦ σώματος, ἐξ ὀκνηρίας καὶ ἀμελείας προσγινόμενα τῇ ψυχῇ, τοῦ συνήθους ἀφιστῶσι κανόνος καὶ σκότωσιν τῇ διανοίᾳ προξενοῦσι καὶ ἀθυμίαν· ὡς ἐντεῦθεν δειλίας καὶ βλασφημίας λογισμοὺς ἐπιπολάζειν ἐν τῇ καρδίᾳ· καὶ μηδὲ ἐν τῷ συνήθει τόπῳ τῆς προσευχῆς εἰσελθεῖν, τὸν ὑπὸ τοῦ δαίμονος τῆς ἀκηδίας πειραζόμενον δύνασθαι, ἀλλὰ καὶ ὀκνεῖν αὐτὸν καὶ κατὰ τοῦ Ποιητοῦ τῶν ἁπάντων ἐνθυμεῖσθαι παράλογα. Γνοὺς οὖν τὴν αἰτίαν, καὶ πόθεν σοι ταῦτα ἐπῆλθον, σπουδαίως εἴσελθε εἰς τὸν συνήθη τόπον τῆς προσευχῆς σου, καὶ τῷ φιλανθρώ-

ὁποῖα παραμένοντας κατὰ φύσιν, καὶ φορώντας τὸν χιτῶνα ποὺ ἔχει λαμπρυνθῆ [μὲ τὴ χάρι] τοῦ [Ἁγίου] Πνεύματος [κατὰ τὸ Βάπτισμα], «μένομε μέσα στὸν Θεὸ καὶ Αὐτὸς [μένει] μέσα μας». Καὶ γινόμαστε θέσει θεοὶ καὶ υἱοὶ Θεοῦ, σφραγισμένοι μὲ τὸ φῶς τῆς γνώσεως τοῦ Θεοῦ.

49. Ἡ ἀκηδία καὶ [ἡ αἴσθησι] βάρους τοῦ σώματος, τὰ ὁποῖα προκαλοῦνται στὴν ψυχὴ ἀπὸ τὴν ὀκνηρία καὶ τὴν ἀμέλεια, ἀπομακρύνουν [τὸν ἀγωνιστὴ] ἀπὸ τὸν συνηθισμένο κανόνα καὶ ἐπιφέρουν σκοτασμὸ στὸ νοῦ καὶ ἀθυμία. Ὥστε ἀπὸ αὐτὰ νὰ ἐπικρατοῦν στὴν καρδία λογισμοὶ δειλίας καὶ βλασφημίας· καὶ [ὡς ἐκ τούτου] οὔτε στὸ συνήθη τόπο τῆς προσευχῆς νὰ μπορῇ νὰ εἰσέλθῃ ἐκεῖνος ποὺ πειράζεται ἀπὸ τὸν δαίμονα τῆς ἀκηδίας, ἀλλὰ [ἐπιπλέον συμβαίνει] καὶ νὰ ραθυμῇ καὶ νὰ διαλογίζεται παράλογα ἐναντίον τοῦ Δημιουργοῦ τῶν ἁπάντων. Ἔχοντας γνωρίσει λοιπὸν τὴν αἰτία, καὶ ἀπὸ ποῦ σοῦ συνέβησαν αὐτά, εἴσελθε ταχέως στὸν συνήθη τόπο τῆς προσευχῆς σου, καὶ ἀφοῦ προσπέσῃς στὰ γόνατα μπροστὰ

πῳ Θεῷ προσπεσών, δεήθητι μετὰ στεναγμῶν τῆς καρδίας, ἐν ὀδύνῃ καὶ δάκρυσι, τὴν ἀπαλλαγὴν τοῦ βάρους τῆς ἀκηδίας καὶ τῶν πονηρῶν λογισμῶν ἐξαιτούμενος, καὶ δοθήσεταί σοι, ἐμπόνως κρούοντι καὶ ἐπιμένοντι, ἡ τούτων ἐν τάχει ἐλευθερία.

ν΄. Ὁ καθαρὰν τὴν καρδίαν κτησάμενος, οὗτος δειλίαν ἐνίκησεν. Ὁ δὲ ἀκμὴν καθαιρόμενος, ποτὲ μὲν βάλλει αὐτήν, ποτὲ δὲ βάλλεται ὑπ᾽ αὐτῆς. Ὁ δὲ μηδόλως ἀγωνιζόμενος, ἢ παντελῶς ἀναισθητεῖ καὶ ἐν τῷ φίλος εἶναι παθῶν καὶ δαιμόνων, ὃς πρὸς τῇ κενοδοξίᾳ καὶ οἴησιν νοσεῖ, δοκῶν εἶναι τί, μηδὲν ὤν[19], ἢ δειλίας δοῦλος ὑπάρχει καὶ ὑποχείριος, τρέμων ὡς τῷ φρονήματι νήπιος καὶ φοβούμενος φόβον ἐκεῖ, ἔνθα οὐκ ἔστι φόβος[20], οὐδὲ δειλία τοῖς φοβουμένοις τὸν Κύριον.

να΄. Ὁ φοβούμενος τὸν Κύριον, δαιμόνων ὁρμὰς οὐ

στὸν φιλάνθρωπο Θεό, ἱκέτευσε μὲ καρδιακοὺς στεναγμούς, μὲ πόνο καὶ δάκρυα, ζητώντας νὰ σὲ ἀπαλλάξῃ ἀπὸ τὸ βάρος τῆς ἀκηδίας καὶ τῶν πονηρῶν λογισμῶν καὶ [ὁπωσδήποτε] θὰ σοῦ δοθῇ γρήγορα ἡ ἀπελευθέρωσι ἀπὸ αὐτά, ἐφόσον κρούεις [τὴν θύρα τοῦ ἐλέους Του] καὶ ἐπιμένεις.

50. Ἐκεῖνος, ὁ ὁποῖος ἀπέκτησε καθαρὴ καρδία, αὐτὸς ἐνίκησε τὴν δειλία. Ἐκεῖνος ὅμως ποὺ ἀκόμη ἀγωνίζεται γιὰ τὴν κάθαρσι, ἄλλοτε μὲν τὴν κτυπᾶ, ἄλλοτε δὲ πλήττεται ἀπὸ αὐτήν. Ἐκεῖνος ὅμως, ὁ ὁποῖος δὲν ἀγωνίζεται καθόλου, ἢ εἶναι τελείως ἀναίσθητος, ἐφόσον εἶναι καὶ φίλος τῶν παθῶν καὶ τῶν δαιμόνων, [καὶ] ὁ ὁποῖος μαζὶ μὲ τὴν κενοδοξία, νοσεῖ καὶ ἀπὸ ὑπερηφάνεια, «νομίζοντας ὅτι εἶναι κάτι [σπουδαῖο], ἐνῷ δὲν εἶναι τίποτε», ἢ εἶναι δοῦλος καὶ ὑποχείριος τῆς δειλίας, τρέμοντας, ἀφοῦ νηπιάζει στὸ φρόνημα, καὶ φοβᾶται «ἐκεῖ ποὺ δὲν ὑπάρχει φόβος» οὔτε δειλία γιὰ ὅσους φοβοῦνται τὸν Κύριο.

51. Ἐκεῖνος, ὁ ὁποῖος φοβεῖται τὸν Κύριο, δὲν φοβεῖται τὴν

φοβεῖται, οὐδὲ τὰς ἀσθενεῖς ἐφόδους αὐτῶν· ἀλλ' οὐδὲ ἀνθρώπων πονηρῶν ἀπειλάς. Ὥσπερ δέ τις φλόξ, ἢ φλέγον πῦρ, ὅλως ὤν, ἐν ἀδύτοις τόποις καὶ ἀφεγγέσι, νυκτὸς καὶ ἡμέρας περιϊών, φυγαδεύει τοὺς δαίμονας· φεύγοντας μᾶλλον αὐτὸν ἤπερ αὐτοὺς ἐκεῖνος, μὴ ἐμπρησθῆναι ὑπὸ τῆς ἐκπεμπομένης ἐξ αὐτοῦ φλογοειδοῦς ἀκτῖνος τοῦ θείου πυρός.

νβ΄. Ὃς τῷ φόβῳ τοῦ Θεοῦ στοιχεῖ, οὗτος μέσον ἀνδρῶν ἀναστρεφόμενος πονηρῶν οὐ φοβεῖται, τὸν φόβον αὐτοῦ ἔνδον ἔχων καὶ φέρων τὸ ἀκαταμάχητον ὅπλον τῆς πίστεως· μεθ' οὗ ἰσχύει καὶ δύναται πάντα δρᾶν, καὶ αὐτὰ τὰ δοκοῦντα δυσχερῆ τοῖς πολλοῖς καὶ ἀδύνατα. Ἀλλ' ὥσπέρ τις γίγας ἐν μέσῳ πιθήκων, ἢ λέων βρυχόμενος, ἐν μέσῳ κυνῶν καὶ ἀλωπέκων διάγων, πεποιθώς ἐστιν ἐπὶ Κύριον. Καὶ τῷ

σφοδρότητα τῶν δαιμόνων [ἐναντίον του], οὔτε τὶς ἀδύναμες ἐπιθέσεις τους· ἀλλὰ οὔτε [καὶ] τὶς ἀπειλὲς τῶν πονηρῶν ἀνθρώπων. Μὲ τὸ νὰ εἶναι δὲ [αὐτὸς] ὁλόκληρος σὰν μιὰ φλόγα, ἢ μιὰ φωτιὰ ποὺ καίει, περιδιαβαίνοντας νύκτα καὶ ἡμέρα σὲ ἀδιάβατους καὶ σκοτεινοὺς τόπους, διώχνει τοὺς δαίμονες. [Καὶ] περισσότερο τὸν ἀποφεύγουν [οἱ δαίμονες] ἀπὸ ὅσο ἐκεῖνος αὐτούς, ἐπειδὴ [φοβοῦνται μήπως] κατακαυθοῦν ἀπὸ τὴ φλεγομένη ἀκτῖνα τοῦ θείου πυρός, ἡ ὁποία ἐκπέμπεται ἀπὸ αὐτόν.

52. Ἐκεῖνος, ὁ ὁποῖος βαδίζει σύμφωνα μὲ τὸν φόβο τοῦ Θεοῦ, αὐτὸς δὲν φοβεῖται, ὅταν εὑρίσκεται ἀνάμεσα σὲ πονηροὺς ἀνθρώπους, ἐπειδὴ ἔχει μέσα του τὸν φόβο Αὐτοῦ καὶ κρατεῖ τὸ ἀκατανίκητο ὅπλο τῆς πίστεως· μὲ τὸ ὁποῖο ἔχει τὴν δύναμι καὶ μπορεῖ νὰ διενεργῇ τὰ πάντα καὶ αὐτά, τὰ ὁποῖα φαίνονται στοὺς πολλοὺς δύσκολα καὶ ἀκατόρθωτα. Ἀλλὰ ζώντας, ὅπως κάποιος γίγαντας ἀνάμεσα σὲ πιθήκους, ἢ κάποιο λεοντάρι ποὺ βρυχᾶται ἀνάμεσα σὲ σκύλους καὶ ἀλεποῦδες, [αὐτὸς] ἔχει [στηρίξει] τὴν ἐμπιστοσύνη του στὸν Κύριο. Καὶ μὲ τὴν

στεῤῥῷ τοῦ φρονήματος καταπλήττει αὐτοὺς καὶ ἐκδειματεῖ τὰς φρένας αὐτῶν, ὡς ῥάβδον σιδηρᾶν τὸν ἐν σοφίᾳ λόγον ἐπιφερόμενος.

νγ΄. Οὐχ ὁ ἡσυχάζων μόνος, ἢ ὁ ὑποτασσόμενος, ἀλλὰ καὶ ὁ ἡγουμενεύων καὶ ὁ πολλῶν προϊστάμενος, καὶ αὐτὸς ὁ διακονῶν, ἀμέριμνος ὀφείλει εἶναι· ἤγουν ἐλεύθερος ἀπὸ πάντων τῶν βιωτικῶν πραγμάτων ἀναμφιβόλως. Εἰ γὰρ μεριμνῶμεν, παραβάται τῆς τοῦ Θεοῦ ἐντολῆς εὑρισκόμεθα, τῆς λεγούσης μὴ μεριμνήσητε τῇ ψυχῇ ὑμῶν τί φάγητε, ἢ τί πίητε, ἢ τί ἐνδύσησθε· ταῦτα γὰρ πάντα τὰ ἔθνη ἐπιζητεῖ[21]*. Καὶ πάλιν· βλέπετε μήποτε βαρυνθῶσιν αἱ καρδίαι ὑμῶν ἐν κραιπάλῃ καὶ μέθῃ καὶ μερίμναις βιωτικαῖς*[22].

νδ΄. Ὁ ἐν τοῖς βιωτικοῖς πράγμασι τὸν λογισμὸν ἔχων μεριμνῶντα, οὐκ ἔστιν ἐλεύθερος. Ὑπὸ γὰρ τῆς τούτων μερίμνης κατέχεται καὶ δουλοῦται,

σταθερότητα τοῦ φρονήματός του, τοὺς καταβάλλει καὶ τοὺς ἐκφοβίζει κρατώντας, σὰν σιδηρᾶ ῥάβδο, τὸν λόγο τῆς [θεϊκῆς] σοφίας.

53. Ὄχι [μόνον] ὅποιος ἡσυχάζει μόνος [του] ἢ ὁ ὑποτακτικός, ἀλλὰ καὶ ὁ ἡγούμενος, καὶ ἐκεῖνος ποὺ προΐσταται πολλῶν, καὶ αὐτὸς ποὺ ἔχει κάποια διακονία ὀφείλει νὰ εἶναι ἀμέριμνος, ἀπελευθερωμένος δηλαδὴ ὁπωσδήποτε ἀπὸ ὅλα τὰ βιοτικὰ [πράγματα]. Διότι ἐὰν μεριμνοῦμε, εἴμαστε παραβάτες τῆς ἐντολῆς τοῦ Θεοῦ, ἡ ὁποία λέγει: «Νὰ μὴ μεριμνήσητε γιὰ τὴ ζωή σας, [γιὰ τὸ] τί θὰ φᾶτε, ἢ τί θὰ πιῆτε, ἢ τί θὰ φορέσετε· διότι ὅλα αὐτὰ τὰ ἐπιζητοῦν οἱ εἰδωλολάτρες». Καὶ πάλι: «Προσέξτε νὰ μὴν γίνουν βαρειὲς [δηλαδὴ δυσκίνητες στὰ πνευματικὰ] οἱ καρδιές σας, ἀπὸ τὴν κραιπάλη καὶ τὴν μέθη καὶ τὶς βιοτικὲς μέριμνες».

54. Ἐκεῖνος, ὁ ὁποῖος ἔχει τὸν λογισμό του στὴν μέριμνα τῶν βιοτικῶν πραγμάτων, δὲν εἶναι ἐλεύθερος. Διότι κυριεύεται ἀπὸ τὴν μέριμνα γιὰ αὐτὰ καὶ ὑποδουλώνεται, εἴτε γιὰ

κἂν ὑπὲρ ἑαυτοῦ μεριμνᾷ ταῦτα, κἂν δι᾽ ἑτέρους. Ὁ δὲ ὑπὸ τούτων ἐλεύθερος, οὔτε δι᾽ ἑαυτόν, οὔτε δι᾽ ἑτέρους μεριμνήσει βιωτικῶς, κἂν Ἐπίσκοπος, κἂν Διάκονος, κἂν Ἡγούμενος εἶναι τύχῃ. Ἀλλ᾽ οὐδὲ ἀργήσει ποτέ, ἢ τινὸς καταφρονήσει τῶν εὐτελεστάτων καὶ μικροτάτων[23]. *Θεαρέστως δὲ ἅπαντα ποιῶν καὶ πράττων, ἀμέριμνος ἐν πᾶσι διατελέσει καὶ ἐν τῷ βίῳ παντί.*

νε΄. Μὴ καταλύσῃς σου τὴν οἰκίαν, ἐν τῷ βούλεσθαί σε τὴν τοῦ πλησίον οἰκοδομῆσαι· ὅρα γὰρ ὡς χαλεπὸν τὸ ἔργον καὶ δύσκολον· μήποτε προαιρούμενος τοῦτο, καὶ τὴν σὴν καθαιρήσῃς καὶ ἀνοικοδομῆσαι τὴν ἐκείνου ἰσχύσῃς οὐδόλως.

νς΄. Ἐὰν μὴ τελείαν ἀπροσπάθειαν τῶν πραγμάτων καὶ τῶν χρημάτων κτήσῃ τοῦ βίου, μὴ θελήσῃς οἰκονομίαν ἐγχρισθῆναι [recte: ἐγχειρισθῆναι] πραγμάτων, ἵνα μὴ ἁλοὺς ἐν τού-

τὸν ἑαυτό του ἔχει αὐτὴ τὴ μέριμνα, εἴτε γιὰ τοὺς ἄλλους. Αὐτὸς ὅμως, ὁ ὁποῖος εἶναι ἐλεύθερος ἀπὸ αὐτά, δὲν θὰ μεριμνήσῃ γιὰ βιοτικά, οὔτε [ἂν πρόκειται] γιὰ τὸν ἑαυτό του, οὔτε γιὰ τοὺς ἄλλους, [ἀκόμη] κι ἂν συμβῇ νὰ εἶναι Ἐπίσκοπος ἢ Διάκονος ἢ Ἡγούμενος. Ἀλλὰ οὔτε θὰ παραμείνῃ ποτὲ ἀργός, οὔτε θὰ περιφρονήσῃ κάτι ἀπὸ τὰ πιὸ εὐτελῆ, καὶ μικρὰ [ποὺ πρέπει νὰ κάνῃ]. Ὅταν δὲ ὅλα τὰ κάνῃ καὶ τὰ ἐκτελῇ, ὅπως ἀρέσει στὸν Θεό, θὰ εἶναι ἀμέριμνος σὲ ὅλα καὶ σὲ ὅλη τὴν ζωή του.

55. Μὴ γκρεμίσῃς τὸ δικό σου σπίτι, θέλοντας νὰ κτίσῃς τὸ σπίτι τοῦ πλησίον· διότι βλέπε πόσο ἐπικίνδυνο καὶ δύσκολο εἶναι [αὐτὸ] τὸ ἔργο· μήπως ἐπιθυμώντας αὐτό, καὶ τὸ δικό σου [σπίτι] θὰ γκρεμίσῃς καὶ ἐκείνου δὲν θὰ μπορέσῃς καθόλου νὰ ἀνοικοδομήσῃς.

56. Ἐὰν δὲν ἀποκτήσῃς τελεία ἐλευθερία ἀπὸ τὴν ἐμπαθῆ προσκόλλησι σὲ πράγματα καὶ χρήματα τοῦ βίου, νὰ μὴ θελήσῃς νὰ ἀναλάβῃς διαχείρισι ὑλικῶν ἀγαθῶν, γιὰ νὰ

τοις, ἀντὶ τοῦ λήψασθαι μισθὸν διακονίας, κλέπτου καὶ ἱεροσύλου καταδίκην ὑφέξῃς. Εἰ δὲ ὑπὸ τοῦ προεστῶτος πρὸς τοῦτο ἐκβιασθῇς, ὡς πῦρ μεταχειριζόμενος, φλέγων [recte: φλέγον] διάκεισο· καὶ τὴν προσβολὴν τοῦ λογισμοῦ, δι' ἐξαγορεύσεως καὶ μετανοίας ἀπείργων, ἀβλαβὴς τῇ τοῦ προεστῶτος εὐχῇ διατηρηθήσῃ.

νζ΄. Ὁ μὴ γεγονὼς ἀπαθής, οὐδὲ ὅτι ἔστιν ἀπάθεια οἶδεν· ἀλλ' οὐδὲ πιστεύει εἶναί τινα τοιοῦτον ἐπὶ τῆς γῆς. Πῶς γὰρ ὁ μὴ ἑαυτὸν ἀρνησάμενος πρῶτον καὶ τὸ αἷμα κενώσας προθύμως αὐτοῦ ὑπὲρ τῆς Μακαρίας ταύτης τῷ ὄντι ζωῆς, ἄλλον ὑπονοήσῃ ταῦτα πεποιηκέναι εἰς τὸ κτήσασθαι τὴν ἀπάθειαν; Οὕτω δὲ καὶ ὁ δοκῶν Πνεῦμα ἔχειν Ἅγιον, μηδὲν ἔχων, οὐ πιστεύει πώποτε τὰς ἐνεργείας αὐτοῦ γινωσκομένας ἀκούων, ἐν τοῖς τὸ Πνεῦμα τὸ Ἅγιον ἔχουσι·

μὴν ὑποστῇς τὴν καταδίκη τοῦ κλέπτη καὶ ἱεροσύλου, ἀντὶ νὰ λάβῃς μισθὸ τῆς διακονίας σου, ἐπειδὴ κυριεύθηκες ἀπὸ αὐτά. Ἐὰν ὅμως ἀναγκασθῇς ἀπὸ τὸν προεστῶτα γιὰ αὐτό, νὰ ἔχῃς τέτοια διάθεσι, σὰν νὰ μεταχειρίζεσαι ἀναμμένη φωτιά· καὶ ἀφοῦ ἀπομακρύνῃς μὲ τὴν ἐξομολόγησι καὶ τὴν μετάνοια τὴν προσβολὴ τοῦ [ἐμπαθοῦς] λογισμοῦ, θὰ διαφυλαχθῇς ἀβλαβὴς μὲ τὴν εὐχὴ τοῦ προεστῶτος σου.

57. Αὐτός, ὁ ὁποῖος δὲν ἔχει γίνει ἀπαθής, δὲν γνωρίζει οὔτε ὅτι ὑπάρχει ἀπάθεια· ἀλλὰ οὔτε [καὶ] πιστεύει, ὅτι ὑπάρχει κανεὶς [ἀπαθὴς] ἐπὶ τῆς γῆς. Διότι πῶς αὐτός, ποὺ δὲν ἀπαρνήθηκε πρῶτα τὸν ἑαυτό του, καὶ δὲν ἔχυσε μὲ προθυμία τὸ αἷμα [του] γι' αὐτὴ τὴν μακαρία πράγματι ζωὴ [τῆς ἀπαθείας, εἶναι δυνατὸν] νὰ διανοηθῇ, ὅτι [κάποιος] ἄλλος ἔχει κάνει [ὅλα] αὐτά, γιὰ νὰ ἀποκτήσῃ τὴν ἀπάθεια; Ἔτσι λοιπὸν καὶ ἐκεῖνος, ποὺ νομίζει ὅτι ἔχει Πνεῦμα Ἅγιο, [ἐνῷ] δὲν ἔχει τίποτα, οὐδέποτε πιστεύει, ὅταν ἀκούῃ [γιὰ] τὶς ἐνέργειές Του, οἱ ὁποῖες ἐμφανίζονται σ' αὐτούς, ποὺ ἔχουν τὸ Ἅγιο Πνεῦμα. Καὶ [οὔτε πι-

καὶ ὅτι ἔστι τις κατὰ τὴν γενεὰν ταύτην ἐπίσης τοῖς Ἀποστόλοις Χριστοῦ καὶ τοῖς ἀπ᾽ αἰῶνος Ἁγίοις, θείῳ ἐνεργούμενος καὶ κινούμενος Πνεύματι, ἢ ἐν ὀπτασίᾳ τούτου γνωστῶς καὶ ἐν αἰσθήσει γινόμενος. Ἕκαστος γὰρ ἐκ τῆς οἰκείας καταστάσεως καὶ τὰ τῶν πλησίων κρίνει, ὡς ἔχει, εἴτε ἀρετῆς εἰπεῖν, εἴτε κακίας.

νη′. Ἄλλο ἀπάθεια ψυχῆς καὶ ἄλλο ἀπάθεια σώματος. Ἡ μὲν γὰρ καὶ τὸ σῶμα καθαγιάζει, τῇ οἰκείᾳ λαμπρότητι καὶ τῇ φωτοχυσίᾳ τοῦ Πνεύματος. Ἡ δὲ αὐτὴ μόνη καθ᾽ ἑαυτήν, εἰς οὐδὲν τὸν κτησάμενον ὠφελεῖν δύναται.

νθ′. Καθάπερ ὁ ἀπὸ πτωχείας ἐσχάτης, ὑπὸ τοῦ Βασιλέως εἰς πλοῦτον ἀνενεχθεὶς καὶ περιφανὲς ἀξίωμα, στολήν τε παρ᾽ αὐτοῦ λαμπρὰν ἐνδυθεὶς καὶ πρὸ προσώπου αὐτοῦ ἵστασθαι κελευσθείς, αὐτόν τε τὸν Βασιλέα μετὰ πόθου ὁρᾷ καὶ ὡς εὐεργέτην ὑπερα-

στεύει] ὅτι ὑπάρχει κάποιος στὴν γενεὰ αὐτή, ὁ ὁποῖος νὰ [δέχεται] τὶς θεῖες ἐνέργειες καὶ νὰ κινῆται ἀπὸ τὸ [Ἅγιο] Πνεῦμα, ὅπως οἱ Ἀπόστολοι τοῦ Χριστοῦ καὶ οἱ Ἅγιοι ὅλων τῶν αἰώνων, ἢ νὰ ἀξιώνεται τῆς ἐμφανείας Αὐτοῦ μὲ ἐπίγνωσι καὶ αἰσθητά. Διότι ὁ καθένας, σύμφωνα μὲ τὸ πῶς εἶναι ἡ δική του κατάστασι, κρίνει καὶ τὰ τοῦ πλησίον, εἴτε θὰ μιλήσῃ γιὰ ἀρετὴ εἴτε γιὰ κακία.

58. Ἄλλο [πρᾶγμα εἶναι] ἡ ἀπάθεια τῆς ψυχῆς καὶ ἄλλο ἡ ἀπάθεια τοῦ σώματος. Διότι ἡ μὲν [πρώτη] καὶ τὸ σῶμα ἐξαγιάζει μὲ τὴν δική της λαμπρότητα καὶ τὴν φωτοχυσία τοῦ Πνεύματος. Ἡ δὲ [δευτέρα] ἀπὸ μόνη της [χωρὶς δηλαδὴ τὴν πρώτη], δὲν μπορεῖ σὲ τίποτε νὰ ὠφελῇ ἐκεῖνον ποὺ τὴν ἀπέκτησε.

59. Ὅπως ἀκριβῶς κάποιος, ποὺ ἀπὸ ὑπερβολικὴ πτωχεία, ἀνυψώθηκε ἀπὸ τὸν βασιλέα σὲ πλοῦτο καὶ λαμπρὸ ἀξίωμα, καὶ ἔλαβε ἀπὸ αὐτὸν ὡς ἔνδυμα πολύτιμη στολή, καὶ ἐντολὴ νὰ στέκεται ἐνώπιόν του, καὶ αὐτὸν τὸν Βασιλέα τὸν βλέπει μὲ πόθο καὶ τὸν ὑπεραγαπᾶ ὡς εὐεργέτη του,

γαπᾷ καὶ τὴν στολὴν ἣν ἐνεδύσατο τρανῶς κατανοεῖ καὶ τὸ ἀξίωμα ἐπιγινώσκει καὶ τὸν δοθέντα αὐτῷ πλοῦτον ἐπίσταται· οὕτω καὶ Μοναχός, ὁ ἀληθῶς ἀπὸ τοῦ κόσμου καὶ τῶν ἐν αὐτῷ πραγμάτων ἀναχωρήσας καὶ προσελθὼν τῷ Χριστῷ, ἀνακληθείς τε εὐαισθήτως καὶ πρὸς ὕψος πνευματικῆς θεωρίας διὰ τῆς τῶν ἐντολῶν ἐργασίας ἀνενεχθείς, αὐτόν τε τὸν Θεὸν ἀπλανῶς ὁρᾷ καὶ τὴν γενομένην εἰς αὐτὸν ἀλλοίωσιν τρανῶς κατανοεῖ. Βλέπει γὰρ ἀεὶ τὴν χάριν τοῦ Πνεύματος τὴν περιλάμπουσαν αὐτόν· ἥτις καὶ ἔνδυμα καλεῖται, καὶ βασίλειος ἁλουργίς· μᾶλλον δὲ ὅπερ αὐτός ἐστι Χριστὸς ὁ Κύριος· εἴπερ αὐτὸν οἱ εἰς αὐτὸν πιστεύοντες ἐπενδύονται[24].

ξʹ. Πολλοὶ μὲν ἀναγινώσκουσι τὰς θείας Γραφάς. Οἱ δὲ καὶ ἀναγινωσκομένας ἀκούουσιν. Ὀλίγοι δὲ οἱ τῶν ἀναγινωσκομένων τὴν δύναμιν καὶ τὴν ἔννοιαν ὀρθῶς εἰδέναι δυνάμενοι.

καὶ ἀντιλαμβάνεται πλήρως [τὴν σημασία] τῆς στολῆς ποὺ ἐφόρεσε καὶ ἔχει ἐπίγνωσι τοῦ ἀξιώματος καὶ γνωρίζει καλὰ [τὴν ἀξία] τοῦ πλούτου ποὺ τοῦ δόθηκε· ἔτσι καὶ ὁ Μοναχός, ὁ ὁποῖος ἀναχώρησε ἀληθινὰ ἀπὸ τὸν κόσμο καὶ τὰ πράγματά του καὶ προσῆλθε στὸν Χριστό, ἀφοῦ ταχέως ἀνταποκρίθηκε στὴν κλῆσι του [ἀπὸ Ἐκεῖνον] καὶ ἀφοῦ ἀνυψώθηκε μὲ τὴν ἐργασία τῶν ἐντολῶν σὲ ὕψος πνευματικῆς θεωρίας, ὁρᾶ Αὐτὸν τὸν Θεὸ χωρὶς νὰ πλανᾶται, καὶ ἀντιλαμβάνεται μὲ σαφήνεια τὴν ἀλλοίωσι ποὺ ἔχει ἐπέλθει εἰς αὐτόν. Διότι βλέπει πάντοτε τὴν Χάρι τοῦ Πνεύματος ποὺ λάμπει γύρω ἀπὸ αὐτόν, ἡ ὁποία καὶ ἔνδυμα ὀνομάζεται καὶ βασιλικὴ πορφύρα· ἡ ὁποία μᾶλλον εἶναι αὐτὸς ὁ Ἴδιος ὁ Χριστὸς ὁ Κύριος· ἀφοῦ Αὐτὸν ἐνδύονται ὅσοι πιστεύουν εἰς Αὐτόν.

60. Πολλοὶ μὲν διαβάζουν τὶς θεῖες Γραφές. Ἄλλοι δὲ τὶς ἀκούουν, ὅταν διαβάζωνται [ἀπὸ τοὺς ἄλλους]. Λίγοι ὅμως εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι μποροῦν νὰ γνωρίζουν ὀρθὰ τὴν δύναμι καὶ τὴν σημασία αὐτῶν ποὺ διαβάζουν. Οἱ [πε-

Οἵ, ποτὲ μὲν ἀδύνατα εἶναι τὰ ὑπὸ τῶν θείων Γραφῶν ἀποφαίνονται· ποτὲ δὲ καὶ ἄπιστα παντελῶς ἡγοῦνται· ἢ καὶ ἀλληγοροῦσι ταῦτα κακῶς. Καὶ τὰ μὲν κατὰ τὸν ἐνεστῶτα χρόνον λεγόμενα, ὡς πρὸς μέλλοντα ἐκβῆναι κρίνουσι· τὰ δὲ περὶ τῶν μελλόντων εἰρημένα, ὡς ἤδη γεγονότα καὶ καθ' ἑκάστην γινόμενα ἐκλαμβάνονται· καὶ οὕτως οὐκ ἔστι κρίσις ὀρθὴ ἐν αὐτοῖς, οὐδὲ διάγνωσις ἀληθὴς ἐν θείοις καὶ ἀνθρωπίνοις πράγμασιν.

ξα'. Πάντας τοὺς πιστούς, ὡς ἕνα βλέπειν ὀφείλομεν οἱ πιστοὶ καὶ ἐπὶ ἑνὶ ἑκάστῳ αὐτῶν εἶναι λογίζεσθαι τὸν Χριστόν. Καὶ οὕτω τῇ πρὸς αὐτὸν ἀγάπῃ διακεῖσθαι, ὡς ἑτοίμους εἶναι ὑπὲρ αὐτοῦ τιθέναι τὰς ἰδίας ψυχάς. Οὐδὲ γὰρ τὸ καθόλου λέγειν ἢ νομίζειν ὀφείλομέν τινα πονηρόν, ἀλλὰ πάντας ὡς ἀγαθοὺς ὁρᾶν, ὥσπερ εἴπομεν. Κἂν γὰρ ὑπὸ πα-

ρισσότεροι] ἄλλοτε μὲν διακηρύσσουν, ὅτι εἶναι ἀδύνατα [τὰ λεγόμενα] στὶς θεῖες Γραφές· ἄλλοτε δὲ τὰ θεωροῦν καὶ τελείως ἀναξιόπιστα· ἢ καὶ τὰ ἑρμηνεύουν ἐσφαλμένως. Καὶ ἐκεῖνα μὲν ποὺ λέγουν [οἱ Γραφὲς] γιὰ τὸν παρόντα χρόνο, [τὰ] κρίνουν ὅτι θὰ συμβοῦν στὸ μέλλον· αὐτὰ δὲ τὰ ὁποῖα ἔχουν λεχθῆ γιὰ τὰ μελλοντικὰ [γεγονότα], τὰ θεωροῦν ὅτι ἔχουν ἤδη γίνει καὶ ὅτι κάθε μέρα γίνονται. Καὶ ἔτσι δὲν ὑπάρχει μέσα τους ὀρθὴ κρίσι, οὔτε ἀληθινὴ διάκρισι σὲ θεῖα καὶ ἀνθρώπινα πράγματα.

61. Ὅλους τοὺς πιστοὺς [Χριστιανούς], ὀφείλομε [ἐμεῖς] οἱ πιστοὶ νὰ τοὺς βλέπωμε ὡς ἕνα, [δηλαδὴ ὅλους ἴσους] καὶ νὰ θεωροῦμε, ὅτι [μέσα] σὲ κάθε ἕναν ἀπὸ αὐτοὺς εἶναι ὁ [Ἴδιος] ὁ Χριστός. Καὶ τέτοια νὰ εἶναι ἡ ἀγάπη μας πρὸς αὐτόν, ὥστε νὰ εἴμεθα ἕτοιμοι νὰ θυσιάσωμε γι' αὐτὸν καὶ τὶς ζωές μας. Διότι ὀφείλομε ὄχι μόνο νὰ μὴ λέμε καθόλου ἢ νὰ νομίζωμε γιὰ κάποιον [ὅτι εἶναι] κακός, ἀλλὰ ὅλους νὰ τοὺς βλέπωμε ὡς καλούς, ὅπως εἴπαμε [προηγουμένως]. Καὶ ἂν ἀκόμη ἰδῇς κάποιον

θῶν ὀχλούμενον ἴδῃς τινά, μὴ τὸν ἀδελφόν, ἀλλὰ τὰ πάθη μίσησον, τὰ πολεμοῦντα αὐτόν. Κἂν ὑπὸ ἐπιθυμιῶν καὶ προλήψεων τυραννούμενον, ἐπὶ πλεῖον εὐσπλαχνίσθητι· μήποτε καὶ αὐτὸς πειρασθῇς, ὡς ὑπὸ τροπὴν ὢν ὕλης εὐπεριστάτου.

ξβ΄. Εἴ τις κίβδηλος ἐξ ὑποκρίσεως, ἢ ἐξ ἔργων ἐπίμωμος, ἢ πρὸς βραχὺ τεθραυσμένος ἐξ ἑνὸς πάθους, ἢ μικρὸν ἐλλιπὴς ἐξ ἀμελείας ἐν μέρει τυγχάνει, οὐ συγκαταριθμεῖται τοῖς ὁλοκλήροις· ἀλλ᾽ ὡς ἄχρηστος καὶ ἀδόκιμος ἀποβάλλεται, ἵνα μὴ ἐν καιρῷ τάσεως, διαρραγῆναι ποιήσῃ τὸν σύνδεσμον τῆς ἁλύσεως καὶ διάστασιν ἐν ἀδιαστάτοις καὶ λύπας ἐν ἀμφοτέροις ἐργάσηται· τῶν μὲν ἔμπροσθεν, ὑπὲρ τῶν ὑστέρων· τῶν δέ, ὑπὲρ τοῦ χωρισμοῦ τῶν προαγόντων ἀλγεινομένων.

ξγ΄. Ὃν τρόπον ἐν φλογὶ

νὰ ἐνοχλῆται ἀπὸ τὰ πάθη, νὰ μισήσῃς ὄχι τὸν ἀδελφό, ἀλλὰ τὰ πάθη, τὰ ὁποῖα τὸν πολεμοῦν. Καὶ ἂν [τὸν ἰδῇς] νὰ τυραννῆται ἀπὸ ἐπιθυμίες καὶ προηγούμενες συνήθειες, ἀκόμη περισσότερο δεῖξε του εὐσπλαχνία· μήπως κάποτε καὶ σὺ ὁ ἴδιος δοκιμασθῇς ἀπὸ πειρασμό, ἐπειδὴ [εἶσαι] ἀπὸ ὕλη ποὺ εὔκολα ὑπόκειται σὲ μεταβολή.

62. Ἐὰν κάποιος εἶναι κίβδηλος ἀπὸ ὑποκρισία ἢ ἀξιοκατάκριτος γιὰ τὰ ἔργα του, ἢ λίγο συντριμμένος ἀπὸ ἕνα πάθος, ἢ κάπως ἐλλιπὴς ἀπὸ μερικὴ ἀμέλεια, δὲν συμπεριλαμβάνεται σ᾽ αὐτοὺς ποὺ εἶναι ἀκέραιοι [πνευματικά]· ἀλλὰ ἀποβάλλεται [ἀπὸ τὴν ἀδελφότητα] ὡς ἄχρηστος καὶ ἀνάξιος, ὥστε σὲ καιρὸ ἐντάσεως νὰ μὴν γίνῃ αἰτία νὰ σπάσῃ ἡ συνοχὴ τῆς ἁλυσίδας [δηλαδὴ τῆς ἀδελφότητος] καὶ δημιουργήσῃ διαίρεσι στὰ ἀδιαίρετα καὶ λύπη καὶ στὰ δύο μέρη· σ᾽ αὐτοὺς μὲν ποὺ ἔχουν προχωρήσει [πνευματικά], λύπη γιὰ ὅσους ὑστεροῦν, στοὺς ἄλλους δὲ πόνο γιὰ τὸν χωρισμό τους, ἀπὸ ἐκείνους ποὺ τοὺς προάγουν [πνευματικά].

63. Ὅπως κάποιος, ὁ ὁποῖος ρί-

καιομένης καμίνου χοῦν ἐπιβαλών τις ταύτην σβεννύει, τὸν αὐτὸν τρόπον καὶ αἱ βιωτικαὶ μέριμναι καὶ πᾶς προσπαθείας τρόπος εὐτελοῦς καὶ σμικροτάτου πράγματος, τὴν ἀναφθεῖσαν ἐν ἀρχαῖς θέρμην τῆς καρδίας ἐξαφανίζει.

ξδ΄. Πᾶσαν βρῶσιν καὶ πόσιν καὶ καλλωπισμὸν ἐνδυμάτων, ὁ τὸν φόβον ἐγκυμονῶν τοῦ θανάτου βδελύξεται. Καὶ ἐνηδόνως οὐ φάγεται ἄρτον, οὐ πίεται ὕδωρ· παρέξει δὲ μόνον τὴν χρείαν τῷ σώματι, ὅσον μόνον αὔταρκες πρὸς τὸ ζῆν. Πᾶν θέλημα ἑαυτοῦ ἀπαρνήσεται καὶ δοῦλος πάντων ἐν διακρίσει τῶν ἐπιταττομένων γενήσεται.

ξε΄. Ὁ δοῦλον ἑαυτὸν δοὺς τοῖς κατὰ Θεὸν πατράσιν αὐτοῦ, διὰ τὸν φόβον τῆς κολάσεως, οὐ τὰ κουφίζοντα τὸν τῆς καρδίας αὐτοῦ πόνον, ἐπιτασσόμενα ἕλοιτο· οὐ τὰ λύοντα τὸν τοῦ φόβου δεσμόν· οὐδὲ τοῖς ἐπὶ τὰ τοιαῦτα φιλικῶς, ἢ

χνει χῶμα ἐπάνω στὴν φλόγα μιᾶς ἀναμμένης καμίνου, τὴν σβήνει, μὲ τὸν ἴδιο τρόπο καὶ οἱ βιοτικὲς μέριμνες καὶ κάθε ἐκδήλωσι ἐμπαθοῦς προσκολλήσεως σὲ εὐτελὲς καὶ πολὺ μικρὸ πρᾶγμα, ἐξαφανίζει τὴν θέρμη τῆς καρδίας, ποὺ [σὰν φλόγα] ἄναψε στὶς ἀρχὲς [τῆς πνευματικῆς ζωῆς].

64. Ἐκεῖνος, ὁ ὁποῖος κυοφορεῖ τὸν φόβο τοῦ θανάτου [στὴν καρδία του], θὰ ἀποστραφῇ ὡς βδέλυγμα κάθε τροφὴ καὶ ποτὸ καὶ στολισμὸ τῶν ἐνδυμάτων. Καὶ δὲν θὰ φάγῃ τὸ ψωμί, οὔτε θὰ πιῇ τὸ νερὸ ἡδονικά· ἀλλὰ θὰ δώσῃ μόνο τὸ ἀναγκαῖο στὸ σῶμα, μόνο ὅσο τοῦ εἶναι ἀρκετὸ γιὰ νὰ ζήσῃ. Θὰ ἀπαρνηθῇ κάθε δικό του θέλημα, καὶ θὰ γίνῃ δοῦλος μὲ διάκρισι, σὲ ὅλα ὅσα τὸν προστάζουν.

65. Ἐκεῖνος, ὁ ὁποῖος παρέδωσε τὸν ἑαυτό του δοῦλο στοὺς κατὰ Θεὸν πατέρες του, λόγῳ τοῦ φόβου τῆς κολάσεως, δὲν θὰ διαλέξῃ [ἀπὸ] ὅσα τὸν προστάζουν, ἐκεῖνα ποὺ ἀνακουφίζουν τὸν πόνο τῆς καρδίας του· οὔτε ἐκεῖνα ποὺ λύνουν τὰ δεσμὰ τοῦ φόβου· οὔτε θὰ ὑπακούσῃ σ᾽ ἐκείνους ποὺ τὸν

κολακευτικῶς, ἢ προστακτικῶς ἐνάγουσιν ὑπακούσεται. Ἀλλὰ μᾶλλον τὰ αὐξάνοντα αὐτὸν προτιμήσει καὶ τὰ τὸν δεσμὸν ἐπισφίγγοντα θελήσει καὶ τὰ τὸν δήμιον ἐνισχύοντα ἀγαπήσει. Καὶ ἐν τούτοις ἐμμείνει, ὡς μὴ προσδοκῶν ποτὲ ἐλευθερίαν λήψεσθαι ὅλως ἐξ αὐτῶν. Ἡ γὰρ ἐλπὶς τῆς ἀπαλλαγῆς κουφότερον τὸν πόνον ἐργάζεται· ὅπερ ἐστὶν ἀλυσιτελὲς τῷ μετανοοῦντι θερμῶς.

ξϛʹ. Παντὶ τῷ κατὰ Θεὸν βιοῦν ἀρχομένῳ, ἐπωφελὴς ὁ τῆς κολάσεως φόβος καὶ ὁ πόνος ὁ τικτόμενος ἐξ αὐτοῦ. Ὁ δὲ τοῦ τοιούτου πόνου καὶ δεσμοῦ χωρίς, ἀρχὴν βαλεῖν φανταζόμενος, οὐκ ἐπὶ ψάμμου μόνον τῶν ἑαυτοῦ πράξεων τὸν θεμέλιον καταβάλλεται, ἀλλὰ καὶ εἰς ἀέρα οἴεται δίχα θεμελίων συνιστάνειν οἰκίαν· ὅπερ πάντῃ ἀδύνατον. Ὁ γὰρ πόνος οὗτος, ὅσον οὔπω πᾶσαν χαρὰν ἀποτίκτει· καὶ ὁ δεσμὸς οὗ-

ὠθοῦν πρὸς αὐτὰ μὲ τρόπο φιλικὸ ἢ κολακευτικὸ ἢ ἐπιτακτικό. Ἀλλὰ μᾶλλον θὰ προτιμήσῃ αὐτὰ ποὺ αὐξάνουν αὐτὸν [τὸν πόνο], καὶ θὰ θελήσῃ ἐκεῖνα, τὰ ὁποῖα συσφίγγουν τὰ δεσμὰ [τοῦ φόβου] καὶ θὰ ἀγαπήσῃ ὅσα ἐνισχύουν αὐτὸν [ποὺ φαίνεται σὰν] δήμιος. Καὶ σ᾽ αὐτὰ θὰ παραμείνῃ, σὰν νὰ μὴ περιμένῃ ποτὲ νὰ ἐλευθερωθῇ πλήρως ἀπὸ αὐτά. Διότι ἡ ἐλπίδα τῆς ἀπαλλαγῆς [ἀπὸ τὸ βάρος] κάνει ἐλαφρότερο τὸν πόνο· [πρᾶγμα] τὸ ὁποῖο δὲν ὠφελεῖ αὐτόν, ὁ ὁποῖος μετανοεῖ θερμά.

66. Σὲ κάθε ἕναν, ποὺ ἀρχίζει νὰ ζῇ σύμφωνα μὲ τὶς ἐντολὲς τοῦ Θεοῦ, εἶναι ὠφέλιμος ὁ φόβος τῆς κολάσεως καὶ ὁ πόνος ποὺ γεννιέται ἀπὸ αὐτόν. Ἐκεῖνος ὅμως ποὺ φαντάζεται, ὅτι [μπορεῖ] χωρὶς αὐτὸν τὸν πόνο καὶ τὸν δεσμό, νὰ βάλῃ ἀρχή, δὲν βάζει τὸ θεμέλιο τῶν πράξεών του μόνο πάνω στὴν ἄμμο, ἀλλὰ νομίζει ὅτι καὶ στὸν ἀέρα, χωρὶς θεμέλια, [μπορεῖ] νὰ κτίσῃ σπίτι· τὸ ὁποῖο [εἶναι] τελείως ἀδύνατο. Διότι [πράγματι] ὁ πόνος αὐτὸς σύντομα γεννᾶ κάθε χαρά· καὶ ὁ δεσμὸς αὐτὸς

τος πάντων ἁμαρτημάτων καὶ παθῶν τὰ δεσμὰ διαῤῥήσσει· καὶ ὁ δήμιος οὗτος, οὐχὶ θάνατον, ἀλλὰ ζωὴν αἰώνιον προξενεῖ.

ξζ΄. Ὃς ἂν μὴ θελήσῃ ἀποσκιρτῆσαι καὶ ἐκφυγεῖν τὸν τικτόμενον πόνον, ἀπὸ τοῦ φόβου τῆς αἰωνίου κολάσεως, ἀλλὰ προθέσει καρδίας ἀκολουθήσῃ αὐτῷ καὶ ἐπισφίγξῃ πλέον τὰ τούτου δεσμὰ ἑαυτῷ ἀναλόγως, συντομωτέρως ὁδεύσει· καὶ πρὸ προσώπου τοῦ Βασιλέως τῶν βασιλευόντων παραστήσει αὐτόν. Τούτου δὲ γεγονότος, ἅμα τῷ θεάσασθαι αὐτὸν ἀμυδρῶς πρὸς τὴν δόξαν αὐτοῦ, εὐθέως λυθήσονται μὲν τὰ δεσμά, ὁ δὲ δήμιος φόβος, φεύξεται μακρὰν ἀπ᾽ αὐτοῦ· καὶ ὁ ἐν τῇ καρδίᾳ αὐτοῦ πόνος, τραπήσεται εἰς χαράν· καὶ πηγὴ γενήσεται βρύουσα, αἰσθητῶς μὲν δάκρυα ποταμηδὸν ἀενάως, νοητῶς δὲ γαλήνην, πρᾳότητα καὶ ἄφραστον γλυκασμόν, ἔτι δὲ ἀνδρείαν καὶ τὸ πρὸς πᾶσαν ὑπακοὴν ἐλευθερίως καὶ ἀνεμποδίστως τρέχειν τῶν ἐντολῶν τοῦ

συντρίβει τὰ δεσμὰ ὅλων τῶν ἁμαρτιῶν καὶ τῶν παθῶν· καὶ ὁ δήμιος αὐτὸς δὲν προξενεῖ θάνατο, ἀλλὰ τὴν αἰώνιο ζωή.

67. Ἐκεῖνος, ὁ ὁποῖος δὲν θὰ θελήσῃ νὰ ἀποσκιρτήσῃ καὶ νὰ ξεφύγῃ ἀπὸ τὸν πόνο, ποὺ γεννιέται ἀπὸ τὸν φόβο τῆς αἰωνίου κολάσεως, ἀλλὰ τὸν ἀκολουθήσῃ μὲ καρδιακὴ διάθεσι καὶ συσφίγξῃ περισσότερο γύρω του τὰ δεσμὰ αὐτοῦ, ἀνάλογα [μὲ τὴν ἀντοχή του], θὰ προχωρήσῃ συντομώτερα· καὶ θὰ παρουσιάσῃ τὸν ἑαυτό του ἐνώπιον τοῦ Προσώπου τοῦ Βασιλέως τῶν βασιλευόντων. Καὶ ὅταν γίνῃ αὐτό, μόλις θὰ ἰδῇ αὐτὸς ἀμυδρὰ [καὶ μόνον] τὴν δόξα Του, ἀμέσως θὰ λυθοῦν μὲν τὰ δεσμά, ὁ δὲ δήμιος φόβος θὰ φύγῃ μακρυὰ ἀπὸ αὐτόν, καὶ ὁ ἐντὸς τῆς καρδίας του πόνος θὰ μετατραπῇ σὲ χαρά· καὶ θὰ γίνῃ πηγή, ἡ ὁποία αἰσθητῶς μὲν θὰ ἀναβλύζῃ δάκρυα ἀσταμάτητα σὰν ποτάμι, νοητῶς δὲ γαλήνη, πραότητα καὶ ἀνέκφραστο γλυκασμό. Ἀκόμη [θὰ τοῦ δώσῃ] καὶ ἀνδρεία καὶ [δύναμι] νὰ τρέχῃ ἐλεύθερα καὶ ἀνεμπόδιστα πρὸς κάθε ὑπακοὴ τῶν ἐντολῶν τοῦ Θεοῦ·

Θεοῦ· ὃ τέως τοῖς εἰσαγωγικοῖς ἀδύνατον· τῶν δὲ πρὸς τὸ μέσον κατὰ προκοπὴν ἀνελθόντων, καὶ ἴδιον· τοῖς δέ γε τελειουμένοις, φῶς ἡ πηγὴ αὕτη, τῆς καρδίας αἴφνης ἀλλοιουμένης καὶ μεταβαλλομένης, γίνεται.

ξη΄. Ὁ ἔνδον αὐτοῦ τὸ φῶς τοῦ Παναγίου Πνεύματος ἔχων, μὴ φέρων τοῦτο ὁρᾶν, εἰς γῆν πρηνὴς πίπτει, κράζει τε καὶ βοᾷ ἐν ἐκπλήξει τε καὶ φόβῳ πολλῷ, ὡς ὑπὲρ φύσιν, ὑπὲρ λόγον, ὑπὲρ ἔννοιαν πρᾶγμα ἰδὼν καὶ παθών. Καὶ γίνεται ὅμοιος ἀνθρώπῳ ποθὲν ἀναφθέντι τὰ σπλάγχνα ὑπὸ πυρός· ὑφ᾽ οὗ φλεγόμενος, καὶ τῆς φλογὸς τὸν ἐμπρησμὸν μὴ δυνάμενος φέρειν, ὑπάρχει ὥσπερ ἐξεστηκώς, καὶ μηδὲ ἑαυτοῦ γενέσθαι ὅλως ἰσχύων· τοῖς δάκρυσι δὲ καταντλούμενος ἀενάως, καὶ ὑπὸ τούτων καταψυχόμενος, τὸ πῦρ ἐξάπτει

[πρᾶγμα] ποὺ εἶναι ἀδύνατον σ᾽ ἐκείνους ποὺ πρὸ ὀλίγου εἰσῆλθαν [στὴν πνευματικὴ ζωή]. Καὶ εἶναι αὐτὸ γνώρισμα, ἐκείνων ποὺ ἔχουν ἀνέλθει ἕως τὸ μέσον [τῆς ὁδοῦ τῆς πνευματικῆς ζωῆς]. Σὲ ὅσους ὅμως ὁδεύουν πρὸς τὴν τελείωσι, ἡ πηγὴ αὐτὴ γίνεται φῶς, ἐνῶ ἡ καρδία εὐθὺς ἀλλοιώνεται καὶ μεταβάλλεται.

68. Ἐκεῖνος, ὁ ὁποῖος ἔχει μέσα του τὸ φῶς τοῦ Παναγίου Πνεύματος, ἐπειδὴ δὲν ἀντέχει νὰ τὸ βλέπῃ, πέφτει κατὰ γῆς πρηνής, καὶ φωνάζει καὶ κραυγάζει μὲ ἔκπληξι καὶ μὲ μεγάλο φόβο, ἐπειδὴ εἶδε καὶ ἔπαθε πρᾶγμα, τὸ ὁποῖο ὑπερβαίνει τὴν φύσι, τὴν λογικὴ καὶ τὴν ἀντίληψί του. Καὶ γίνεται παρόμοιος μὲ ἄνθρωπο, τοῦ ὁποίου τὰ σπλάγχνα ἀπὸ κάποια αἰτία φλέγονται ἀπὸ φωτιά· ἀπὸ τὴν ὁποία καίγεται καὶ ἐπειδὴ δὲν μπορεῖ νὰ ὑποφέρῃ τὸ κάψιμο ἀπὸ τὴν φλόγα, εὑρίσκεται σὲ κατάστασι ἐκτὸς ἑαυτοῦ καὶ δὲν ἔχει τὴν δύναμι νὰ ἐπιστρέψῃ στὸν ἑαυτό του· καὶ καθὼς κατακλύζεται ἀπὸ δάκρυα ἀκατάπαυστα, καὶ ἀπὸ αὐτὰ δροσίζεται, φουντώνει ἐντο-

τοῦ πόθου σφοδρότερον. Ἐντεῦθεν δὲ τὰ δάκρυα προχέει πλειόνως· καὶ τῇ τούτων ἐκχύσει πλυνόμενος, λαμπρότερον ἀπαστράπτει. Ὅτε δὲ ὅλως ἐκπυρωθείς, ὡς φῶς γένηται, τότε πληροῦται τὸ φάσκον, Θεὸς Θεοῖς ἑνούμενός τε καὶ γνωριζόμενος, καὶ τοσοῦτον ἴσως, ὅσον ἤδη τοῖς συναφθεῖσιν ἡνώθη καὶ τοῖς ἐγνωκόσιν ἀπεκαλύφθη.

ξθ′. Πρὸ τοῦ πένθους καὶ τῶν δακρύων, μηδεὶς ἡμᾶς κενοῖς ἀπατάτω λόγοις[25]*, μηδὲ πλανῶμεν ἑαυτούς. Οὐκ ἔστιν ἐν ἡμῖν μετάνοια, οὐδὲ ἀληθὴς μεταμέλεια, οὐδὲ φόβος Θεοῦ ἐν ταῖς καρδίαις ἡμῶν, οὐδὲ κατέγνωμεν ἑαυτῶν, οὐδὲ ἐν αἰσθήσει τῆς μελλούσης κρίσεως καὶ τῶν αἰωνίων βασάνων ἐγένετο ἡ ψυχὴ ἡμῶν. Εἰ γὰρ κατέγνωμεν ἑαυτῶν καὶ ἐκτησάμεθα ταῦτα καὶ ἐν τούτοις ἐγενόμεθα, εὐθὺς καὶ δάκρυα κατηγάγομεν ἄν. Τούτων γὰρ χωρίς, οὔτε ἡ σκληροκαρδία ἡμῶν ἀπαλυν-*

νώτερα τὸ πῦρ τοῦ [θείου] πόθου [μέσα του]. Τότε δὲ χύνει [ἀκόμη] περισσότερα δάκρυα· καὶ μὲ τὴ ροὴ αὐτῶν, πλένεται καὶ ἀστράπτει πιὸ λαμπρά. Ὅταν δὲ πυρακτωθῇ ὁλοκληρωτικά, γίνεται ὡς φῶς, [καὶ] τότε ἐκπληρώνεται αὐτὸ ποὺ ἔχει λεχθῆ: «ὁ Θεὸς ἑνώνεται μὲ τοὺς θεοὺς [δηλαδὴ τοὺς θεωμένους ἀνθρώπους] καὶ γίνεται γνωστὸς σ᾽ αὐτούς, καὶ τόσο πολὺ ἴσως, ὅσο ἔχει ἑνωθῆ ἤδη μὲ αὐτοὺς ποὺ ἔγιναν ἕνα μὲ Αὐτόν, καὶ ἔχει ἀποκαλυφθῆ σὲ ὅσους Τὸν γνώρισαν».

69. Πρὶν [νὰ ἀποκτήσωμε] τὸ πένθος καὶ τὰ δάκρυα, ἂς μὴ μᾶς ἐξαπατᾷ κανεὶς μὲ λόγια ψευδῆ, οὔτε νὰ ξεγελᾶμε τοὺς ἑαυτούς μας. Δὲν ὑπάρχει μέσα μας μετάνοια, οὔτε ἀληθινὴ μεταμέλεια, οὔτε φόβος Θεοῦ στὶς καρδιές μας, οὔτε καταδικάσαμε τοὺς ἑαυτούς μας, οὔτε συνειδητοποίησε ἡ ψυχή μας τὴν μέλλουσα κρίσι καὶ τὰ αἰώνια βάσανα. Διότι ἐὰν καταδικάζαμε τοὺς ἑαυτούς μας καὶ ἀποκτούσαμε αὐτὰ καὶ μὲ αὐτὰ ἀσχολούμεθα, ἀμέσως θὰ εἴχαμε καὶ δάκρυα. Διότι χωρὶς αὐτά, οὔτε μπορεῖ νὰ μαλακώσῃ ἡ σκληροκαρδία

θῆναί ποτε δύναται, οὔτε ἡ ψυχὴ ἡμῶν πνευματικὴν ταπείνωσιν κτήσεται, οὔτε ταπεινοὶ γενέσθαι ἰσχύσωμεν. Ὁ δὲ μὴ οὕτω γενόμενος, ἑνωθῆναι τῷ Πνεύματι τῷ Ἁγίῳ οὐ δύναται. Ὁ δὲ μὴ τούτῳ ἐκ καθάρσεως ἑνωθείς, οὔτε ἐν θεωρίᾳ καὶ γνώσει Θεοῦ γενέσθαι δύναται, οὔτε ἄξιός ἐστι τὰς τῆς ταπεινώσεως ἀρετὰς μυστικῶς ἐκδιδάσκεσθαι.

ο΄. Τοὺς ὑποκρινομένους τὴν ἀρετήν, καὶ τῷ μὲν κωδίῳ τοῦ σχήματος ἄλλο φαινομένους, ἄλλο δὲ ὄντας κατὰ τὸν ἔσω ἄνθρωπον, πάσης τάχα πεπληρωμένους ἀδικίας, μεστοὺς ζήλου[26] *καὶ ἐριθείας καὶ ἡδονῶν δυσωδίας, ὡς ἀπαθεῖς οἱ πλείους καὶ ὡς ἁγίους τιμῶσι· μὴ κεκαθαρμένον ἔχοντες τὸν τῆς ψυχῆς ὀφθαλμόν, μηδὲ ἐπιγνῶναι αὐτοὺς δυνάμενοι ἐκ τῶν καρπῶν αὐτῶν. Τοὺς δὲ ἐν εὐλαβείᾳ καὶ ἀρετῇ καὶ ἀφελότητι καρ-*

μας, οὔτε ἡ ψυχή μας θὰ αποκτήση πνευματικὴ ταπείνωσι, οὔτε θὰ μπορέσωμε νὰ γίνωμε ταπεινοί. Αὐτὸς ὅμως, ὁ ὁποῖος δὲν γίνεται ἔτσι [ταπεινός], δὲν μπορεῖ νὰ ἑνωθῇ μὲ τὸ Ἅγιο Πνεῦμα. Ἐκεῖνος λοιπόν, ποὺ δὲν ἑνώθηκε μὲ Αὐτὸ μὲ τὴν κάθαρσι, δὲν μπορεῖ νὰ ἔλθῃ οὔτε σὲ θεωρία καὶ γνῶσι τοῦ Θεοῦ, οὔτε εἶναι ἄξιος νὰ διδάσκεται μυστικὰ τὶς ἀρετὲς τῆς ταπεινώσεως.

70. Αὐτούς, οἱ ὁποῖοι ὑποκρίνονται [ὅτι ἔχουν] ἀρετή, καὶ παρουσιάζονται διαφορετικὰ κατὰ τὴν ἐξωτερική τους συμπεριφορά, ἐνῶ κατὰ τὸν ἐσωτερικὸ ἄνθρωπο εἶναι ἄλλοι, [δηλαδὴ] πλήρεις ἴσως ἀπὸ κάθε ἀδικία, «γεμάτοι ἀπὸ φθόνο» καὶ φιλονικία καὶ δυσωδία τῶν ἡδονῶν, οἱ περισσότεροι [ἄνθρωποι] τοὺς τιμοῦν ὡς ἀπαθεῖς καὶ ἁγίους, ἐπειδὴ δὲν ἔχουν καθαρὸ τὸν ὀφθαλμὸ τῆς ψυχῆς, οὔτε μποροῦν νὰ ἀντιληφθοῦν [τὴν ὑποκρισία] ἐκείνων, ἀπὸ τοὺς καρποὺς [τῶν ἔργων] τους. Αὐτοὺς ὅμως ποὺ ζοῦν μὲ εὐλάβεια καὶ ἀρετὴ καὶ ἁπλότητα καρ-

δίας διάγοντας, καὶ ἁγίους ὄντας τῷ ὄντι, ὡς τοὺς λοιποὺς τῶν ἀνθρώπων παραλογίζονται· καὶ καταφρονοῦντες αὐτῶν παρατρέχουσι καὶ ὡς οὐδὲν λογίζονται.

οα΄. Τὸν λάλον καὶ ἐπιδεικτικόν, διδακτικὸν μᾶλλον καὶ πνευματικὸν οἱ τοιοῦτοι εἶναι λογίζονται. Τὸν δὲ σιωπηλὸν καὶ περὶ ἀργολογίαν ἀκριβαζόμενον, ἀγροῖκον καὶ ἄφωνον ἀποφαίνονται.

οβ΄. Τὸν ἐν Πνεύματι Ἁγίῳ φθεγγόμενον, οἱ ὑψηλόφρονες καὶ τὴν ὑπερηφανίαν νοσοῦντες τοῦ διαβόλου, ὡς ὑψηλόφρονα καὶ ὑπερήφανον ἀποστρέφονται, τοῖς λόγοις αὐτοῦ πληττόμενοι μᾶλλον ἢ κατανυσσόμενοι. Τὸν δὲ ἀπὸ κοιλίας ἢ μαθημάτων τορνολογοῦντα καὶ τῆς αὐτοῦ σωτηρίας καταψευδόμενον, ὑπερεπαινοῦσι καὶ ἀποδέχονται. Καὶ οὕτως οὐδεὶς ἐν τοῖς τοιούτοις ἐστὶν ὁ καλῶς καὶ ὡς ἔχει τὸ πρᾶγμα διακρῖναι καὶ

δίας καὶ εἶναι πράγματι ἅγιοι, τοὺς θεωροῦν ἐσφαλμένως ἴδιους μὲ τοὺς λοιποὺς ἀνθρώπους· καὶ περιφρονώντας τους, [τοὺς] ἀντιπαρέρχονται καὶ τοὺς λογαριάζουν ὡς μηδέν.

71. Αὐτοὶ [οἱ ἄνθρωποι] τὸν φλύαρο καὶ ἐπιδεικτικό, τὸν θεωροῦν μᾶλλον διδακτικὸ καὶ πνευματικό. Ἐνῶ ὅμως τὸν σιωπηλὸ καὶ αὐτόν, ὁ ὁποῖος μὲ ἀκρίβεια ἀποφεύγει τὴν ἀργολογία, τὸν χαρακτηρίζουν ἀγροῖκο καὶ ἀμίλητο.

72. Ἐκεῖνον, ποὺ ὁμιλεῖ [μὲ τὴν Χάρι] τοῦ Ἁγίου Πνεύματος, οἱ ὑπερφίαλοι καὶ ὅσοι νοσοῦν ἀπὸ τὴν διαβολικὴ ὑπερηφάνεια, τὸν ἀποστρέφονται σὰν ὑπερόπτη καὶ ὑπερήφανο, ἐπειδὴ πληγώνονται μᾶλλον ἀπὸ τὰ λόγια του, παρὰ κατανύσσονται. Ἐκεῖνον ὅμως, ποὺ ἐπιτηδεύεται στὸ λόγο, [εἴτε] ἀπὸ φυσικὸ χάρισμα, εἴτε μετὰ ἀπὸ ἐκμάθησι, καὶ ψεύδεται γιὰ τὴν σωτηρία του, τὸν ὑπερεπαινοῦν καὶ τὸν παραδέχονται. Καὶ ἔτσι δὲν ὑπάρχει κανεὶς ἀνάμεσα σ᾽ αὐτούς, ὁ ὁποῖος νὰ μπορῇ νὰ διακρίνῃ καὶ νὰ ἰδῇ καθαρὰ καὶ πῶς

ἰδεῖν δυνάμενος.

ογʹ. Μακάριοι, φησὶν ὁ Θεός, οἱ καθαροὶ τῇ καρδίᾳ, ὅτι αὐτοὶ τὸν Θεὸν ὄψονται[27]*. Καθαρὰν δὲ καρδίαν, οὐχὶ μία ἀρετή, οὐδὲ δύω, οὐδὲ δέκα πεφύκασιν ἐκτελεῖν, ἀλλὰ πᾶσαι ὁμοῦ ὡς εἰπεῖν, οἱονεὶ μία τις οὖσα καὶ εἰς ἄκρον κατορθωθεῖσα. Καὶ οὐδὲ οὕτω καθαρὰν τὴν καρδίαν μόναι ποιῆσαι δύνανται, δίχα τῆς ἐνεργείας καὶ παρουσίας τοῦ Ἁγίου Πνεύματος. Καθάπερ γὰρ ὁ χαλκεύς, τὴν μὲν τέχνην διὰ τῶν ἐργαλείων αὐτοῦ ἐπιδείκνυται, δίχα δὲ τῆς τοῦ πυρὸς ἐνεργείας, οὐδὲν ὅλως κατασκευάσαι εἰς ἔργον δύναται· οὕτω δὴ καὶ ὁ ἄνθρωπος, πάντα μὲν ποιεῖ καὶ ὡς ἐργαλεῖα χρῆται ταῖς ἀρεταῖς· ἄνευ δὲ τῆς τοῦ πνευματικοῦ πυρὸς παρουσίας, ἀνενέργητα μένει καὶ ἀνωφελῆ, τὸν ῥύπον καὶ τὸν ἰχῶρα μὴ καθαίροντα τῆς ψυχῆς.*

οδʹ. Ἀπὸ μὲν τοῦ θείου Βαπτίσματος τὴν τῶν ἡμαρτημένων λαμβάνομεν ἄφε-

ἔχουν [ἀκριβῶς] τὰ πράγματα.

73. Μακάριοι, λέγει ὁ Θεός, ὅσοι εἶναι καθαροὶ στὴν καρδία, διότι αὐτοὶ θὰ ἰδοῦν τὸν Θεό». Τὴν καθαρὰ δὲ καρδία δὲν μπορεῖ νὰ τὴν κάνῃ οὔτε μία ἀρετή, οὔτε δύο, οὔτε δέκα, ἀλλὰ ὅταν ὅλες μαζί, ἂς εἰποῦμε, [ἑνωθοῦν] σὰν νὰ εἶναι μία, καὶ ὅταν [αὐτὴ] κατορθωθῇ εἰς τὸ ἔπακρον. Ἀλλὰ οὔτε καὶ ἔτσι [οἱ ἀρετὲς] μποροῦν [ἀπὸ] μόνες τους νὰ κάνουν καθαρὰ τὴν καρδία, χωρὶς τὴν ἐπενέργεια καὶ τὴ παρουσία τοῦ Ἁγίου Πνεύματος. Διότι ὅπως ἀκριβῶς ὁ χαλκουργός, τὴν μὲν τέχνη του [ἐργάζεται καὶ] παρουσιάζει μὲ τὰ ἐργαλεῖα του, χωρὶς ὅμως τὴν ἐνέργεια τῆς φωτιᾶς κανένα ἔργο δὲν μπορεῖ νὰ ὁλοκληρώσῃ· ἔτσι λοιπὸν καὶ ὁ ἄνθρωπος, ὅλα μὲν τὰ κάνει, καὶ χρησιμοποιεῖ ὡς ἐργαλεῖα τὶς ἀρετές· χωρὶς ὅμως τὴν παρουσία τοῦ πνευματικοῦ πυρός, ὅλα παραμένουν ἀνενέργητα καὶ ἀνώφελα, χωρὶς νὰ καθαρίζουν τὴν ἀκαθαρσία καὶ τὸ πῦον τῆς ψυχῆς.

74. Ἀπὸ μὲν τὸ θεῖο Βάπτισμα λαμβάνομε τὴν ἄφεσι τῶν ἁμαρτιῶν καὶ ἐλευθερωνό-

σιν καὶ τῆς πρὶν κατάρας ἐλευθερούμεθα καὶ τῇ παρουσίᾳ τοῦ Ἁγίου Πνεύματος ἁγιαζόμεθα· τὴν δὲ τελείαν χάριν, κατὰ τό, ἐνοικήσω ἐν αὐτοῖς καὶ ἐμπεριπατήσω[28]*, οὐ τότε· τοῦτο γὰρ τῶν βεβαιοπίστων, καὶ ἐκ τῶν ἔργων ταύτην ἐπιδεικνύντων ἐστί. Μετὰ γὰρ τὸ βαπτισθῆναι ἡμᾶς, πρὸς πονηρὰς καὶ αἰσχρὰς πράξεις ἐκκλίνοντες, καὶ αὐτὸν τὸν ἁγιασμὸν εἰς ἅπαν ἀποβαλλόμεθα· μετανοίᾳ δὲ καὶ ἐξομολογήσει καὶ δάκρυσι, κατὰ ἀναλογίαν τὴν ἄφεσιν πρότερον τῶν ἡμαρτημένων λαμβάνομεν· καὶ οὕτω τὸν ἁγιασμὸν μετὰ τῆς ἄνωθεν χάριτος.*

οε'. Ἀπὸ μὲν τῆς μετανοίας, ἔκπλυσις τοῦ μολυσμοῦ τῶν αἰσχρῶν πράξεων γίνεται. Μετὰ δὲ ταύτην, μετοχὴ Πνεύματος Ἁγίου οὐχ ἁπλῶς δέ, ἀλλὰ κατὰ τὴν πίστιν καὶ τὴν διάθεσιν καὶ τὴν ταπείνωσιν τῶν ἐξ ὅλης μετανοούντων ψυ-

μαστε ἀπὸ τὴν πρώτη κατάρα [τοῦ προπατορικοῦ ἁμαρτήματος] καὶ ἁγιαζόμαστε μὲ τὴν παρουσία τοῦ Ἁγίου Πνεύματος. Τὴν τελεία ὅμως Χάρι, σύμφωνα μὲ τὸ [ρητό]: «Θὰ κατοικήσω μέσα σ᾽ αὐτοὺς καὶ θὰ βαδίσω ἀνάμεσά τους», δὲν [τὴν λαμβάνομε] τότε· διότι αὐτὸ [ἀνήκει] σὲ ὅσους ἔχουν ἀκλόνητη πίστι, καὶ τὴν φανερώνουν μὲ τὰ ἔργα τους. Διότι μετὰ τὸ Βάπτισμά μας, ὅταν παρεκκλίνωμε σὲ πονηρὲς καὶ αἰσχρὲς πράξεις, καὶ αὐτόν, τὸν ἁγιασμὸ [τοῦ Βαπτίσματος], τὸν χάνομε τελείως[1]· μὲ μετάνοια ὅμως καὶ ἐξομολόγησι καὶ δάκρυα, ἀνάλογη [πρὸς τὴν πτῶσι μας], λαμβάνομε πρῶτα τὴν ἄφεσι τῶν ἁμαρτημάτων μας· καὶ ἔτσι [κατόπιν ἀπολαμβάνομε πάλι] τὸν ἁγιασμὸ μαζὶ μὲ τὴν ἄνωθεν [Θεία] Χάρι.

75. Μὲ τὴν μετάνοια μὲν γίνεται καθαρισμὸς τοῦ μολυσμοῦ τῶν αἰσχρῶν πράξεων. Μετὰ δὲ ἀπὸ αὐτὴν [ἀκολουθεῖ] ἡ μέθεξι τοῦ Ἁγίου Πνεύματος, ὄχι βέβαια ἁπλᾶ, [χωρὶς προϋποθέσεις], ἀλλὰ σύμφωνα μὲ τὴν πίστι καὶ τὴν διάθεσι καὶ τὴν ταπείνωσι ἐκείνων ποὺ μετανοοῦν μὲ ὅλη τους τὴν

χῆς. Οὐ μόνον δέ, ἀλλὰ καὶ μετὰ τὸ τελείαν τὴν ἄφεσιν τῶν ἡμαρτημένων, παρὰ τοῦ πατρὸς καὶ ἀναδόχου λαβεῖν. Διὰ τοῦτο καλὸν καθ᾽ ἑκάστην μετανοεῖν, διὰ τὴν κελεύουσαν ἐντολήν· τὸ γάρ, μετανοεῖτε, ἤγγικε ἡ βασιλεία τῶν οὐρανῶν[29], *ἀόριστον ἡμῖν ὑπεμφαίνει τὴν ἐργασίαν.*

οϛʹ. Ἡ χάρις τοῦ Παναγίου Πνεύματος, ταῖς τῷ Χριστῷ νυμφευομέναις ψυχαῖς, ὡς ἀῤῥαβὼν δίδοται. Καὶ καθάπερ ἀῤῥαβῶνος χωρίς, οὐκ ἔχει ἀσφάλειαν ἡ γυνὴ τὴν μετὰ τοῦ ἀνδρὸς συνάφειαν μέλλειν ποτὲ βεβαίως γενήσεσθαι, οὕτως οὐδὲ ψυχὴ βεβαίαν λαμβάνει πληροφορίαν ποτὲ τοῦ μετά τοῦ Δεσπότου αὐτῆς καὶ Θεοῦ εἰς αἰῶνας συνέσεσθαι, ἢ μυστικῶς καὶ ἀνεκφράστως αὐτῷ συνάπτεσθαι καὶ τοῦ ἀπροσίτου κάλλους ἐπαπολαύειν αὐτοῦ, εἰ μὴ τῆς χάριτος αὐτοῦ τὸν ἀῤῥαβῶνα λάβοι καὶ γνωστῶς αὐτὸν ἐν ἑαυτῇ κτήσηται.

οζʹ. Ὃν τρόπον οἱ γραφό-

ψυχή. Καὶ ὄχι μόνον, ἀλλὰ καὶ ἀφοῦ λάβουν τὴν τελεία ἄφεσι τῶν ἁμαρτημάτων ἀπὸ τὸν [πνευματικό τους] Πατέρα καὶ ὑπεύθυνο [γιὰ τὴ σωτηρία τους]. Γιὰ αὐτὸ [εἶναι] καλὸ νὰ μετανοῇ [κανεὶς] κάθε μέρα, σύμφωνα μὲ τὴν ἐντολὴ ποὺ τὸ ἐπιτάσσει· διότι τό: «μετανοεῖτε, ἐπλησίασε ἡ Βασιλεία τῶν Οὐρανῶν», μᾶς ὑποδεικνύει [ὅτι εἶναι] χωρὶς χρονικὰ ὅρια ἡ ἐργασία [τῆς μετανοίας].

76. Ἡ Χάρι τοῦ Παναγίου Πνεύματος, δίδεται σὰν ἀρραβώνας στὶς ψυχές, ποὺ νυμφεύονται τὸν Χριστό. Καὶ ὅπως ἀκριβῶς χωρὶς ἀρραβῶνα δὲν ἔχει ἐξασφαλίσει ἡ γυναίκα, ὅτι πρόκειται σίγουρα κάποτε νὰ γίνῃ ὁ γάμος της μὲ τὸν ἄνδρα, ἔτσι καὶ ἡ ψυχὴ δὲν λαμβάνει ποτὲ βεβαία πληροφορία, ὅτι θὰ εὑρίσκεται αἰωνίως μαζὶ μὲ τὸν Δεσπότη καὶ Θεό της, ἢ ὅτι θὰ εἶναι ἑνωμένη μαζί Του μὲ μυστικὸ καὶ ἄρρητο τρόπο, καὶ θὰ ἀπολαμβάνῃ τὸ ἀπρόσιτο κάλλος Του, ἐὰν [προηγουμένως] δὲν λάβῃ τὸν ἀρραβῶνα τῆς Χάριτος Αὐτοῦ, καὶ δὲν τὸν ἀποκτήσῃ συνειδητὰ μέσα της.

77. Ὅπως τὰ συμφωνητικά,

μενοι συμβολικοὶ χάρται, εἰ μὴ ὑπογραφὰς ἀξιοπίστων μαρτύρων δέξωνται, οὐκ ἔστι ὁ ἀῤῥαβὼν βέβαιος, οὕτως οὐδὲ πρὸ τῆς ἐργασίας τῶν ἐντολῶν καὶ τῆς τῶν ἀρετῶν κτήσεως, ἀσφαλὴς ἡ τῆς χάριτος ἔλλαμψις γίνεται. Ὅπερ γὰρ ἐν τοῖς συμφώνοις οἱ μάρτυρες, τοῦτο ἐπὶ τοῦ πνευματικοῦ ἀῤῥαβῶνος ἡ τῶν ἐντολῶν ἐργασία καὶ αἱ ἀρεταὶ καθεστήκασι. Τελείαν γὰρ διὰ τούτων λαμβάνει τὴν τοῦ ἀῤῥαβῶνος κατάσχεσιν ἕκαστος τῶν μελλόντων σωθήσεσθαι.

οη΄. Πρῶτον οἱονεὶ τὰ σύμφωνα γράφονται διὰ τῆς ἐργασίας τῶν ἐντολῶν, εἶτα ὑπὸ τῶν ἀρετῶν ἐπισφραγίζονται καὶ ὑπογράφονται· καὶ τηνικαῦτα ἐπιδίδωσι τὸν δακτύλιον ὁ νυμφίος Χριστὸς τῇ νύμφῃ ψυχῇ, ἤγουν τὸν ἀῤῥαβῶνα τοῦ πνεύματος.

οθ΄. Ὥσπερ ἡ νύμφη πρὸ τοῦ γάμου τὸν ἀῤῥαβῶνα μόνον παρὰ τοῦ νυμφίου λαμβάνει, τὴν δὲ συμφω-

[τὰ προικοσύμφωνα δηλαδή], ἐὰν δὲν δεχθοῦν τὶς ὑπογραφὲς ἀξιοπίστων μαρτύρων, δὲν εἶναι βέβαιος ὁ ἀρραβώνας, ἔτσι δὲν εἶναι βεβαία ἡ ἔλλαμψι τῆς Χάριτος, πρὶν ἀπὸ τὴν ἐργασία τῶν ἐντολῶν καὶ τὴν ἀπόκτησι τῶν ἀρετῶν. Διότι, ὅ,τι ἀκριβῶς εἶναι στὰ προικοσύμφωνα οἱ μάρτυρες, αὐτὸ στὸν πνευματικὸ ἀρραβῶνα [εἶναι] ἡ ἐργασία τῶν ἐντολῶν καὶ οἱ ἀρετές. Ἐπειδὴ μὲ αὐτὰ ἀποκτᾶ ὁλοκληρωτικὰ τὸν ἀρραβῶνα, [δηλαδὴ τὴν ἐγγύησι τῆς σωτηρίας], καθένας ἀπὸ αὐτοὺς ποὺ πρόκειται νὰ σωθοῦν.

78. Πρῶτα γράφονται τρόπον τινὰ τὰ συμφωνητικὰ [τοῦ γάμου] μὲ τὴν ἐργασία τῶν ἐντολῶν, κατόπιν σφραγίζονται καὶ ὑπογράφονται ἀπὸ τὶς ἀρετές· καὶ τότε προσφέρει τὸ δακτυλίδι ὁ Νυμφίος Χριστὸς στὴν νύμφη ψυχή, δηλαδὴ τὸν ἀρραβῶνα τοῦ Πνεύματος.

79. Ὅπως ἡ νύμφη πρὶν ἀπὸ τὸν γάμο, λαμβάνει μόνο τὸν ἀρραβῶνα ἀπὸ τὸν νυμφίο, ἀλλὰ τὴν προῖκα ποὺ συμφω-

νηθεῖσαν προῖκα καὶ τὰς ἐν αὐτῇ ὑποσχεθείσας δωρεάς, μετὰ τὸν γάμον λαβεῖν ἀπεκδέχεται· οὕτω δὴ καὶ ἡ νύμφη τῶν πιστῶν Ἐκκλησία καὶ ἡ ψυχὴ ἑνὸς ἑκάστου ἡμῶν, πρῶτον ὑπὸ τοῦ νυμφίου Χριστοῦ τὸν ἀῤῥαβῶνα μόνον λαμβάνει τοῦ Πνεύματος· τὰ δὲ αἰώνια ἀγαθὰ καὶ τὴν Οὐράνιον Βασιλείαν, μετὰ τὴν ἐνθένδε ἀποδημίαν λαβεῖν ἀπεκδέχεται, πληροφορουμένη διὰ τοῦ ἀῤῥαβῶνος· ὑποδεικνύοντος, ὡς ἐν ἐσόπτρῳ, ταῦτα αὐτῇ καὶ βεβαιοῦντος τὰ συμπεφωνημένα μετὰ τοῦ Δεσπότου αὐτῆς καὶ Θεοῦ.

π΄. Καθάπερ βραδύνοντος τοῦ νυμφίου ἐν ἀποδημίᾳ, ἢ ἀπασχολουμένου ἐν ἑτέραις τισὶν ὑποθέσεσι καὶ τὸν γάμον τέως ὑπερτιθεμένου ποιῆσαι, ἐάν, ὀργισθεῖσα ἡ νύμφη, τῆς ἐκείνου ἀγάπης καταφρονήσῃ καὶ τὸν ἀῤῥαβωνικὸν χάρτην, ἢ ἀπαλείψῃ ἢ διαῤῥήξῃ, ἐκπίπτει τῶν πρὸς τὸν νυμφίον ἐλπίδων εὐθύς· οὕτω καὶ ἐπὶ τῆς ψυχῆς

νήθηκε καὶ τὰ δῶρα, τὰ ὁποῖα τῆς ὑποσχέθηκαν, προσδοκᾶ νὰ τὰ λάβῃ μετὰ τὸν γάμο· ἔτσι καὶ ἡ νύμφη τῶν πιστῶν Ἐκκλησία καὶ ἡ ψυχὴ τοῦ καθενὸς ἀπὸ ἐμᾶς, πρῶτα λαμβάνει μόνον τὸν ἀρραβῶνα τοῦ Πνεύματος ἀπὸ τὸν Νυμφίο Χριστό, τὰ δὲ αἰώνια ἀγαθὰ καὶ τὴν οὐράνια Βασιλεία προσδοκᾶ νὰ τὰ λάβῃ μετὰ τὴν ἀναχώρησί της ἀπὸ ἐδῶ [γιὰ τὸν Οὐρανό], ἔχοντας τὴν διαβεβαίωσι ἀπὸ [αὐτὸν] τὸν ἀρραβῶνα· ὁ ὁποῖος τῆς τὰ δείχνει αὐτὰ σὰν σὲ καθρέπτη καὶ τῆς ἐπιβεβαιώνει [ὅτι θὰ τηρηθοῦν] τὰ συμφωνημένα μὲ τὸν Δεσπότη καὶ Θεό της.

80. Ὅπως, ὅταν καθυστερῇ ὁ Νυμφίος σὲ μακρυνὸ ταξίδι, ἢ ἀπασχολῆται μὲ κάποιες ἄλλες ὑποθέσεις, καὶ κάνει νὰ ἀναβληθῇ ὁ γάμος γιὰ κάποιο χρονικὸ διάστημα, ἐὰν ἡ νύμφη, ἐπειδὴ ὀργίσθηκε, περιφρονήσῃ τὴν ἀγάπη ἐκείνου, καὶ σβήσῃ ἢ σχίσῃ τὸ συμφωνητικὸ χαρτὶ τοῦ ἀρραβῶνα, χάνει ἀμέσως τὶς ἐλπίδες γιὰ [τὸν γάμο της] μὲ τὸν νυμφίο· ἔτσι συμβαίνει νὰ γίνεται καὶ

πέφυκε γίνεσθαι. Ἐπὰν γὰρ εἴπῃ τις τῶν ἀγωνιζομένων, ἕως πότε κακοπαθεῖν ὀφείλω; καὶ τῶν ἀσκητικῶν πόνων τε καὶ ἀγώνων κατολιγωρήσῃ, καὶ διὰ τῆς ἀμελείας τῶν ἐντολῶν καὶ καταλείψεως τῆς διηνεκοῦς μετανοίας, οἱονεὶ ἀπαλείψῃ καὶ διαῤῥήξῃ τὰ σύμφωνα, εὐθὺς ἐκπίπτει καὶ τοῦ ἀῤῥαβῶνος καὶ τῆς πρὸς Θεὸν ἐλπίδος τελείως.

πα΄. Ὥσπερ ἡ νύμφη ἐὰν πρὸς ἕτερον τὴν ἀγάπην τοῦ ἁρμοσθέντος αὐτῇ νυμφίου μετάθηται καὶ συγκοιτασθῇ αὐτῷ φανερῶς ἢ λαθραίως, οὐ μόνον οὐδὲν ἐκ τῶν ὑποσχεθέντων αὐτῇ παρὰ τοῦ νυμφίου λαμβάνει, ἀλλὰ καὶ τιμωρίας καὶ μέμψιν τὴν ἐκ τοῦ νόμου προσδοκήσει ἀξίως· οὕτω δὴ καὶ ἐπὶ ἡμῶν γίνεσθαι πέφυκεν. Ἐὰν γὰρ μετάθηταί τις τὴν ἀγάπην τοῦ νυμφίου Χριστοῦ, πρὸς ἄλλου τινὸς πράγματος ἐπιθυμίαν, φανερῶς ἢ λαθραίως, καὶ

μὲ τὴν ψυχή. Διότι ἐὰν κάποιος ἀπὸ αὐτούς, ποὺ ἀγωνίζονται εἰπῇ, ἕως πότε ὀφείλω νὰ βασανίζωμαι; καὶ παραμελήσῃ καὶ τοὺς ἀσκητικοὺς κόπους καὶ ἀγῶνες καὶ μὲ τὴν ἀμέλεια γιὰ τὶς ἐντολὲς καὶ τὴν ἐγκατάλειψι τῆς συνεχοῦς μετανοίας, τρόπον τινὰ διαγράψῃ καὶ σχίσῃ τὰ συμφωνητικά, χάνει ἀμέσως καὶ τὸν ἀρραβῶνα καὶ τὴν ἐλπίδα πρὸς τὸν Θεὸ ὁλοκληρωτικά.

81. Ὅπως, ἐὰν ἡ νύμφη μεταθέσῃ πρὸς [κάποιον] ἄλλον τὴν ἀγάπη [ποὺ ἔχει] πρὸς τὸν νυμφίο, μὲ τὸν ὁποῖο ἔχει συνδεθῇ [διὰ τοῦ ἀρραβῶνος], καὶ κοιμηθῇ μαζί του φανερὰ ἢ κρυφά, ὄχι μόνο δὲν λαμβάνει τίποτε ἀπὸ αὐτὰ ποὺ τῆς ἔχουν ὑποσχεθῇ ἀπὸ τὸν νυμφίο, ἀλλὰ θὰ περιμένῃ τὴν ἁρμόζουσα τιμωρία καὶ κατηγορία ἀπὸ τὸν νόμο [τοῦ κράτους]· ἔτσι ἀσφαλῶς εἶναι φυσικὸ νὰ συμβαίνῃ καὶ σὲ μᾶς. Διότι ἐὰν κανεὶς μεταθέσῃ τὴν ἀγάπη γιὰ τὸν Νυμφίο Χριστό, πρὸς τὴν ἐπιθυμία κάποιου ἄλλου πράγματος, φανερὰ ἢ κρυφά, καὶ ἡ καρδία

κρατηθῇ ἡ καρδίᾳ αὐτοῦ ἐν αὐτῷ, μισητή ἐστι τῷ νυμφίῳ καὶ βδελυκτὴ καὶ ἀναξία τῆς συναφείας αὐτοῦ. Εἴρηκε γάρ· ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ[30].

πβ΄. Δέον ἕκαστον ἐκ τῶν τοιούτων σημείων κατανοεῖν, εἰ τὸν ἀῤῥαβῶνα τοῦ Πνεύματος, ἐκ τοῦ νυμφίου καὶ δεσπότου Χριστοῦ, εἴληφεν. Καὶ εἰ μὲν ἔλαβε, σπουδαζέτω τοῦτον κατέχειν. Εἰ δὲ μήπω τοῦτον λαβεῖν ἠξιώθη, σπουδασάτω διὰ τῶν ἔργων τῶν ἀγαθῶν καὶ πράξεων καὶ θερμοτάτης μετανοίας αὖθις λαβεῖν καὶ φυλάξαι αὐτὸν διὰ τῆς ἐργασίας τῶν ἐντολῶν καὶ τῆς τῶν ἀρετῶν ἐπικτήσεως.

πγ΄. Καθάπερ ἡ στέγη πάσης οἰκίας, διὰ τῶν θεμελίων καὶ τῆς λοιπῆς κτίσεως ἵσταται· ὡσαύτως δὲ καὶ τὰ θεμέλια, διὰ τὸ τὴν στέγην βαστάζειν καταβάλλονται, ὡς ἀναγκαῖα καὶ χρήσιμα· καὶ οὔτε στέγη δίχα θεμελίων συνίστασθαι πέφυκεν, οὔτε θεμέλιοι ἄνευ

του παραμείνῃ σὲ αὐτό, εἶναι [πλέον] μισητὴ καὶ βδελυκτὴ στὸν Νυμφίο καὶ ἀνάξια τῆς ἑνώσεώς της μὲ Αὐτόν. Διότι ἔχει λεχθῆ: «Ἐγὼ ἀγαπῶ αὐτοὺς ποὺ μὲ ἀγαποῦν».

82. Ὀφείλει [λοιπὸν] ὁ καθένας ἀπὸ αὐτὰ τὰ σημεῖα νὰ ἀντιλαμβάνεται, ἐὰν ἔχῃ λάβει τὸν ἀρραβῶνα τοῦ [Ἁγίου] Πνεύματος ἀπὸ τὸν Νυμφίο Χριστό. Καὶ ἂν μὲν τὸν ἔλαβε, ἂς φροντίζῃ νὰ τὸν κρατᾷ δικό του. Ἐὰν ὅμως ἀκόμη δὲν ἀξιώθηκε νὰ τὸν λάβῃ, ἂς φροντίσῃ μὲ τὰ καλὰ ἔργα καὶ τὶς πράξεις, καὶ τὴν θερμοτάτη μετάνοια, ἀμέσως νὰ τὸν λάβῃ καὶ νὰ τὸν διαφυλάξῃ μὲ τὴν ἐργασία τῶν ἐντολῶν καὶ τὴν προσαπόκτησι τῶν ἀρετῶν.

83. Ὅπως ἡ στέγη τῆς κάθε οἰκίας στηρίζεται ἐπάνω στὰ θεμέλια καὶ στὴν ὑπόλοιπη οἰκοδομή, ἔτσι ἐπίσης καὶ τὰ θεμέλια τοποθετοῦνται ὡς ἀναγκαῖα καὶ χρήσιμα γιὰ νὰ βαστάζουν τὴν στέγη. Καὶ οὔτε ἡ στέγη χωρὶς τὰ θεμέλια εἶναι δυνατὸν νὰ κατασκευαστῆ, οὔτε οἱ θεμέλιοι [λίθοι]

στέγης τῷ βίῳ χρειώδεις, ἢ ὅλως ὠφέλιμοί εἰσιν· οὕτω καὶ ἡ τοῦ Πνεύματος χάρις συντηρεῖται διὰ τῆς ἐργασίας τῶν ἐντολῶν· καὶ αἱ πράξεις τῶν ἐντολῶν, διὰ τὴν τοῦ Θεοῦ δωρεάν, ὡς θεμέλιοι καταβάλλονται. Καὶ οὔτε ἡ χάρις τοῦ Πνεύματος παραμένειν ἡμῖν πέφυκεν, ἄνευ τῆς τῶν ἐντολῶν ἐργασίας· οὔτε ἡ τῶν ἐντολῶν ἐργασία, ἄνευ τῆς χάριτος τοῦ Θεοῦ, χρήσιμος καὶ ὠφέλιμός ἐστιν.

πδ΄. Ὃν τρόπον ἡ ἄστεγος οἰκία, ἡ ἀπὸ ἀμελείας τοῦ κτίσαντος οὕτως ἐαθεῖσα, οὐ μόνον ἄχρηστός ἐστιν, ἀλλὰ καὶ καταγελᾶσθαι τῷ κτίσαντι προξενεῖ· οὕτω καὶ ὁ τοὺς θεμελίους τῆς ἐργασίας τῶν ἐντολῶν καταβαλλόμενος καὶ τοίχους ὑψηλῶν ἀρετῶν ἀναστήσας, ἐὰν μὴ καὶ τὴν χάριν τοῦ Ἁγίου Πνεύματος, ἐν θεωρίᾳ καὶ γνώσει ψυχῆς λήψεται, ἀτελής ἐστι καὶ παρὰ τῶν τελείων κατελεούμενος. Ἐκ γὰρ τῶν δύω τούτων αἰτιῶν, ταύτης πάντως ἐστέρηται·

χωρὶς τὴν στέγη εἶναι ἀναγκαῖοι στὴ ζωή, ἢ [μᾶλλον δὲν εἶναι] καθόλου χρήσιμοι. Ἔτσι καὶ ἡ Χάρι τοῦ [Ἁγίου] Πνεύματος, συντηρεῖται μὲ τὴν ἐργασία τῶν ἐντολῶν· καὶ τὰ ἔργα, [ποὺ γίνονται ἀπὸ ὑπακοὴ] στὶς ἐντολές, καταβάλλονται σὰν θεμέλια γιὰ [νὰ δεχθοῦν] τὴν δωρεὰ τοῦ Θεοῦ. Καὶ οὔτε ἡ Χάρι τοῦ [Ἁγίου] Πνεύματος εἶναι δυνατὸν νὰ παραμένῃ σὲ μᾶς χωρὶς τὴν ἐργασία τῶν ἐντολῶν· οὔτε ἡ ἐργασία τῶν ἐντολῶν, χωρὶς τὴν Χάρι τοῦ Θεοῦ, εἶναι χρήσιμη καὶ ὠφέλιμη.

84. Ὅπως τὸ σπίτι χωρὶς στέγη, τὸ ὁποῖο ἀφέθηκε ἔτσι ἀπὸ ἀμέλεια ἐκείνου ποὺ τὸ ἔκτισε, ὄχι μόνο εἶναι ἄχρηστο, ἀλλὰ καὶ προξενεῖ τὸν χλευασμὸ πρὸς αὐτὸν ποὺ τὸ ἔκτισε· ἔτσι καὶ ἐκεῖνος ποὺ ἔβαλε τὰ θεμέλια τῆς ἐργασίας τῶν ἐντολῶν, καὶ ἐσήκωσε τοίχους ὑψηλῶν ἀρετῶν, ἐὰν δὲν λάβῃ καὶ τὴν Χάρι τοῦ Ἁγίου Πνεύματος, μὲ θεωρία καὶ γνῶσι ψυχῆς, εἶναι ἀτελὴς καὶ οἰκτίρεται ἀπὸ τοὺς τελείους. Διότι στερήθηκε αὐτὴ [τὴν Χάρι], ὁπωσδήποτε, ἀπὸ τὶς δύο αὐτὲς αἰτίες· ἢ παρα-

ἢ γὰρ τῆς μετανοίας ἠμέλησεν ἢ πρὸς τὴν τῶν ἀρετῶν συλλογήν, ὡς πρὸς ἄπειρον ὕλην ἀπειρηκώς, ἐνέλειψέ τινα τῶν δοκούντων μὲν ἡμῖν ἐλαχίστων, ἀναγκαίων δὲ ὄντων πρὸς τὸν ἀπαρτισμὸν τοῦ οἴκου τῶν ἀρετῶν· ὡς μὴ δύνασθαι ἄνευ ἐκείνων, διὰ τῆς τοῦ Πνεύματος χάριτος, στεγασθῆναι αὐτόν.

πε΄. Εἰ διὰ τοῦτο ἐπὶ τῆς γῆς ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεὸς κατῆλθεν, ἵνα δι᾿ ἑαυτοῦ καταλλάξῃ ἡμᾶς, ἐχθροὺς ὄντας, τῷ ἰδίῳ Πατρί[31]*, καὶ συνάψῃ γνωστῶς ἡμᾶς ἑαυτῷ, διὰ τοῦ Ἁγίου καὶ ὁμοουσίου Πνεύματος αὐτοῦ, ὁ ταύτης ἐκπίπτων τῆς χάριτος, ἄλλης ποίας τεύξεται; Πάντως οὐδὲ κατηλλάγη αὐτῷ, οὐδὲ τὴν μετ᾿ αὐτοῦ ἕνωσιν, διὰ τῆς μετουσίας τοῦ Πνεύματος ἔσχηκεν.*

πς΄. Τῶν μὲν ἐμπαθῶν ἐπιθυμιῶν καὶ ἡδονῶν, ὁ μετασχὼν τοῦ θείου Πνεύματος, ἀπαλλάττεται· τῶν

μέλησε [τὴν ἐργασία] τῆς μετανοίας, ἢ ἔχοντας ἀπορρίψει [κάποιες] μπροστὰ στὸ σύνολο τῶν ἀρετῶν, σὰν σ᾿ ἕνα ἄπειρο πλῆθος, παρέλειψε κάποια [πράγματα] ἀπὸ ἐκεῖνα ποὺ σὲ μᾶς μὲν φαίνονται ἐλάχιστα, εἶναι ὅμως ἀναγκαῖα γιὰ τὴν ὁλοκλήρωσι τοῦ οἴκου τῶν ἀρετῶν· ὥστε νὰ μὴν εἶναι δυνατὸν χωρὶς ἐκεῖνα [τὰ μικρά], νὰ στεγασθῇ αὐτὸς [ὁ οἶκος] μὲ τὴν Χάρι τοῦ Πνεύματος.

85. Ἂν γι᾿ αὐτὸ κατῆλθε στὴν γῆ ὁ Υἱὸς τοῦ Θεοῦ καὶ Θεός, γιὰ νὰ μᾶς συμφιλιώσῃ μέσῳ τοῦ Ἑαυτοῦ Του, ἐμᾶς ποὺ εἴμαστε ἐχθροὶ μὲ τὸν Πατέρα Του καὶ νὰ μᾶς ἑνώσῃ ὡς οἰκείους μὲ τὸν Ἑαυτό Του, διὰ τοῦ Ἁγίου καὶ Ὁμοουσίου Πνεύματός Του, ἐκεῖνος ποὺ θὰ χάσῃ αὐτὴν τὴν Χάρι, ποιᾶς ἄλλης [τὴν ἀπόκτησι] θὰ ἐπιτύχῃ; Ὁπωσδήποτε οὔτε συμφιλιώθηκε μὲ Αὐτὸν [ἐκεῖνος ποὺ ἐξέπεσε ἀπὸ τὴν Χάρι], οὔτε ἔχει ἑνωθῆ μαζί Του, διὰ τῆς μεθέξεως τοῦ [Ἁγίου] Πνεύματος.

86. Ἐκεῖνος, ὁ ὁποῖος ἔγινε μέτοχος [τῆς Χάριτος] τοῦ Θείου Πνεύματος ἀπαλάσσεται μὲν ἀπὸ τὶς ἐμπαθεῖς ἐπιθυμίες

δὲ τῆς φύσεως σωματικῶν ἀναγκῶν, οὐ χωρίζεται. Καὶ ὡς μὲν ἐλευθερωθεὶς τῶν δεσμῶν τῆς ἐμπαθοῦς ὀρέξεως καὶ συναφθεὶς τῇ ἀθανάτῳ δόξῃ τε καὶ γλυκύτητι, ἀδιαλείπτως ἄνω τε βιάζεται εἶναι καὶ σὺν Θεῷ διάγειν καὶ μηδὲ πρὸς βραχὺ τῆς ἐκείνου θεωρίας ἀφίστασθαι καὶ ἀκορέστου τρυφῆς. Ὡς δὲ τῷ σώματι καὶ τῇ φθορᾷ ἐμπεδούμενος, ὑπ᾽ αὐτοῦ κατασπᾶται καὶ σύρεται καὶ πρὸς τὰ γήϊνα ἐπιστρέφεται· καὶ τοσαύτην τηνικαῦτα ὑπὲρ τούτων τὴν λύπην ἔχει, ὅσην, οἶμαι, ἁμαρτωλοῦ ψυχήν, χωριζομένην ἔχειν ἀπὸ τοῦ σώματος.

πζ΄. Ὥσπερ τῷ φιλοσωμάτῳ καὶ φιλοζώῳ, τῷ φιληδόνῳ καὶ φιλοκόσμῳ, ὁ χωρισμὸς τῶν τοιούτων θάνατός ἐστιν, οὕτω τῷ φιλάγνῳ καὶ φιλοθέῳ, τῷ φιλαΰλῳ καὶ φιλαρέτῳ, θάνατος τῷ ὄντι ἐστὶν ἐκ τῶν τοιούτων ἡ μικρὰ τῆς διανοίας διάστασις. Εἰ γὰρ ὁ τὸ φῶς ὁρῶν τὸ αἰσθη-

καὶ ἡδονές· ὅμως ἀπὸ τὶς σωματικὲς ἀνάγκες τῆς φύσεως δὲν ἀπαλλάσσεται. Καὶ καθὼς ἐλευθερώθηκε μὲν ἀπὸ τοὺς δεσμοὺς τῆς ἐμπαθοῦς ὀρέξεως καὶ ἑνώθηκε μὲ τὴν ἀθάνατη δόξα καὶ γλυκύτητα, [ὁ νοῦς του] βιάζεται νὰ εἶναι καὶ ἀκατάπαυστα στὰ οὐράνια, καὶ νὰ ζῇ μαζὶ μὲ τὸν Θεὸ καὶ οὔτε γιὰ λίγο νὰ μὴν ἀπομακρύνεται ἀπὸ τὴν θεωρία Ἐκείνου καὶ ἀπὸ τὴν ἀκόρεστη ἀπόλαυσί Του. Ἀλλὰ ὅμως, ἐπειδὴ εἶναι δεμένος σφιχτὰ μὲ τὸ σῶμα καὶ τὴν φθορά, ἕλκεται δυνατὰ ἀπὸ αὐτὸ [πρὸς τὰ κάτω] καὶ σύρεται καὶ ἐπιστρέφει στὰ γήϊνα· καὶ τόσο μεγάλη λύπη ἔχει γι᾽ αὐτὸ τότε, ὅση, νομίζω, ἔχει ἡ ψυχὴ τοῦ ἁμαρτωλοῦ, ὅταν χωρίζεται ἀπὸ τὸ σῶμα.

87. Ὅπως σ᾽ ἐκεῖνον ποὺ ἀγαπᾶ πολὺ τὸ σῶμα καὶ τὴν ζωή του, τὶς ἡδονὲς καὶ τὸν κόσμο, ὁ χωρισμὸς ἀπὸ [ὅλα] αὐτὰ εἶναι θάνατος, ἔτσι [καὶ] σ᾽ ἐκεῖνον, ποὺ ἀγαπᾶ τὴν ἁγνότητα, τὸν Θεό, τὰ ἄϋλα [καὶ οὐράνια] καὶ τὴν ἀρετή, εἶναι πράγματι θάνατος ἡ παραμικρὴ ἀπομάκρυνσι τοῦ νοῦ του ἀπὸ αὐτά. Διότι ἐὰν ἐκεῖνος ποὺ βλέπει τὸ αἰσθητὸ φῶς, κλείσῃ λίγο

τόν, ἐὰν μικρὸν μύσῃ τοὺς ὀφθαλμούς, ἢ κατακαλυφθῇ τούτους ὑφ' ἑτέρου, ἄχθεται καὶ λυπεῖται καὶ φέρειν ὅλως τοῦτο οὐ δύναται· καὶ μάλιστα ἐὰν ἀναγκαῖά τινα καὶ παράδοξα ἦν ὁρῶν· πόσῳ μᾶλλον ὁ ἐν Ἁγίῳ φωτιζόμενος Πνεύματι, καὶ τὰ ἀγαθὰ ἐκεῖνα ὁρῶν ὕπαρ καὶ νοερῶς, ἐγρηγορῶν καὶ καθεύδων, ἃ ὀφθαλμὸς οὐκ οἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη[32], εἰς ἃ παρακύψαι καὶ Ἄγγελοι ἐπιθυμοῦσιν[33], ἐὰν ἀποσπασθῇ ἐκ τῆς τῶν τοιούτων θεωρίας ὑπό τινος, λυπηθήσεται καὶ θλιβήσεται. Θάνατος γὰρ αὐτῷ δοκεῖ τοῦτο καὶ ἀλλοτρίωσις εἰκότως τῆς αἰωνίου ζωῆς.

πη'. Πολλοὶ μὲν τὸν ἐρημικόν, ἄλλοι δὲ τὸν μιγάδα, ἤγουν τὸν κοινοβιακόν, ἐμακάρισαν βίον. Ἕτεροι δὲ τὸ προΐστασθαι λαοῦ, νουθετεῖν τε καὶ διδάσκειν καὶ συνιστᾶν Ἐκκλησίας· ἐξ ὧν διάφοροι σωματικῶς

τὰ μάτια του, ἢ κάποιος ἄλλος τὰ καλύψῃ, ἀγχώνεται καὶ λυπεῖται καὶ δὲν μπορεῖ καθόλου νὰ τὸ ὑποφέρῃ· καὶ μάλιστα ἐὰν [ἐκείνη τὴν στιγμὴ] ἔβλεπε κάποια χρήσιμα καὶ ἐκπληκτικὰ πράγματα· πόσο περισσότερο θὰ στενοχωρηθῇ καὶ θὰ λυπηθῇ ἐκεῖνος, ποὺ φωτίζεται ἀπὸ τὸ Ἅγιο Πνεῦμα καὶ βλέπει αἰσθητὰ καὶ νοερά, ὅταν εἶναι σὲ ἐγρήγορσι ἢ ὅταν κοιμᾶται, ἐκεῖνα τὰ ἀγαθά, «τὰ ὁποῖα ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε καὶ ἀνθρώπινος νοῦς δὲν φαντάστηκε, στὰ ὁποῖα καὶ οἱ Ἄγγελοι ἐπιθυμοῦν νὰ σκύψουν καὶ νὰ τὰ κατανοήσουν», ἐὰν ἀποσπασθῇ ἀπὸ τὴν θεωρία αὐτῶν ἀπὸ κάτι ἄλλο; Διότι αὐτὸ δικαίως τοῦ φαίνεται θάνατος καὶ ἀποξένωσι ἀπὸ τὴν αἰώνια ζωή.

88. Πολλοὶ μὲν ἐμακάρισαν τὸν ἐρημικὸ βίο, ἄλλοι δὲ τὸν μιγάδα, δηλαδὴ τὸν κοινοβιακό. Ἄλλοι δὲ τὸ νὰ εἶναι προεστῶτες στὸν λαὸ [ἤτοι ἐπίσκοποι] καὶ νὰ νουθετοῦν καὶ νὰ διδάσκουν καὶ νὰ συγκροτοῦν Ἐκκλησίες, ἀπὸ τὶς ὁποῖες εἶναι δυνατὸν νὰ τρέφωνται

τε καὶ ψυχικῶς πεφύκασι διατρέφεσθαι. Ἐγὼ δέ, οὐδέτερον τούτων τοῦ ἑτέρου προκρίναιμι· οὐδέ, τὸν μὲν ἐπαίνου, τὸν δὲ ψόγου ἄξιον εἴποιμι ἄν· ἀλλ᾽ ἐν παντὶ καὶ ἐν πᾶσιν ἔργοις καὶ πράξεσιν, ὁ διὰ Θεὸν καὶ κατὰ Θεὸν βίος παμμακάριστος.

πθ΄. Καθάπερ ἐκ διαφόρων τοῦ βίου ἐπιστημῶν καὶ τεχνῶν ὁ τῶν ἀνθρώπων βίος συνίσταται, ἄλλου ἄλλην ἐργαζομένου δηλονότι καὶ συνεισφέροντος καὶ ἀλλήλοις οὕτω μεταδιδόντες καὶ ἐξ ἀλλήλων μεταλαμβάνοντες ζῶσιν οἱ ἄνθρωποι, τὰς σωματικὰς χρείας τῇ φύσει παρέχοντες· οὕτως ἐστὶν ἰδεῖν καὶ ἐπὶ τῶν πνευματικῶν· ἄλλου ἄλλην ἀρετὴν μετιόντος καὶ ἑτέρου ἑτέραν βίου ὁδὸν διανύοντος, εἰς ἕνα σκοπὸν ἐξ ἀμφοτέρων πάντων τούτων οἱ πάντες συντρέχουσιν.

ϟ΄. Σκοπὸς πάντων τῶν κατὰ Θεὸν πολιτευομένων

διάφοροι καὶ ψυχικὰ καὶ σωματικά. Ἐγὼ ὅμως κανένα δὲν προτιμῶ ἀπὸ τὸν ἄλλον· οὔτε μπορῶ νὰ εἰπῶ, ὅτι ὁ μὲν ἕνας [εἶναι] ἄξιος ἐπαίνου, ὁ δὲ ἄλλος κατηγορίας, ἀλλὰ [θεωρῶ], ὅτι σὲ κάθε περίπτωσι καὶ σὲ ὅλα τὰ ἔργα καὶ τὶς πράξεις, ὁ βίος [τοῦ καθενός, ποὺ γίνεται] γιὰ τὸν Θεὸ καὶ σύμφωνα μὲ τὸν Θεό, εἶναι παμμακάριστος.

89. Ὅπως ἀκριβῶς ἡ ζωὴ τῶν ἀνθρώπων ἀποτελεῖται ἀπὸ διάφορες ἐπιστῆμες καὶ τέχνες βιοτικές, ὁ καθένας δηλαδὴ κάνει διαφορετικὴ ἐργασία καὶ συνεισφέρει [μὲ αὐτὴ στὴν κοινωνία], καὶ ἔτσι ζοῦν οἱ ἄνθρωποι, δίνοντας ὁ ἕνας στὸν ἄλλο καὶ παίρνοντας ὁ ἕνας ἀπὸ τὸν ἄλλον, ἱκανοποιώντας [μὲ τὸν τρόπο αὐτὸ] τὶς φυσικὲς σωματικές τους ἀνάγκες, παρομοίως πρέπει νὰ κατανοήσωμε [ὅτι συμβαίνει] καὶ μὲ τὰ πνευματικά· ἐνῶ ὁ καθένας ἐπιδίδεται σὲ διαφορετικὴ ἀρετή, καὶ [ὁ ἕνας ἀπὸ τὸν] ἄλλο ἀκολουθεῖ διαφορετικὴ ὁδὸ στὴν ζωή του, πάντως ὅλοι, ὁ καθένας ἀπὸ τὴν πλευρά του, τρέχουν μαζὶ πρὸς τὸν ἴδιο σκοπό.

90. Ὁ σκοπὸς ὅλων αὐτῶν ποὺ πολιτεύονται σύμφωνα πρὸς

ἐστὶ τὸ εὐαρεστῆσαι Χριστῷ τῷ Θεῷ ἡμῶν καὶ τὴν καταλλαγὴν διὰ τῆς τοῦ Πνεύματος μετουσίας πρὸς τὸν Πατέρα λαβεῖν καὶ τὴν ἑαυτῶν σωτηρίαν διὰ τοῦτο πορίσασθαι. Τοῦτο γὰρ πάσης ψυχῆς σωτηρία ἐστίν· οὗ μὴ γινομένου, κενὸς ὁ κόπος καὶ ματαία ἡ ἐργασία ἡμῶν· ἀνόνητός τε πᾶσα βίου ὁδός, ἡ μὴ πρὸς τοῦτο τὸν ἐν αὐτῇ τρέχοντα φέρουσα.

϶α΄. Ἔοικεν ὁ τὸν κόσμον ἅπαντα καταλείψας, πρὸς τὸ ὄρος δέ, ὡς πρὸς ἡσυχίαν ἀναχωρήσας, κἀκεῖθεν ἐπιδεικτικῶς γράφων πρὸς τοὺς ἐν τῷ κόσμῳ, τοὺς μὲν μακαρίζων, τοὺς δὲ κολακεύων καὶ ἐπαινῶν, τῷ γυναικὸς πόρνης δυσείμονός τε καὶ παγκάκου διαζευχθέντι καὶ εἰς χώραν μακρὰν ἀποδημήσαντι, πρὸς τὸ ἀπαλλαγῆναι καὶ τῆς μνήμης αὐτῆς, εἶτα, ἐπιλαθομένῳ τὸν σκοπόν, δι' ὃν τὸ ὄρος κατείληφε, καὶ πρὸς τοὺς τῇ πόρνῃ ἐκεί-

[τὸ θέλημα τοῦ] Θεοῦ, εἶναι τὸ νὰ εὐαρεστήσουν στὸν Χριστὸ [καὶ] Θεό μας, καὶ νὰ λάβουν τὴν συμφιλίωσι μὲ τὸν Πατέρα, διὰ τῆς κοινωνίας τοῦ [Ἁγίου] Πνεύματος, καὶ μὲ αὐτὸ [τὸν τρόπο], νὰ κερδίσουν τὴν σωτηρία τους. Διότι αὐτὸ εἶναι ἡ σωτηρία κάθε ψυχῆς· τὸ ὁποῖο ἐὰν δὲν γίνῃ, [ἀποβαίνει] ἄχρηστος ὁ κόπος καὶ ματαία ἡ ἐργασία μας· καὶ εἶναι ἀνώφελη κάθε ὁδὸς τοῦ βίου, ἐὰν δὲν ὁδηγῇ ἐκεῖνον ποὺ τὴν διατρέχει, πρὸς αὐτὸ [τὸν σκοπό].

91. Ἐκεῖνος, ὁ ὁποῖος ἐγκατέλειψε ὅλο τὸν κόσμο καὶ ἀναχώρησε [γιὰ νὰ πάῃ] στὸ βουνό, δῆθεν γιὰ ἡσυχία, καὶ ἀπὸ ἐκεῖ γράφει ἐπιδεικτικὰ [ἐπιστολὲς] πρὸς αὐτοὺς ποὺ μένουν στὸν κόσμο, καὶ ἄλλους μὲν μακαρίζει, ἄλλους δὲ κολακεύει καὶ ἐπαινεῖ, ὁμοιάζει μὲ ἐκεῖνον, ὁ ὁποῖος πῆρε διαζύγιο ἀπὸ μία πόρνη γυναῖκα, ἄσχημη καὶ πολὺ κακή, καὶ ἔφυγε σὲ μακρινὴ χώρα γιὰ νὰ ἀπαλλαγῇ καὶ ἀπὸ τὴν ἐνθύμησί της [ἀκόμη]· κατόπιν ὅμως, ἀφοῦ ἐξέχασε τὸν σκοπό, γιὰ τὸν ὁποῖο πῆγε στὸ βουνό, ἐπιθυμεῖ νὰ γράφῃ πρὸς ἐκείνους, ποὺ συναναστρέφονται τὴν πόρνη

νη συναναστρεφομένους, ἵν᾿ εἴπω, καὶ συμμιαινομένους, γράφειν ὀρεγομένῳ καὶ αὐτοὺς μακαρίζοντι. Ὅς εἰ καὶ μὴ τῷ σώματι, ἀλλὰ τῇ καρδίᾳ πάντως καὶ τῷ νοΐ συμπάσχει, ἐκ προθέσεως τοὺς τοιούτους ἀποδεχόμενος, οἱονεὶ τῆς μετ᾿ ἐκείνης αὐτῶν συμπλοκῆς.

ϟβʹ. Ὅσῳ οἱ ἐν μέσῳ τοῦ κόσμου στρεφόμενοι καὶ καθαρεύοντες τὰς αἰσθήσεις καὶ τὰς καρδίας ἀπὸ πάσης πονηρᾶς ἐπιθυμίας, ἐπαινετοὶ καὶ μακάριοι, τοσούτῳ οἱ ἐν ὄρεσι καὶ σπηλαίοις ἐνδιαιτώμενοι, οἳ τῶν ἐπαίνων καὶ μακαρισμῶν ἐφίενται τῶν ἀνθρώπων, ψεκτοὶ καὶ ἀπόβλητοι. Ὡς γὰρ μοιχεύοντες παρὰ τῷ τὰς καρδίας ἡμῶν ἐρευνῶντι Θεῷ[34] *ἔσονται. Ὁ γὰρ ἐπιθυμῶν ἀκουσθῆναι τὸν βίον αὐτοῦ καὶ τὸ ὄνομα καὶ τὴν πολιτείαν ἐν τῷ κόσμῳ, ἐκπορνεύει, κατὰ τὸν πάλαι τῶν Ἰουδαίων λαὸν ἀπὸ Θεοῦ*[35]*, ὡς φησὶν ὁ Δαβίδ.*

καὶ γιὰ νὰ εἰπῶ [καλύτερα] μολύνονται μαζί της καὶ αὐτοὺς τοὺς μακαρίζει. Αὐτός, ἐφ᾿ ὅσον παραδέχεται μὲ τὴν θέλησί του [τοὺς ἀνθρώπους] αὐτούς, συμμετέχει κατὰ κάποιο τρόπο, ἂν καὶ ὄχι μὲ τὸ σῶμα, ἀλλὰ ὁπωσδήποτε μὲ τὴν καρδιὰ καὶ τὸν νοῦ, στὴν μεῖξι τους μὲ ἐκείνη.

92. Ὅσο ἀξιέπαινοι καὶ ἀξιομακάριστοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι διαμένουν στὸν κόσμο καὶ διατηροῦν καθαρὲς τὶς αἰσθήσεις τους καὶ τὶς καρδιές τους ἀπὸ κάθε πονηρὴ ἐπιθυμία, τόσο μεμπτοὶ καὶ ἀξιοκαταφρόνητοι εἶναι ἐκεῖνοι, οἱ ὁποῖοι ζοῦν εἰς στὰ ὄρη καὶ τὰ σπήλαια [δηλαδὴ οἱ ἀσκητές], οἱ ὁποῖοι ὀρέγονται τοὺς ἐπαίνους καὶ τοὺς μακαρισμοὺς τῶν [κοσμικῶν] ἀνθρώπων. Διότι αὐτοὶ ὡς μοιχοὶ θὰ εἶναι ἐνώπιον τοῦ Θεοῦ, «ὁ Ὁποῖος ἐρευνᾶ τὶς καρδίες μας». Ἐπειδή, ἐκεῖνος ποὺ ἐπιθυμεῖ νὰ ἀκουσθῆ ὁ βίος καὶ τὸ ὄνομά του καὶ ἡ πολιτεία του στὸν κόσμο, «γίνεται πόρνος» [καὶ ἀπιστεῖ] πρὸς τὸν Θεό, ὅπως παλαιὰ ὁ λαὸς τῶν Ἰουδαίων, καθὼς λέγει ὁ Δαβίδ.

ϟγʹ. Ὁ πίστει τῇ πρὸς τὸν Θεὸν ἀδιστάκτῳ τῷ κόσμῳ καὶ τοῖς ἐν κόσμῳ ἀποταξάμενος, πιστεύει ὅτι ἐλεήμων ἐστὶ καὶ οἰκτίρμων ὁ Κύριος καὶ προσδέχεται τοὺς ἐν μετανοίᾳ προσερχομένους αὐτῷ, εἰδὼς δι' ἀτιμίας τιμᾶν τοὺς δούλους αὐτοῦ καὶ διὰ πτωχείας ἄκρας πλουτίζειν αὐτοὺς καὶ δι' ὕβρεων καὶ ἐξουδενώσεων δοξάζειν αὐτοὺς καὶ διὰ θανάτου, τῆς αἰωνίου ζωῆς μετόχους αὐτοὺς καὶ κληρονόμους ἀποκαθιστᾶν, κατεπείγεται, ὡς ἔλαφος διψῶσα ἐπὶ τὴν ἀθάνατον πηγὴν[36] *δι' αὐτῶν· καὶ πρὸς τὸ ἄναντες ἐν αὐτοῖς ὡς ἐν κλίμακι βαίνειν, δι' ἧς Ἄγγελοι μὲν ἀναβαίνουσι καὶ κατέρχονται πρὸς βοήθειαν τῶν ἀνερχομένων, Θεὸς δὲ ἄνωθεν*[37]*, τὴν κατὰ δύναμιν ἡμῶν πρόθεσιν καὶ σπουδὴν ἀναμένων κάθηται· οὐχ ὅτι πονοῦντας ἡμᾶς τέρπεται ὁρᾶν, ἀλλ' ὡς ὄφλημα θέλων τοὺς μισθοὺς διδόναι ἡμῖν ὁ φιλάνθρωπος.*

93. Ἐκεῖνος, ὁ ὁποῖος μὲ ἀκλόνητη πίστι στὸν Θεὸ ἀπαρνήθηκε τὸν κόσμο καὶ [τὰ πράγματα] τοῦ κόσμου, πιστεύει ὅτι ὁ Κύριος εἶναι ἐλεήμων καὶ εὔσπλαχνος καὶ δέχεται αὐτούς, οἱ ὁποῖοι προσέρχονται σὲ Αὐτὸν μὲ μετάνοια. [Καὶ] ἐπειδὴ γνωρίζει, ὅτι [ὁ Θεὸς] τιμᾶ τοὺς δούλους Του μέσα ἀπὸ τὶς ἀτιμίες καὶ τοὺς πλουτίζει μέσα στὴν ἐσχάτη πτωχεία, καὶ τοὺς δοξάζει μέσα ἀπὸ ὕβρεις καὶ ἐξουδενώσεις καὶ μέσῳ τοῦ θανάτου τοὺς καθιστᾶ μετόχους τῆς αἰωνίου ζωῆς καὶ κληρονόμους Του, τρέχει βιαστικά, σὰν τὸ διψασμένο ἐλάφι πρὸς τὴν «ἀθάνατη πηγή», μέσῳ [ὅλων] αὐτῶν. Καὶ ἀνεβαίνει πρὸς τὰ ἀνώτερα μέσῳ αὐτῶν, ὅπως σὲ σκάλα, ἀπὸ τὴν ὁποία Ἄγγελοι μὲν ἀνεβαίνουν καὶ κατεβαίνουν, γιὰ νὰ βοηθοῦν ἐκείνους ποὺ ἀνέρχονται, ὁ Θεὸς δὲ κάθεται ἀπὸ πάνω, ἀναμένοντας [νὰ ἰδῇ] τὴν προαίρεσι καὶ τὴν προσπάθειά μας, ὅσο εἶναι δυνατὸν στὸν καθένα· ὄχι διότι εὐχαριστεῖται νὰ μᾶς βλέπῃ νὰ κοπιάζωμε, ἀλλὰ ἐπειδὴ ἐπιθυμεῖ νὰ μᾶς δίνῃ τοὺς μισθοὺς [ὡς ἀμοιβή], τὴν ὁποία μᾶς ὀφείλει.

ϟδ΄. Τοὺς ἀδιστάκτως αὐτῷ προσερχομένους, οὐκ ἐᾷ ὅλως καταπεσεῖν ὁ Θεός. Ἀλλὰ ἀδυνατοῦντας βλέπων αὐτούς, συνεργεῖ καὶ βοηθεῖ, ὀρέγων αὐτοῖς χεῖρα δυνάμεως ἄνωθεν, καὶ πρὸς ἑαυτὸν ἐπανάγει, συνεργεῖ τε φανερῶς ἅμα καὶ ἀφανῶς, ἀγνώστως καὶ γνωστῶς, μέχρις οὗ, πᾶσαν ἀνελθόντες τὴν κλίμακα, αὐτῷ προσεγγίσωσι καὶ ὅλοι ὅλῳ ἑνωθῶσι καὶ ἁπάντων ἐπιλάθωνται τῶν ἐπιγείων, συνόντες αὐτῷ ἐκεῖσε ἐν σώματι, εἴτε ἐκτὸς τοῦ σώματος οὐκ οἶδα[38]· καὶ συμπολιτευόμενοι καὶ τῶν ἀποῤῥήτων ἐπαπολαύοντες ἀγαθῶν.

ϟε΄. Δίκαιόν ἐστι τῇ ζεύγλῃ πρῶτον τῶν ἐντολῶν ὑποτιθέναι τοῦ Χριστοῦ τοὺς αὐχένας ἡμῶν καὶ μὴ παροιστρεῖν, μηδ᾿ ὀπισθοποδεῖν. Ἀλλ᾿ ὀρθῶς καὶ προθύμως μέχρι θανάτου βαίνειν ἐν αὐταῖς καὶ ἑαυτοὺς ἡμᾶς νεουργεῖν, τὸν νέον ὄντως Θεοῦ Παράδεισον·

94. Ὁ Θεὸς δὲν ἀφήνει σὲ τελεία πτῶσι ὅσους προσέρχονται σὲ Αὐτὸν χωρὶς δισταγμό. Ἀλλά, ὅταν βλέπῃ ὅτι εὑρίσκονται σὲ ἀδυναμία, ἔρχεται συνεργὸς καὶ βοηθός τους, ἐκτείνοντάς τους χεῖρα ἐνισχυτικὴ ἀπὸ ψηλά, καὶ τοὺς φέρνει πάλι κοντά Του. Καὶ τοὺς βοηθεῖ καὶ φανερὰ καὶ κρυφά, εἴτε χωρὶς νὰ τὸ ἀντιλαμβάνωνται, εἴτε ἔχοντας ἐπίγνωσι [τῆς ἀρωγῆς Του], ἕως ὅτου, ἀφοῦ ἀνεβοῦν [ὅλη] τὴν κλίμακα, Τὸν πλησιάσουν, καὶ ὅλη τους ἡ ὕπαρξι ἑνωθῇ ἐξ ὁλοκλήρου μὲ Αὐτὸν καὶ λησμονήσουν ὅλα τὰ ἐπίγεια, καὶ βρεθοῦν μαζί Του «εἴτε μὲ τὸ σῶμα, εἴτε χωρὶς τὸ σῶμα, δὲν γνωρίζω» καὶ [ἐκεῖ] ζῶντας μαζί Του νὰ ἀπολαμβάνουν καὶ τὰ μυστικὰ [καὶ ἀνέκφραστα] ἀγαθά.

95. Εἶναι δίκαιο πρῶτα νὰ σκύβωμε τοὺς αὐχένες μας κάτω ἀπὸ τὸν ζυγὸ τῶν ἐντολῶν τοῦ Χριστοῦ καὶ νὰ μὴν ἀφηνιάζωμε, οὔτε νὰ ὀπισθοχωροῦμε. Ἀλλά, μὲ ὀρθότητα καὶ προθυμία, μέχρι θανάτου, νὰ πορευώμαστε σύμφωνα μὲ αὐτές, καὶ νὰ ἀνακαινίζωμε τοὺς ἑαυτούς μας, [ποὺ εἶναι] ἀληθινὰ ὁ νέος τοῦ Θεοῦ Πα-

μέχρις οὗ μετὰ Πατρὸς ὁ Υἱὸς διὰ τοῦ Ἁγίου εἰσέλθῃ καὶ κατοικήσῃ Πνεύματος ἐν ἡμῖν. Καὶ τηνικαῦτα, ὅταν ὅλον αὐτὸν κτησώμεθα ἔνοικον καὶ διδάσκαλον, ᾧ τινι ἂν ἐξ ἡμῶν προστάξῃ καὶ οἵαν ἐμπιστεύσῃ διακονίαν, ταύτην ἐγχειρισθήσεται καὶ κατὰ τῷ ἐκείνῳ δοκοῦν ποιήσει προθύμως. Οὐκ ἔξεστι δὲ πρὸ καιροῦ ταύτην ἐπιζητεῖν, ἀλλ᾽ οὐδὲ διδομένην ἐξ ἀνθρώπων λαβεῖν καταδέχεσθαι· ἀλλ᾽ ἐμμένειν ταῖς ἐντολαῖς τοῦ Δεσπότου ἡμῶν καὶ Θεοῦ καὶ τὸ πρόσταγμα αὐτοῦ ἀπεκδέχεσθαι.

ϟς΄. Μετὰ τὸ ἐγχειρισθῆναι ἡμᾶς διακονίαν θείων πραγμάτων καὶ ἐν αὐτῇ διαπρέψαι, εἰ ἐπιτραπῶμεν ὑπὸ τοῦ πνεύματος πρὸς ἑτέραν μεταβῆναι διακονίαν ἢ ἐργασίαν ἢ πρᾶξιν, μὴ ἀντιτείνωμεν. Ὁ γὰρ Θεός, οὔτε ἀργοὺς ἡμᾶς εἶναι, οὔτε ἐν μιᾷ καὶ τῇ αὐτῇ ἐργασίᾳ ἐν ᾗ ἠρξάμεθα μέχρι τέλους ἐμμέ-

ράδεισος· ἕως ὅτου ὁ Υἱὸς μαζὶ μὲ τὸν Πατέρα, διὰ τοῦ Ἁγίου Πνεύματος, εἰσέλθῃ καὶ κατοικήσῃ μέσα μας. Καὶ ἀκριβῶς τότε, ὅταν ὁλοκληρωτικὰ ἀποκτήσωμε Αὐτὸν μέσα μας ἔνοικο καὶ διδάσκαλο, ὅποιον ἀπὸ ἐμᾶς προστάξῃ, ἢ ὁποιαδήποτε διακονία τοῦ ἐμπιστευθῇ, θὰ τὴν ἀναλάβῃ καὶ θὰ τὴν ἐκτελέσῃ μὲ προθυμία, σύμφωνα μὲ τὸ θέλημα Ἐκείνου. Δὲν ἐπιτρέπεται νὰ τὴν ἐπιζητοῦμε πρὶν τὴν ὥρα της, ἀλλὰ οὔτε ὅταν μᾶς δίνεται ἀπὸ τοὺς ἀνθρώπους νὰ δεχώμασθε νὰ τὴν λάβωμε· ἀλλὰ νὰ παραμένωμε [σταθεροὶ] στὶς ἐντολὲς τοῦ Κυρίου καὶ Θεοῦ μας, καὶ νὰ ἀναμένωμε μὲ πόθο τὸ δικό Του πρόσταγμα.

96. Ἀφοῦ ἀναλάβωμε διακονία θείων πραγμάτων καὶ διαπρέψωμε σ᾽ αὐτήν, ἐὰν [κατόπιν] μᾶς ἀναθέσῃ τὸ [Ἅγιο] Πνεῦμα νὰ μεταβοῦμε σὲ ἄλλη διακονία, ἢ ἐργασία, ἢ ἔργο, ἂς μὴν προβάλλωμε ἀντίρρησι. Διότι ὁ Θεὸς δὲν θέλει οὔτε νὰ εἴμαστε ἄργοί, οὔτε νὰ παραμένωμε στὴν ἴδια ἐργασία, ἀπὸ τὴν ὁποία ἀρχίσαμε, ἕως

νειν βούλεται, ἀλλὰ προκόπτοντας καὶ ἀεικινήτους εἶναι πρὸς τὴν τῶν κρειττόνων ἐπιτυχίαν, τῷ θείῳ δηλαδὴ καὶ μὴ τῷ οἰκείῳ στοιχοῦντες θελήματι.

ϟζ΄. Ὁ τὸ ἴδιον θέλημα ἀπονεκρῶσαι σπουδάζων, τὸ τοῦ Θεοῦ ποιεῖν θέλημα ὀφείλει· καὶ ἀντὶ τοῦ οἰκείου θελήματος τὸ τοῦ Θεοῦ ἀντεισάγειν ἐν ἑαυτῷ καὶ ἐμφυτεύειν καὶ ἐγκεντρίζειν τοῦτο ἐν τῇ καρδίᾳ αὐτοῦ καὶ πρὸς τούτοις σκοπεῖν ἀκριβῶς, εἰ τὰ φυτευόμενα καὶ ἐγκεντριζόμενα, τὰ μὲν εἰς βάθος που ῥιζωθέντα φύει, τὰ δὲ καὶ ἑνωθέντα εἰς δένδρον ἐγένοντο ἕν· εἰ ηὐξήθησαν καὶ ἐξήνθησαν καὶ καρπὸν ὡραῖον καὶ γλυκὺν πεποιήκασιν· ὥστε ἀγνοηθῆναι παρ᾽ αὐτοῦ καὶ τὴν προϋποδεξαμένην τὸν σπόρον γῆν καὶ τὴν ῥίζαν ἐφ᾽ ἣν ἐνεκεντρίσθη τὸ ἀκατανόητον καὶ ἄφραστον ἐκεῖνο καὶ ζωηφόρον φυτόν.

ϟη΄. Ὁ ἐκκόπτων τὸ ἴδιον

τὸ τέλος, ἀλλὰ νὰ προοδεύωμε καὶ νὰ εἴμαστε ἀεικίνητοι γιὰ νὰ ἐπιτύχωμε τὰ ὑψηλότερα, βαδίζοντας δηλαδὴ σύμφωνα μὲ τὸ θεῖο καὶ ὄχι μὲ τὸ δικό μας θέλημα.

97. Ἐκεῖνος, ὁ ὁποῖος φροντίζει νὰ νεκρώσῃ τὸ δικό του θέλημα, ὀφείλει νὰ κάνῃ τὸ θέλημα τοῦ Θεοῦ. Καὶ στὴν θέσι τοῦ δικοῦ του θελήματος [πρέπει] νὰ εἰσάγῃ μέσα του τὸ [θέλημα] τοῦ Θεοῦ καὶ νὰ τὸ φυτεύῃ καὶ νὰ τὸ κεντρώνῃ μέσα εἰς τὴν καρδία του. Καὶ μαζὶ μὲ αὐτὰ νὰ προσέχῃ μὲ ἀκρίβεια αὐτὰ ποὺ φυτεύονται καὶ ἐμβολιάζονται, ἐὰν τὰ μὲν [ποὺ φυτεύθηκαν] μεγαλώνουν ἔχοντας ριζώσει βαθιὰ καὶ ἐὰν τὰ ἄλλα [ποὺ ἐκέντρωσε] ἐπουλώθηκαν πλήρως [στὸ σημεῖο τοῦ μπολιάσματος] καὶ ἑνώθηκαν [καὶ] ἔγιναν ἕνα δένδρο· [ἀκόμη] ἐὰν μεγάλωσαν καὶ ἄνθισαν καὶ ἔχουν κάνει καρπὸ ὡραῖο καὶ γλυκύ· οὕτως ὥστε αὐτὸς νὰ λησμονήσῃ καὶ τὴν γῆ ποὺ δέχθηκε πρωτύτερα τὸν σπόρο καὶ τὴν ρίζα, πάνω στὴν ὁποία ἐμβολιάστηκε τὸ ἀκατανόητο καὶ ἀπερίγραπτο καὶ ζωηφόρο ἐκεῖνο φυτό.

98. Σ᾽ ἐκεῖνον ποὺ κόβει τὸ θέ-

θέλημα διὰ τὸν τοῦ Θεοῦ φόβον, ἀγνώστως οὕτως, ὡς οὐκ οἶδεν, ὁ Θεὸς χαρίζεται αὐτῷ τὸ ἑαυτοῦ θέλημα· καὶ ἀνεξάλειπτον αὐτὸ διατηρεῖ ἐν τῇ καρδίᾳ αὐτοῦ· καὶ διανοίγει τοὺς ὀφθαλμοὺς τῆς διανοίας αὐτοῦ τοῦ ἐπιγινώσκειν αὐτό· καὶ ἰσχὺν δίδωσι τοῦ ἐκπληροῦν αὐτό. Ταῦτα δὲ ἡ χάρις τοῦ Ἁγίου Πνεύματος ἐνεργεῖ καὶ χωρὶς αὐτῆς γίνεται οὐδέν.

ϟθʹ. Εἰ πάντων σου τῶν ἁμαρτημάτων τὴν ἄφεσιν ἔλαβες, εἴτε δι᾽ ἐξαγορεύσεως, εἴτε διὰ τῆς ἀμφιέσεως τοῦ Ἁγίου καὶ Ἀγγελικοῦ σχήματος, πόσης σοι τοῦτο ἔσται ἀγάπης καὶ εὐχαριστίας καὶ ταπεινώσεως αἴτιον; Ὅτι μυρίων ὑπάρχων τιμωριῶν ἄξιος, οὐ μόνον τούτων ἀπηλλάγης, ἀλλὰ καὶ υἱοθεσίας καὶ δόξης καὶ Οὐρανῶν ἀξιοῦσαι Βασιλείας. Ταῦτα στρέφων ἐν διανοίᾳ καὶ διαπαντὸς ἐνθυμούμενος, ἕτοιμος ἔσο καὶ προπαρασκευάζου μὴ ἀτιμάσαι τὸν σὲ ποιήσαντα καὶ τιμήσαν-

λημά του ἀπὸ τὸν φόβο τοῦ Θεοῦ, ἀνεπαίσθητα [καὶ] χωρὶς νὰ τὸ ἀντιλαμβάνεται, ὁ Θεὸς τοῦ χαρίζει τὸ Ἰδικό Του θέλημα· καὶ τὸ διατηρεῖ ἀνεξάλειπτο μέσα στὴν καρδία του. Καὶ τοῦ ἀνοίγει τοὺς ὀφθαλμοὺς τῆς διανοίας του, ὥστε νὰ τὸ διακρίνῃ καθαρά· καὶ [ἀκόμη] τὸν ἐνισχύει νὰ τὸ ἐκπληρώνῃ. Αὐτὰ δὲ [ὅλα] τὰ ἐνεργεῖ ἡ Χάρι τοῦ Ἁγίου Πνεύματος, καὶ χωρὶς Αὐτὴν δὲν γίνεται τίποτε.

99. Ἐὰν ἔλαβες τὴν ἄφεσι ὅλων τῶν ἁμαρτημάτων σου, εἴτε μὲ τὴν ἐξομολόγησι, εἴτε μὲ τὴν περιβολὴ τοῦ Ἁγίου καὶ Ἀγγελικοῦ Σχήματος, [σκέφθηκες ἄραγε] γιὰ πόση ἀγάπη καὶ εὐχαριστία καὶ ταπείνωσι [θὰ πρέπῃ] νὰ σοῦ γίνῃ αὐτὸ αἰτία; Διότι, ἐνῷ εἶσαι ἄξιος γιὰ ἀναρίθμητες τιμωρίες, ὄχι μόνον ἀπαλλάχθηκες ἀπὸ αὐτές, ἀλλὰ ἀξιώνεσαι [νὰ λάβῃς] καὶ υἱοθεσία [ἀπὸ τὸν Θεὸ] καὶ δόξα καὶ Βασιλεία Οὐρανῶν. Αὐτὰ ἀναλογιζόμενος καὶ συνεχῶς ἐνθυμούμενος, νὰ εἶσαι ἕτοιμος καὶ νὰ προπαρασκευάζεσαι, νὰ μὴν καταισχύνῃς [μὲ τὶς πράξεις σου] Ἐκεῖνον ποὺ σὲ ἔπλασε, καὶ σὲ ἐτίμησε,

τα καὶ τὰ μυρία συγχωρήσαντα πταίσματα· ἀλλὰ πᾶσί σου ἔργοις δοξάσαι καὶ τιμῆσαι αὐτόν, ἵνα καὶ αὐτός σε μειζόνως ἀντιδοξάσῃ, ὃν τετίμηκεν ὑπὲρ ἅπασαν τὴν ὁρωμένην κτίσιν, καὶ φίλον αὐτοῦ ὀνομάσῃ σε γνήσιον.

ρ'. Ὅσῳ ψυχὴ τιμιωτέρα τοῦ σώματος τυγχάνει, τοσούτῳ ὁ λογικὸς ἄνθρωπος κρείσσων τοῦ παντὸς κόσμου ἐστίν. Μὴ γὰρ τὰ μεγέθη τῶν ἐν αὐτῷ κτισμάτων κατανοῶν καὶ διὰ τοῦτο τιμιώτερά σοι ταῦτα εἶναι νόμιζε, ἄνθρωπε· ἀλλὰ πρὸς τὴν δοθεῖσάν σοι χάριν ἀποβλέψας καὶ τῆς νοερᾶς καὶ λογικῆς σου ψυχῆς τὴν ἀξίαν καταμαθών, ἀνύμνει τὸν ὑπὲρ τὰ ὁρώμενα ἅπαντα τιμήσαντά σε Θεόν.

ρα'. Σκοπήσωμεν πῶς δοξάσωμεν τὸν Θεόν. Δοξάζεται δὲ παρ' ἡμῶν οὐκ ἄλλως, ἢ ὡς παρὰ τοῦ Υἱοῦ ἐδοξάσθη· δι' ὧν γὰρ ἐκεῖνος τὸν ἑαυτοῦ Πατέρα ἐδόξασεν, ἐδοξάσθη

καὶ σοῦ συγχώρησε τὰ ἀναρίθμητα πταίσματά σου· ἀλλὰ μὲ ὅλα τὰ ἔργα σου νὰ δοξάσῃς καὶ νὰ τιμήσῃς Αὐτόν, γιὰ νὰ σὲ ἀντιδοξάσῃ καὶ Αὐτὸς περισσότερο, ἐσένα τὸν ὁποῖον ἔχει τιμήσει πάνω ἀπὸ ὅλη τὴν ὁρατὴ κτίσι, καὶ θὰ σὲ ἀποκαλέσῃ γνήσιο φίλο Του.

100. Ὅσο ἡ ψυχὴ εἶναι πολυτιμότερη ἀπὸ τὸ σῶμα, τόσο [καὶ] ὁ λογικὸς ἄνθρωπος εἶναι ἀνώτερος ἀπὸ ὅλο τὸν κόσμο. Διότι, ἂς μὴ νομίζῃς, ὦ ἄνθρωπε, βλέποντας τὰ μεγέθη τῶν κτισμάτων, [ποὺ ὑπάρχουν] σὲ αὐτόν, [ὅτι] καὶ γιὰ αὐτό, [δηλαδὴ τὸ μεγάλο μέγεθός τους], εἶναι πιὸ πολύτιμα ἀπὸ σένα· ἀλλά, ἀφοῦ θὰ προσβλέψῃς πρὸς τὴν Χάρι ποὺ σοῦ δόθηκε καὶ θὰ κατανοήσῃς τὴν ἀξία τῆς νοερᾶς καὶ λογικῆς ψυχῆς σου, νὰ ἀνυμνῇς τὸν Θεό, ὁ Ὁποῖος σὲ ἐτίμησε πάνω ἀπὸ ὅλα τὰ ὁρατά.

101. Ἂς μελετήσωμε προσεκτικά, πῶς θὰ δοξάσωμε τὸν Θεό. Δοξάζεται δὲ ἀπὸ ἐμᾶς [ὁ Θεός], ὄχι μὲ ἄλλο τρόπο, παρὰ μόνο μὲ τὸν [ἴδιο] τρόπο ποὺ ἐδοξάσθηκε ἀπὸ τὸν Υἱό. Διότι μὲ αὐτά, μὲ τὰ ὁποῖα Ἐκεῖνος ἐδόξασε τὸν Πατέρα Του, μὲ αὐτὰ [τὰ ἴδια] ἐδοξάσθηκε

καὶ ὁ Υἱὸς παρά τοῦ Πατρὸς δι᾽ αὐτῶν. Κἀκεῖνα καὶ ἡμεῖς σπουδῇ πράξωμεν, ἵνα διὰ τούτων δοξάσωμεν τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς κληθῆναι καταδεξάμενον, καὶ δοξασθῶμεν παρ᾽ αὐτοῦ τῇ δόξῃ τοῦ Υἱοῦ, ᾗ εἶχε πρὸ τοῦ τὸν κόσμον εἶναι παρ᾽ αὐτοῦ[39] *[recte: παρ᾽ αὐτῷ]. Τὰ δὲ εἰσίν, ὁ σταυρός, ἤγουν ἡ νέκρωσις τοῦ κόσμου παντός, αἱ θλίψεις, οἱ πειρασμοί, καὶ εἴ τι ἕτερον τῶν παθημάτων Χριστοῦ. Ἃ ὑποφέροντες ἐν ὑπομονῇ πολλῇ, μιμούμεθα τοῦ Χριστοῦ τὰ παθήματα· δοξάζομεν δὲ δι᾽ αὐτῶν τὸν Πατέρα ἡμῶν καὶ Θεόν, ὡς υἱοὶ αὐτοῦ χάριτι καὶ συγκληρονόμοι Χριστοῦ*[40].

ρβ΄. Ψυχὴ ἡ μὴ τελείως τῆς σχέσεως καὶ προσπαθείας τῶν ὁρωμένων εὐαισθήτως ἀπαλλαγεῖσα, τὰ ἐπισυμβαίνοντα αὐτῇ λυπηρὰ καὶ τὰς ἐπερχομένας αὐτῇ ἐπηρείας παρὰ δαιμόνων καὶ ἀνθρώπων, ἀλύπως φέρειν οὐ δύναται· ἀλλ᾽ οἱ-

καὶ ὁ Υἱὸς ἀπὸ τὸν Πατέρα. Αὐτὰ καὶ ἐμεῖς ἂς πράξωμε ἐπιμελῶς, ὥστε μὲ αὐτὰ νὰ δοξάσωμε Ἐκεῖνον, ὁ Ὁποῖος καταδέχθηκε νὰ ὀνομασθῇ «Πατέρας μας εἰς τοὺς οὐρανούς» καὶ [ἔτσι] νὰ δοξασθοῦμε [καὶ ἐμεῖς] ἀπὸ Αὐτόν, μὲ τὴν δόξα τοῦ Υἱοῦ, τὴν ὁποία εἶχε πρὶν ἀκόμα λάβῃ ὕπαρξι ὁ κόσμος ἀπὸ Αὐτόν. Εἶναι δὲ αὐτὰ ὁ σταυρός, δηλαδὴ ἡ νέκρωσί [μας] γιὰ ὅλα τὰ κοσμικά, οἱ θλίψεις, οἱ πειρασμοί, καὶ ὅ,τι ἄλλο ἀκόμη ἀπὸ τὰ παθήματα τοῦ Χριστοῦ. Τὰ ὁποῖα, ὅταν τὰ ὑποφέρωμε μὲ πολλὴ ὑπομονή, μιμούμεθα τὰ παθήματα τοῦ Χριστοῦ· δοξάζομε δὲ μέσῳ αὐτῶν τὸν Πατέρα μας καὶ Θεό, ὡς κατὰ Χάρι υἱοί Του καὶ «συγκληρονόμοι τοῦ Χριστοῦ».

102. Ἡ ψυχή, ἡ ὁποία δὲν ἀπαλλάχθηκε ἐξ ὁλοκλήρου [καὶ] μὲ συναίσθησι ἀπὸ τὴν σχέσι καὶ τὴν προσκόλλησι στὰ ὁρατά, δὲν μπορεῖ νὰ ὑποφέρῃ χωρὶς λύπη τὰ λυπηρὰ ποὺ τῆς συμβαίνουν καὶ τὶς βλαβερὲς ἐπενέργειες ποὺ προκαλοῦνται σ᾽ αὐτὴν ἀπὸ δαίμονες καὶ ἀνθρώπους. Ἀλλά, ἀφοῦ κατὰ κάποιο τρόπο

ονεὶ συνδέσμῳ δεδεμένη τῇ προσπαθείᾳ τῶν ἀνθρωπίνων πραγμάτων, ζημίαις δάκνεται χρημάτων καὶ ἀποστερήσεσιν ἄχθεται πραγμάτων καί, πληγαῖς ἐπιφερομέναις αὐτῆς τῷ σώματι, σφοδρῶς ὀδυνᾶται.

ργ΄. Εἴ τις σχέσεως καὶ ἐπιθυμίας τῶν αἰσθητῶν ἀπέρρηξε τὴν ψυχὴν αὐτοῦ καὶ τῷ Θεῷ ταύτην συνέδησεν, οὐ μόνον τῶν περὶ αὐτὸν χρημάτων καὶ κτημάτων καταφρονήσει καὶ ὡς ἐπὶ ἀλλοτρίοις καὶ ξένοις ὑστερούμενος ἀλύπως διατεθῇ, ἀλλὰ καὶ τὰ ἐπιφερόμενα τῷ σώματι αὐτοῦ ἀνιαρά, μετὰ χαρᾶς καὶ τῆς προσηκούσης εὐχαριστίας ὑπομενεῖ, βλέπων ἀεὶ κατὰ τὸν θεῖον Ἀπόστολον, τὸν μὲν ἔξω φθειρόμενον ἄνθρωπον· τὸν δὲ ἐντός, ἡμέρᾳ καὶ ἡμέρᾳ ἀνακαινούμενον[41]*. Ἄλλως δὲ οὐκ ἔνι τὰς κατὰ Θεὸν θλίψεις ὑπενεγκεῖν μετὰ χαρᾶς. Γνώσεως γὰρ τελείας ἐν τούτοις χρεία καὶ*

ἔχει δεθῆ μὲ τὰ δεσμὰ τῆς ἐμπαθοῦς προσκολλήσεως γιὰ τὰ ἀνθρώπινα πράγματα, πληγώνεται ἀπὸ τὶς χρηματικὲς ζημίες [σὰν νὰ τὴν δαγκώνουν], καὶ θλίβεται ἀπὸ στερήσεις πραγμάτων, καὶ νοιώθει σφοδρὴ ὀδύνη, ὅταν ὑφίσταται σωματικὲς δοκιμασίες.

103. Ἐκεῖνος, ὁ ὁποῖος ἀπέσπασε τὴν ψυχή του ἀπὸ τὴν σχέσι καὶ τὴν ἐπιθυμία τῶν αἰσθητῶν καὶ τὴν συνέδεσε μὲ τὸν Θεό, ὄχι μόνο θὰ καταφρονήσῃ τὰ χρήματα και τὰ κτήματα ποὺ τοῦ ἀνήκουν, καὶ θὰ συμπεριφερθῇ χωρὶς καμμία λύπη, ἂν τὰ χάσῃ, σὰν νὰ εἶναι ξένα καὶ ὄχι δικά του, ἀλλὰ [ἀκόμη] καὶ αὐτὰ τὰ θλιβερά, ποὺ πλήττουν τὸ σῶμα του, θὰ τὰ ὑπομείνῃ μὲ χαρὰ καὶ μὲ τὴν πρέπουσα εὐχαριστία, βλέποντας πάντοτε σύμφωνα μὲ τὸν θεῖο Ἀπόστολο «τὸν μὲν ἐξωτερικὸ ἄνθρωπο νὰ ὑπόκειται σὲ φθορά, τὸν δὲ ἐσωτερικὸ νὰ ἀνανεώνεται ἡμέρα μὲ τὴν ἡμέρα». Διαφορετικὰ δέ, δὲν εἶναι δυνατὸν νὰ ὑπομένῃ μὲ χαρὰ τὶς θλίψεις, γιὰ τὴν ἀγάπη τοῦ Θεοῦ. Διότι [γιὰ νὰ ἀντιμετωπισθοῦν] αὐτὲς χρειάζεται τέλεια γνῶσι καὶ πνευματικὴ

σοφίας πνευματικῆς. Ὁ δὲ τούτων ἐστερημένος, ἐν σκότει ἀνελπιστίας καὶ ἀγνωσίας ἀεὶ πορεύεται, μὴ δυνάμενος τὸ φῶς τῆς ὑπομονῆς καὶ τῆς παρακλήσεως ὅλως θεάσασθαι.

ρδ΄. Πᾶς δοκήσει φρονῶν, ἐκ μαθηματικῆς ὢν ἐπιστήμης, εἰς μυστήρια Θεοῦ παρακύψαι καὶ ἰδεῖν οὐκ ἀξιωθήσεταί ποτε, ἕως ἂν ταπεινωθῆναι πρῶτον θελήσῃ καὶ μωρὸς γένηται, σὺν τῇ οἰήσει καὶ ἣν κέκτηται γνῶσιν ἀποβαλών. Ὁ γὰρ τοῦτο ποιῶν καὶ σοφοῖς τὰ θεῖα ἐν ἀδιστάκτῳ πίστει ἀκολουθῶν καὶ ὑπὸ τούτων χειραγωγούμενος, συνεισέρχεται μετ᾽ αὐτῶν ἐν πόλει ζῶντος Θεοῦ. Καὶ ὑπὸ τοῦ Θείου Πνεύματος ὁδηγούμενός τε καὶ φωτιζόμενος, ὁρᾷ καὶ διδάσκεται, ἅπερ οὐδεὶς τῶν ἄλλων ἀνθρώπων ἰδεῖν καὶ μαθεῖν ποτε δύναται. Καὶ τηνικαῦτα γίνεται Θεοῦ διδακτός[42].

ρε΄. Τοὺς διδακτοὺς Θεοῦ, οἱ μαθηταὶ τῶν σοφῶν τοῦ

σοφία. Ἐκεῖνος, ὅμως, ὁ ὁποῖος τὶς στερεῖται, βαδίζει πάντοτε σὲ σκοτάδι ἀπελπισίας καὶ ἄγνοιας [πνευματικῆς], ἐπειδὴ δὲν μπορεῖ νὰ ἰδῇ καθόλου τὸ φῶς τῆς ὑπομονῆς καὶ τῆς [ἐκ Θεοῦ] παρηγορίας.

104. Κάθε ἕνας, ὁ ὁποῖος θεωρεῖ τὸν ἑαυτό του σοφό, ἐπειδὴ ἔχει ἐπιστημονικὴ παιδεία, δὲν θὰ ἀξιωθῇ ποτὲ νὰ ἐμβαθύνῃ καὶ νὰ γνωρίσῃ τὰ μυστήρια τοῦ Θεοῦ, μέχρι νὰ θελήσῃ πρῶτα νὰ ταπεινωθῇ καὶ νὰ γίνῃ μωρός, ἀποβάλλοντας μαζὶ μὲ τὴν ὑψηλοφροσύνη καὶ τὴν γνῶσι ποὺ ἔχει ἀποκτήσει. Διότι ἐκεῖνος, ποὺ κάνει αὐτὸ καὶ ἀκολουθεῖ μὲ ἀκλόνητη πίστι τοὺς κατὰ Θεὸν σοφούς, καὶ χειραγωγεῖται ἀπὸ αὐτούς, συνεισέρχεται μαζί τους στὴν πόλι τοῦ ζῶντος Θεοῦ [δηλαδὴ στὴν οὐράνια Βασιλεία]. Καὶ καθὼς ὁδηγεῖται καὶ φωτίζεται ἀπὸ τὸ θεῖο Πνεῦμα, βλέπει καὶ διδάσκεται ἐκεῖνα, τὰ ὁποῖα κανεὶς ἀπὸ τοὺς ἄλλους ἀνθρώπους δὲν μπορεῖ ποτὲ νὰ ἰδῇ καὶ νὰ μάθῃ. Καὶ τότε ἀκριβῶς γίνεται «διδαγμένος ἀπὸ τὸν Θεό».

105. Ἐκείνους, οἱ ὁποῖοι ἔχουν διδαχθῇ ἀπὸ τὸν Θεό, οἱ μα-

αἰῶνος τούτου ἀνθρώπων, ἡγοῦνται μωρούς, αὐτοὶ ὄντες ἐν ἀληθείᾳ μωροί, ἐκμεμωραμένης σοφίας στομωθέντες τῆς θύραθεν· ἣν ἐμώρανεν ὁ Θεός[43], κατὰ τὸν θεῖον Ἀπόστολον. Καὶ ἣν ἡ θεολόγος φωνὴ ἐπίγειον οἶδε, ψυχικήν, δαιμονιώδη[44], μεστὴν ἐριθείας καὶ φθόνου. Ἔξω γὰρ ὄντες οἱ τοιοῦτοι τοῦ θείου φωτός, τὰ ἐν αὐτῷ ἰδεῖν μὴ δυνάμενοι θαύματα, τοὺς αὐλιζομένους ἐν τῷ φωτὶ καὶ τὰ ἐν αὐτῷ βλέποντας καὶ διδάσκοντας, ὡς πεπλανημένους λογίζονται· πεπλανημένοι ὄντες αὐτοὶ καὶ ἄγευστοι τῶν ἀποῤῥήτων τοῦ Θεοῦ ἀγαθῶν.

ρς'. Ὅτι καὶ νῦν εἰσιν ἀπαθεῖς καὶ ἅγιοι καὶ πεπληρωμένοι τοῦ θείου φωτός, ἀναστρεφόμενοι ἐν μέσῳ ἡμῶν, τοσοῦτον τὰ μέλη νεκρώσαντες ἑαυτῶν τὰ ἐπὶ τῆς γῆς[45], ἐκ πάσης ἀκαθαρσίας καὶ ἐμπαθεστάτης ἐπιθυμίας, ὡς

θητὲς τῶν σοφῶν ἀνθρώπων αὐτοῦ τοῦ κόσμου τοὺς θεωροῦν μωρούς, [ἐνῶ] αὐτοὶ εἶναι πραγματικὰ μωροί, ἀποστομωμένοι ἀπὸ τὴν ἀνόητη κοσμικὴ σοφία[ε']· τὴν ὁποία ἀπέδειξε ἀνόητη καὶ ἀνωφελῆ ὁ Θεός, σύμφωνα μὲ τὸν θεῖο Ἀπόστολο. Καὶ τὴν ὁποία ἡ φωνὴ τοῦ λόγου τοῦ Θεοῦ, [μᾶς] ἐδήλωσε [ὅτι εἶναι] «γήϊνη, σαρκική, δαιμονιώδης», γεμάτη ἀπὸ φιλονικία καὶ φθόνο. Αὐτοί, λοιπόν, ἐπειδὴ στεροῦνται τοῦ θείου φωτός, [καὶ] δὲν μποροῦν νὰ ἰδοῦν τὰ θαύματα, [τὰ ὁποῖα ἐνεργοῦνται] δι᾽ αὐτοῦ, θεωροῦν ὡς πλανεμένους αὐτούς, οἱ ὁποῖοι ζοῦν μέσα στὸ φῶς καὶ βλέπουν καὶ διδάσκουν ὅσα ἐνεργοῦνται δι᾽ αὐτοῦ, ἐνῶ αὐτοὶ εἶναι οἱ πραγματικὰ πλανεμένοι καὶ ἄγευστοι τῶν ἀπορρήτων ἀγαθῶν τοῦ Θεοῦ.

106. [Εἶναι ἀλήθεια] ὅτι καὶ τώρα ὑπάρχουν [ἄνθρωποι] ἀπαθεῖς καὶ ἅγιοι καὶ πλήρεις ἀπὸ τὸ θεῖο φῶς, οἱ ὁποῖοι ζοῦν ἀνάμεσά μας, [καὶ] ἐνέκρωσαν σὲ τόσο μεγάλο βαθμὸ «τὰ γήϊνα μέλη τους», [τὰ μέλη δηλαδὴ τοῦ παλαιοῦ ἀνθρώπου], ἀπὸ κάθε ἀκαθαρσία καὶ ἐμπαθῆ ἐπιθυμία,

μὴ μόνον ἀφ᾽ ἑαυτῶν ποτε λογίζεσθαι ἢ ποιῆσαί τι τῶν κακῶν, ἀλλὰ μηδὲ ὑφ᾽ ἑτέρου πρὸς τοῦτο ἑλκομένους, ἀλλοίωσίν τινα τῆς προσούσης αὐτοῖς ἀπαθείας ὑφίστασθαι. Εἴδεσαν γὰρ ἂν τούτους, εἴπερ εἰδότες ἦσαν τὰ καθ᾽ ἑκάστην ἀναγινωσκόμενα θεῖα λόγια καὶ ψαλλόμενα παρ᾽ αὐτῶν, οἱ τοῖς τοιούτοις τὴν ἀδιαφορίαν ἐπιφημίζοντες καὶ διαπιστοῦντες τοῖς περὶ θείων πραγμάτων διδάσκουσιν ἐν σοφίᾳ τοῦ Πνεύματος. Εἰ γὰρ ἐν γνώσει τελείᾳ ἐγένοντο τῆς θείας Γραφῆς, ἐπίστευον ἂν τοῖς ὑπὸ Θεοῦ λαληθεῖσι καὶ δωρηθεῖσιν ἡμῖν ἀγαθοῖς. Ἐπεὶ δὲ ἀμέτοχοι τῶν τοιούτων, ἐξ οἰήσεως καὶ ἀμελείας, εἰσὶ καλῶν, καὶ τοὺς μετεσχηκότας καὶ περὶ τῶν τοιούτων διδάσκοντας, ἀπιστοῦντες, ἐνδιαβάλλουσιν.

ρζ΄. Διὰ τοῦτο μόνον παραβάλλειν καὶ βλέπειν τοὺς ἐν τῷ κόσμῳ θέλουσιν οἱ

ὥστε ὄχι μόνο οἱ ἴδιοι νὰ μὴν σκέπτωνται ποτὲ ἢ νὰ μὴν κάνουν κάποιο κακό, ἀλλὰ οὔτε κι ἂν κάποιος ἄλλος τοὺς παρακινῇ πρὸς αὐτό, νὰ μὴν ὑφίστανται τὴν παραμικρὴ ἀλλοίωσι [ἀπὸ τὴν κατάστασι] τῆς ἀπαθείας, στὴν ὁποία εὑρίσκονται. Αὐτούς, λοιπόν, θὰ τοὺς γνώριζαν, ἐὰν βέβαια κατανοοῦσαν τὰ θεῖα λόγια, τὰ ὁποῖα διαβάζουν καὶ ψάλλουν κάθε ἡμέρα, ἐκεῖνοι ποὺ τοὺς κατηγοροῦν γιὰ ἀδιαφορία [βλέποντάς τους σὲ ἀπάθεια] καὶ ποὺ ἀμφισβητοῦν ὅσους διδάσκουν, μὲ τὴν σοφία τοῦ [Ἁγίου] Πνεύματος, περὶ θείων πραγμάτων. Διότι ἐὰν εἶχαν ἀποκτήσει τὴν τελεία γνῶσι τῆς θείας Γραφῆς, θὰ ἐπίστευαν [στὴν ὕπαρξι] τῶν ἀγαθῶν, γιὰ τὰ ὁποῖα μίλησε καὶ δώρισε σὲ μᾶς ὁ Θεός. Ἐπειδὴ ὅμως εἶναι ἀμέτοχοι σὲ αὐτὰ τὰ καλά, λόγῳ τῆς ἀλαζονείας καὶ ἀμελείας τους, διαβάλλουν ἀπὸ ἀπιστία καὶ αὐτοὺς ποὺ μετέχουν καὶ ὅσους διδάσκουν γιὰ αὐτά.

107. Μόνον γι᾽ αὐτὸ θέλουν νὰ συναναστρέφωνται καὶ νὰ βλέπουν τοὺς κοσμικοὺς ἐκεῖνοι, οἱ ὁποῖοι εἶναι γεμά-

χάριτος πεπληρωμένοι Θεοῦ καὶ τετελειωμένοι τῇ γνώσει καὶ σοφίᾳ τῇ ἄνωθεν, ἵνα μισθόν τινα προξενήσωσιν αὐτοῖς, διὰ ὑπομνήσεως τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ δι' ἀγαθοεργίας, εἰ ἄραγε ἀκούσουσιν, εἰ ἄραγε συνήσουσι καὶ πεισθήσονται. Ἐπειδὴ οἱ μὴ τῷ τοῦ Θεοῦ ἀγόμενοι πνεύματι, ἐν τῇ σκοτίᾳ περιπατοῦσι καὶ οὐκ οἴδασιν οὔτε ποῦ ὑπάγουσιν[46]*, οὔτε ἐν τίσι προκόπτουσιν ἐντολαῖς. Τάχα γάρ ποτε ἀνασφήλαντες ἐκ τῆς περιεχούσης αὐτοὺς οἰήσεως, δέξονται τὴν τοῦ Ἁγίου Πνεύματος ἀληθῆ διδασκαλίαν· καὶ τὸ τοῦ Θεοῦ θέλημα ἀνοθεύτως καὶ ἀκαπηλεύτως ἀκούσαντες, μετανοήσουσι· καὶ ποιήσαντες αὐτό, μεταλάβωσί τινος χαρίσματος πνευματικοῦ. Εἰ δὲ μὴ τοιαύτης ὠφελείας γενέσθαι δυνηθῶσιν αὐτοῖς πρόξενοι, θρηνοῦντες τὴν πώρωσιν τῆς καρδίας αὐτῶν, ὑποστρέφουσιν εἰς τὰς κέλλας αὐτῶν, νυκτὸς καὶ ἡμέρας εὐχόμενοι ὑπὲρ*

τοι ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ καὶ ἔχουν γίνει τέλειοι στὴν ἄνωθεν γνῶσι καὶ σοφία, γιὰ νὰ τοὺς προξενήσουν κάποιο μισθὸ [ἀπὸ τὸν Θεό], μὲ τὴν ὑπόμνησι τῶν ἐντολῶν τοῦ Θεοῦ καὶ μὲ τὴν ἀγαθοεργία, ἐὰν βέβαια τοὺς ἀκούσουν, [καὶ] ἐφόσον τοὺς κατανοήσουν καὶ πεισθοῦν. Ἐπειδὴ ἐκεῖνοι, ποὺ δὲν ὁδηγοῦνται ἀπὸ τὸ Πνεῦμα τοῦ Θεοῦ, βαδίζουν στὸ σκοτάδι καὶ δὲν γνωρίζουν «οὔτε ποῦ πηγαίνουν», οὔτε σὲ ποιὲς ἐντολὲς [πρέπει νὰ ὑπακούσουν καὶ] νὰ προοδεύσουν. Διότι μπορεῖ κάποτε, ἀφοῦ ἀνανήψουν ἀπὸ τὴν ὑψηλοφροσύνη ποὺ τοὺς κατέχει, νὰ δεχθοῦν τὴν ἀληθινὴ διδασκαλία τοῦ Ἁγίου Πνεύματος· καὶ ἀφοῦ ὑπακούσουν στὸ θέλημα τοῦ Θεοῦ, χωρὶς νὰ τὸ νοθεύουν ἢ νὰ τὸ καπηλεύωνται, νὰ μετανοήσουν· καί, ἐφόσον τὸ ἐκπληρώσουν, [νὰ ἀξιωθοῦν] νὰ λάβουν κάποιο πνευματικὸ χάρισμα. Ἐὰν ὅμως δὲν καταφέρουν νὰ προξενήσουν αὐτὴν τὴν ὠφέλεια, ἀφοῦ θρηνήσουν [γιὰ] τὴν πώρωσι τῆς καρδίας ἐκείνων, ἐπιστρέφουν στὰ κελλιά τους, προσευχόμενοι νύκτα καὶ ἡμέρα γιὰ τὴν

τῆς σωτηρίας αὐτῶν. Ὑπὲρ γὰρ ἄλλου τινὸς οὐδέποτε λυπηθήσονται οἱ τῷ Θεῷ ἀδιαλείπτως συνόντες καὶ ὑπερεμπιπλάμενοι παντὸς ἀγαθοῦ.

ρη΄. Τίς ὁ σκοπὸς τῆς ἐνσάρκου Οἰκονομίας τοῦ Θεοῦ Λόγου, ὁ ἐν πάσῃ τῇ θείᾳ Γραφῇ ἀνακηρυττόμενος καὶ παρ᾽ ἡμῶν μὲν ἀναγινωσκόμενος, μὴ ἐπιγινωσκόμενος δέ; ἢ πάντως, ἵνα, μετεσχηκὼς τῶν ἡμετέρων, κοινωνοὺς τῶν ἐκείνου ποιήσῃ ἡμᾶς; Ὁ γὰρ Υἱὸς τοῦ Θεοῦ, διὰ τοῦτο υἱὸς τοῦ ἀνθρώπου ἐγένετο, ἵνα υἱοὺς Θεοῦ ποιήσῃ τοὺς ἀνθρώπους ἡμᾶς· ὅπερ ἐστὶ κατὰ φύσιν ἐκεῖνος, ἀνάγων κατὰ χάριν τὸ γένος ἡμῶν. Γεννῶν ἡμᾶς ἄνωθεν ἐν Πνεύματι Ἁγίῳ καὶ εὐθὺς εἰσάγων ἡμᾶς εἰς τὴν Βασιλείαν τῶν Οὐρανῶν. Μᾶλλον δὲ ἡμῶν ἐντὸς τὴν τῶν Οὐρανῶν Βασιλείαν[47] ἔχειν ἡμῖν χαριζόμενος· ὡς μὴ ἐν ἐλπίσιν εἶναι τοῦ εἰσελθεῖν ἡμᾶς ἐν αὐτῇ, ἀλλ᾽ ἐν

σωτηρία τους. Διότι γιὰ τίποτε ἄλλο δὲν θὰ λυπηθοῦν ποτὲ αὐτοί, οἱ ὁποῖοι εἶναι πάντοτε ἑνωμένοι μὲ τὸν Θεὸ καὶ ὑπερπλήρεις ἀπὸ κάθε ἀγαθὸ [ποὺ προέρχεται ἀπὸ Αὐτόν].

108. Ποιός [εἶναι] ὁ σκοπὸς τῆς ἐν σαρκὶ Οἰκονομίας [δηλαδὴ τῆς ἐνανθρωπήσεως] τοῦ Θεοῦ Λόγου, ὁ ὁποῖος διακηρύσσεται μέσα σὲ ὅλη τὴν θεία Γραφή, καὶ ἀπὸ μᾶς μὲν ἀναγινώσκεται, ἀλλὰ δὲν κατανοεῖται; Τί ἄλλο παρά, ἀφοῦ μετάσχῃ [Ἐκεῖνος] στὰ δικά μας [λαμβάνοντας τὴν ἀνθρώπινη φύσι μας], νὰ μᾶς καταστήσῃ κοινωνοὺς τῶν ἰδικῶν Του, [τῆς θεότητός Του]; Διότι ὁ Υἱὸς τοῦ Θεοῦ γι᾽ αὐτὸ ἔγινε υἱὸς τοῦ ἀνθρώπου, γιὰ νὰ κάνῃ ἐμᾶς τοὺς ἀνθρώπους υἱοὺς Θεοῦ· ἀνεβάζοντας κατὰ Χάριν τὸ γένος μας, σ᾽ αὐτὸ ποὺ Ἐκεῖνος εἶναι κατὰ φύσιν. Ἀναγεννώντας μας ἄνωθεν μὲ τὸ Πνεῦμα τὸ Ἅγιον, καὶ εὐθὺς εἰσάγοντάς μας εἰς τὴν Βασιλεία τῶν Οὐρανῶν. Μᾶλλον ὅμως μᾶς χαρίζει νὰ ἔχωμε «ἐντός μας τὴν Βασιλείαν τῶν Οὐρανῶν»· ὥστε νὰ μὴν ἐλπίζωμε [ἁπλῶς] νὰ εἰσέλθωμε σ᾽ Αὐτήν, ἀλλὰ κατέ-

κατασχέσει ταύτης ὄντας βοᾶν· ἡμῶν δὲ ἡ ζωὴ κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ Θεῷ[48].

ρθ΄. Τὸ αὐτεξούσιον καὶ αὐτοπροαίρετον ἡμῶν οὐκ ἀφαιρεῖται τὸ Βάπτισμα· ἀλλὰ ἐλευθερίαν ἡμῖν χαρίζεται, τοῦ μηκέτι καὶ ἄκοντας ἡμᾶς τυραννεῖσθαι ὑπὸ τοῦ διαβόλου. Ἐφ᾽ ἡμῖν δέ ἐστι μετὰ τὸ Βάπτισμα, ἢ ταῖς ἐντολαῖς ἐμμένειν αὐτοθελῶς τοῦ, εἰς ὃν ἐβαπτίσθημεν, Χριστοῦ τοῦ Δεσπότου Θεοῦ καὶ τῇ ὁδῷ πορεύεσθαι τῶν προσταγμάτων αὐτοῦ, ἢ ἐκκλίνειν τῆς εὐθείας ὁδοῦ ταύτης, πρὸς τὸν ἀντίπαλον δὲ καὶ ἐχθρὸν ἡμῶν διάβολον παλινδρομεῖν.

ρι΄. Οἱ μετὰ τὸ Ἅγιον Βάπτισμα τοῖς τοῦ πονηροῦ θελήμασιν εἴκοντες καὶ τὰ ἐκείνῳ βεβουλευμένα διαπραττόμενοι, ἑαυτοὺς τῆς τοῦ Ἁγίου Βαπτίσματος ἁγίας μήτρας ἀπαλλοτριοῦσι, κατὰ τὸ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον[49]. *Οὐδὲ γὰρ ἀλλοιοῦται ἡμῶν ἕκαστος,*

χοντας Αὐτήν, νὰ διαλαλοῦμε [ὅτι] ὄντως «ἡ ζωή μας εἶναι κρυμμένη, μαζὶ μὲ τὸν Χριστό, μέσα στὸν Θεό».

109. Τὸ Βάπτισμα δὲν ἀφαιρεῖ τὸ αὐτεξούσιο καὶ τὴν ἐλευθερία τῆς προαιρέσεώς μας· ἀλλὰ μᾶς χαρίζει τὴν ἐλευθερία, [ὥστε] νὰ μὴν εὑρισκώμασθε, καὶ χωρὶς τὴν θέλησί μας, κάτω ἀπὸ τὴν τυραννία τοῦ διαβόλου. Σὲ μᾶς δὲ ἐναπόκειται μετὰ τὸ Βάπτισμα, ἢ νὰ παραμένωμε μὲ τὴν θέλησί μας στὴν [τήρησι] τῶν ἐντολῶν τοῦ Χριστοῦ, τοῦ Δεσπότου [καὶ] Θεοῦ μας, [στὸ ὄνομα] τοῦ Ὁποίου βαπτισθήκαμε καὶ νὰ βαδίζωμε στὴν ὁδὸ τῶν προσταγμάτων Του, ἢ νὰ παρεκκλίνωμε ἀπὸ τὸν ἴσιο αὐτὸ δρόμο, καὶ νὰ ἐπιστρέφωμε πρὸς τὸν ἀντίπαλο καὶ ἐχθρό μας διάβολο.

110. Ἐκεῖνοι, οἱ ὁποῖοι μετὰ τὸ Ἅγιο Βάπτισμα ὑποκύπτουν στὰ θελήματα τοῦ πονηροῦ καὶ διαπράττουν ὅσα ἐκεῖνος ἔχει θελήσει [νὰ τοὺς ὑποβάλλῃ], ἀποξενώνουν τοὺς ἑαυτούς τους ἀπὸ τὴν ἁγία μήτρα τοῦ Ἁγίου Βαπτίσματος, σύμφωνα μὲ τὸν λόγο τοῦ Δαβίδ. Διότι ὁ καθένας ἀπὸ ἐμᾶς, καθόλου δὲν ἀλλοιώνεται ἢ μεταβάλ-

ἢ τῆς καθ᾽ ὃ ἔκτισται μεθίσταται φύσεως· ἀλλ᾽ ἀγαθὸς κτισθεὶς ὑπὸ τοῦ Θεοῦ (κακὸν γὰρ ὁ Θεὸς οὐκ ἐποίησεν), ἄτρεπτος τῇ φύσει, καθ᾽ ὃ ἔκτισται, καὶ τῇ οὐσίᾳ ὤν, οἷα ἐξ ἑκουσίου γνώμης προαιρεῖται καὶ θέλει, ταῦτα καὶ πράττει, εἴτε ἀγαθά, εἴτε κακά. Ὥσπερ γὰρ τὴν μάχαιραν, κἂν ἐπὶ κακῷ τις αὐτήν, κἂν ἐπὶ καλῷ χρήσηται, τῆς ἰδίας ἐκείνη οὐ μεθίσταται φύσεως, ἀλλὰ μένει σίδηρος ὤν, οὕτω καὶ ὁ ἄνθρωπος· ἐνεργεῖ μὲν καὶ πράττει, ὡς εἴρηται, ἅπερ βούλεται, τῆς δὲ οἰκείας οὐκ ἐξίσταται φύσεως.

ρια΄. Οὐ τὸ ἕνα ἐλεῆσαι σῴζει, ἀλλὰ τὸ ἑνὸς καταφρονῆσαι[50]*, τῷ πυρὶ παραπέμπει. Τὸ γὰρ ἐπείνασα καὶ ἐδίψησα*[51]*, οὐ πρὸς ἅπαξ εἴρηται πάντως, οὐδὲ τό, ἐν μιᾷ ἡμέρᾳ, ἀλλὰ τό, διὰ βίου παντὸς δηλοῖ. Οὐ τὸ τραφῆναι Χριστόν, ποτισθῆναί τε καὶ ἐνδυθῆναι καὶ εἴ τι ἕτερον τούτοις*

λεται ἀπὸ ἐκεῖνο, ἀπὸ τὸ ὁποῖο ἐκτίσθηκε [σύμφωνα] μὲ τὴν φύσι του· ἀλλὰ καθὼς ἐπλάσθηκε ἀγαθὸς ἀπὸ τὸν Θεὸ (διότι ὁ Θεὸς δὲν ἐδημιούργησε κανένα κακό), ἐπειδὴ εἶναι ἀμετάτρεπτος κατὰ τὴν φύσι, κατὰ τὴν ὁποία ἐπλάσθηκε, καὶ κατὰ τὴν οὐσία του, ἐκεῖνα τὰ ὁποῖα μὲ ἑκούσια γνώμη, προαιρεῖται καὶ θέλει, αὐτὰ καὶ πράττει, εἴτε [εἶναι] ἀγαθά, εἴτε κακά. Διότι, ὅπως ἀκριβῶς τὸ μαχαίρι, εἴτε σὲ κακὸ τὸ χρησιμοποιήσῃ κάποιος, εἴτε σὲ καλό, αὐτὸ δὲν μεταβάλλεται κατὰ τὴν φύσι του, ἀλλὰ παραμένει ὅπως εἶναι σίδερο, ἔτσι καὶ ὁ ἄνθρωπος· ἐνεργεῖ μὲν καὶ πράττει, ὅπως ἔχει λεχθῆ, ἐκεῖνα τὰ ὁποῖα θέλει, δὲν ξεφεύγει ὅμως ἀπὸ τὴν φύσι του.

111. Δὲν [μᾶς] σώζει τὸ νὰ ἐλεήσωμε ἕναν, ἀλλὰ τὸ νὰ καταφρονήσωμε ἕναν [καὶ μόνο] μᾶς ὁδηγεῖ στὸ πῦρ [τῆς κολάσεως]. Διότι ὁ λόγος [τοῦ Κυρίου] «ἐπείνασα καὶ ἐδίψασα», δὲν ἔχει λεχθῆ βεβαίως γιὰ μία φορά, ἀλλὰ οὔτε [καὶ] γιὰ μία [μόνο] ἡμέρα, ἀλλὰ φανερώνει [ὅτι πρέπει νὰ γίνεται] σὲ ὅλη τὴν ζωή μας. Οὔτε τὸ νὰ διατρέφωμε, νὰ δίνωμε νερὸ καὶ νὰ ἐνδύωμε τὸν Χριστὸν

συνέπεται, οὐ πρὸς ἅπαξ, ἀλλὰ διὰ παντὸς καὶ ἐν πᾶσιν ὑπὸ τῶν αὐτοῦ δούλων ταῦτα δέχεσθαι ὁ Κύριος ἡμῶν καὶ Θεὸς ὡμολόγησεν.

ριβ'. Ὁ τοῖς ἑκατὸν δοὺς ἐλεημοσύνην, δυνάμενος δὲ καὶ ἑτέροις δοῦναι, ποτίσαι τε καὶ θρέψαι πολλούς, παρακαλοῦντας αὐτὸν καὶ βοῶντας, ἀποπεμψάμενος, ὡς μὴ θρέψας Χριστόν, κριθήσεται παρ' αὐτοῦ. Ἐπειδὴ καὶ ἐν ἐκείνοις πᾶσιν αὐτὸς ἐστίν, ὁ καὶ ἐφ' ἑνὶ ἑκάστῳ τῶν ἐλαχίστων τρεφόμενος παρ' ἡμῶν.

ριγ'. Ὁ πᾶσι μὲν πάντα τά πρὸς χρείαν τοῦ σώματος παρασχὼν σήμερον, αὔριον δὲ δυνάμενος τοῦτο ποιῆσαι, ἀμελήσῃ τινῶν ἀδελφῶν καὶ λιμῷ καὶ δίψει καὶ ψύχει ἐάσῃ διαφθαρῆναι, αὐτὸν ὑπερεῖδεν ἀποθανεῖν καὶ αὐτοῦ κατεφρόνησε τοῦ εἰπόντος· ἐφ' ὅσον ἐποιήσατε ἑνὶ τούτων τῶν ἐλαχίστων, ἐμοὶ ἐποιήσατε[52].

καὶ ὅτι ἄλλο ἕπεται αὐτῶν, [νὰ γίνεται] μόνο μία φορά, ἀλλὰ ὁ Κύριος καὶ Θεός μας, διακήρυξε ὅτι πάντοτε καὶ σὲ κάθε περίπτωσι τὰ δέχεται αὐτὰ ἀπὸ τοὺς δούλους Του.

112. Ἐκεῖνος ποὺ δίνει σὲ ἑκατὸ [ἀνθρώπους] ἐλεημοσύνη, ἐνῷ μπορεῖ νὰ δώσῃ καὶ σὲ ἄλλους, καὶ νὰ ποτίσῃ καὶ νὰ διαθρέψῃ πολλούς, οἱ ὁποῖοι τὸν παρακαλοῦν καὶ τοῦ φωνάζουν, ἀφοῦ τοὺς ἔδιωξε, θὰ κατακριθῇ ἀπὸ τὸν Χριστὸ σὰν νὰ μὴν ἔδωσε τροφὴ σὲ Αὐτόν. Ἐπειδὴ καὶ μέσα σὲ ὅλους ἐκείνους, Αὐτὸς ὑπάρχει, ὁ Ὁποῖος καὶ διατρέφεται ἀπὸ ἐμᾶς, [στὸ πρόσωπο] καθενὸς ἀπὸ τοὺς ἐλαχίστους.

113. Ἐκεῖνος, ὁ ὁποῖος ἔδωσε μὲν σήμερα σὲ ὅλους, ὅλα ὅσα εἶναι ἀναγκαῖα γιὰ τὸ σῶμα, ἀλλὰ αὔριο, ἐνῶ μπορεῖ νὰ τὸ κάνῃ [πάλι] αὐτό, παραμελήσῃ κάποιους ἀδελφοὺς καὶ [τοὺς] ἀφήσῃ νὰ χαθοῦν ἀπὸ πεῖνα καὶ δίψα καὶ κρῦο, [στὴν πραγματικότητα] Αὐτὸν ἄφησε νὰ πεθάνῃ καὶ περιφρόνησε Ἐκεῖνον ποὺ εἶπε: «ἐφ' ὅσον [αὐτὰ] τὰ ἐκάνατε σὲ ἕναν ἀπὸ αὐτοὺς τοὺς ἐλαχίστους, [ἀλήθεια σᾶς λέγω], τὰ ἐκάνατε σὲ μένα».

ριδ΄. Ἐν τούτῳ τὸ ἑκάστου πένητος πρόσωπον ἀναλαβεῖν κατεδέξατο καὶ παντὶ πένητι ἑαυτὸν ἐξωμοίωσεν, ἵνα μηδεὶς τῶν εἰς αὐτὸν πιστευόντων τοῦ ἀδελφοῦ κατεπαίρηται· ἀλλ᾽ ἕκαστος, βλέπων τὸν αὐτοῦ ἀδελφὸν καὶ τὸν πλησίον, ὡς τὸν Θεὸν αὐτοῦ, ἐλάχιστον ἑαυτὸν μᾶλλον τοῦ ἀδελφοῦ, ὡς τοῦ πεποιηκότος αὐτὸν λογίζοιτο καὶ ὡς αὐτὸν ἀποδέχοιτο καὶ τιμᾷ καὶ πάντα κενοῖ τὰ ὑπάρχοντα πρὸς θεραπείαν αὐτοῦ· ὡς ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ἐκένωσε τὸ ἴδιον αἷμα, διὰ τὴν ἡμῶν σωτηρίαν.

ριε΄. Ὁ τὸν πλησίον ἔχειν ὡς ἑαυτὸν[53] κελευσθείς, οὐ μίαν πάντως ἡμέραν, ἀλλὰ διὰ βίου παντὸς τοῦτον ἔχειν οὕτως ὀφείλει. Καὶ ὁ παντὶ τῷ αἰτοῦντι διδόναι[54] προστατττόμενος, τοῦτο ποιεῖν προστάττεται ἐν πάσῃ τῇ ζωῇ αὐτοῦ. Καὶ ὁ θέλων ἵνα ποιῶσιν εἰς αὐτὸν ἄλλοι ἃ βούλεται ἀγα-

114. Γι᾽ αὐτὸ καταδέχθηκε [ὁ Χριστὸς] νὰ πάρῃ τὴν μορφὴ τοῦ κάθε πτωχοῦ, καὶ ἐξωμοίωσε τὸν Ἑαυτό Του μὲ τὸν κάθε πτωχό, ὥστε κανεὶς ἀπὸ ὅσους πιστεύουν εἰς Αὐτόν, νὰ μὴν ὑπερηφανεύεται κατὰ τοῦ ἀδελφοῦ του. Ἀλλὰ κάθε ἕνας βλέποντας τὸν ἀδελφό του καὶ τὸν πλησίον του σὰν τὸν Θεό του, ἂς λογαριάζῃ τὸν ἑαυτό του ἐλάχιστο μπροστὰ σ᾽ αὐτόν, [θεωρώντας αὐτὸν] σὰν τὸν Δημιουργό του, καὶ νὰ τὸν δέχεται ὅπως Αὐτόν, καὶ νὰ τὸν τιμᾷ καὶ νὰ προσφέρῃ ὅλα τὰ ὑπάρχοντά του γιὰ τὴν περιποίησί του· ὅπως ὁ Χριστὸς καὶ Θεός μας ἔχυσε τὸ Αἷμα Του γιὰ τὴν σωτηρία μας.

115. Ἐκεῖνος, ὁ ὁποῖος διετάχθη «νὰ ἔχῃ τὸν πλησίον του ὅπως τὸν ἑαυτό του», ὀφείλει ὁπωσδήποτε ὄχι γιὰ μία ἡμέρα, ἀλλὰ γιὰ ὅλη του τὴν ζωὴ νὰ τὸν ἔχῃ ἔτσι. Καὶ αὐτὸς ποὺ προστάζεται «νὰ δίνῃ σὲ ἐκεῖνον ποὺ τοῦ ζητᾶ», παίρνει αὐτὴ τὴν προσταγὴ γιὰ νὰ τὴν ἐκτελῇ σὲ ὅλη του τὴν ζωή. «Καὶ ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ τοῦ κάνουν οἱ ἄλλοι ὅσα καλὰ ἐπιθυμεῖ», τὰ ἴδια

θά[55]*, ταῦτα καὶ αὐτὸς ποιεῖν ἄλλοις ἀπαιτηθήσεται.*

ρις΄. Ὥσπερ οὖν ὁ ἔχων τὸν πλησίον ὡς ἑαυτόν[56]*, οὐδὲν ἔχειν πλέον τοῦ πλησίον ἀνέχεται· ἐὰν δὲ ἔχῃ καὶ μὴ μεταδίδωσιν ἀφθόνως, ἕως ἂν καὶ αὐτὸς πτωχὸς γένηται καὶ τοῖς πλησίον αὐτοῦ ἐξομοιωθῇ, τῆς ἐντολῆς τοῦ Δεσπότου ἐκπληρωτὴς οὐχ εὑρίσκεται· οὐδὲ ὁ τοῖς αἰτοῦσι πᾶσι διδόναι θέλων, ἐὰν μέχρις ὀβολοῦ ἢ κλάσματος ἄρτου κεκτημένος, ἀποστρέψῃ τινὰ τῶν αἰτούντων αὐτόν· οὐδὲ ὁ μὴ ποιῶν τὸν πλησίον ὅσα θέλει ἵνα ἕτερος ποιήσῃ πρὸς αὐτόν*[57]*· οὕτω καὶ ὁ πάντα μὲν πένητα καὶ ἐλάχιστον θρέψας, ποτίσας, ἐνδύσας, καὶ τὰ ἄλλα πάντα εἰς αὐτὸν ἐργασάμενος, ἑνὸς δὲ μόνον καταφρονήσας καὶ αὐτὸν παριδών, ὡς Χριστὸν τὸν Θεὸν παριδὼν πεινῶντα καὶ διψῶντα καὶ αὐτὸς λογισθήσεται*[58]*.*

θὰ ἀπαιτηθοῦν ἀπὸ αὐτὸν νὰ κάνῃ καὶ στοὺς ἄλλους.

116. Ὅπως ἀκριβῶς λοιπὸν ἐκεῖνος, ποὺ ἔχει «τὸν πλησίον του ὅπως τὸν ἑαυτό του», δὲν ἀνέχεται νὰ ἔχῃ τίποτε περισσότερο ἀπὸ τὸν πλησίον του· ἐὰν ὅμως ἔχῃ καὶ δὲν τὸ μεταδίδῃ ἄφθονα, ἕως ὅτου καὶ αὐτὸς νὰ γίνῃ πτωχὸς καὶ ἐξομοιωθῇ μὲ τὸν πλησίον του, δὲν εἶναι ἐκπληρωτὴς τῆς ἐντολῆς τοῦ Δεσπότου· οὔτε καὶ ἐκεῖνος, ὁ ὁποῖος θέλει νὰ δίνῃ σὲ ὅσους τοῦ ζητοῦν [ἐκπληρώνει τὴν ἐντολή], ἐάν, ἐνῶ ἔχει κρατήσει δικό του, ἀκόμη καὶ ἕνα μικρὸ νόμισμα ἢ ἕνα κομμάτι ψωμί, ἀποδιώξῃ κάποιον, ἀπὸ αὐτοὺς ποὺ τοῦ ζητοῦν· οὔτε καὶ ἐκεῖνος, ποὺ δὲν κάνει στὸν πλησίον του, ὅσα θέλει καὶ «ὁ ἄλλος νὰ κάνῃ πρὸς αὐτόν»· ἔτσι καὶ ἐκεῖνος, ὁ ὁποῖος τὸν κάθε πτωχὸ διέθρεψε, πότισε, ἔντυσε καὶ ἔκανε ὅλα τὰ ἄλλα γι᾽ αὐτόν, ἀλλὰ περιφρόνησε καὶ παρέβλεψε [καὶ] ἕναν μόνον ἀπὸ αὐτούς, θὰ τοῦ καταλογισθῇ ὅτι παρέβλεψε τὸν Χριστὸ καὶ Θεό, ὅταν πεινοῦσε καὶ διψοῦσε.

ρις΄. Φορτικὰ ταῦτα τοῖς πᾶσιν ἴσως φανήσεται. Διὸ καὶ δόξουσιν εὐλόγως λέγειν ἐν ἑαυτοῖς· τίς ἄρα ταῦτα πάντα ποιῆσαι δύναται, ὥστε πάντας θεραπεῦσαι καὶ θρέψαι καὶ μηδόλως τούτων τινὰ παριδεῖν; Ἀλλ᾽ ἀκούσωσι Παύλου διαῤῥήδην βοῶντος· ἡ γὰρ ἀγάπη τοῦ Χριστοῦ συνέχει ἡμᾶς, κρίναντας τοῦτο, ὅτι εἰ εἷς ὑπὲρ πάντων ἀπέθανεν, ἄρα οἱ πάντες ἀπέθανον[59].

ριη΄. Καθάπερ αἱ περιεκτικαὶ ἐντολαὶ συμπεριέχουσι πάσας ἐν ἑαυταῖς τὰς μερικὰς ἐντολάς, οὕτω καὶ αἱ περιεκτικαὶ ἀρεταὶ τὰς μερικὰς ἐν ἑαυταῖς συμπεριλαμβάνουσιν ἀρετάς. Ὁ γὰρ πωλήσας τὰ ὑπάρχοντα αὐτοῦ καὶ διασκορπίσας αὐτὰ τοῖς πτωχοῖς καὶ πένης ἐφάπαξ γενόμενος, πάντα ὑφ᾽ ἓν τὰ τῶν μερικῶν ἐντολῶν ἐξεπλήρωσεν· οὐκ ἔτι γὰρ χρείαν ἔχει τῷ αἰτοῦντι διδόναι, ἢ μὴ ἀποστραφῆναι τὸν θέλοντα δανείσασθαι ἀπ᾽ αὐ-

117. Ἴσως αὐτὰ νὰ φανοῦν σὲ ὅλους βαρειά. Γι᾽ αὐτὸ καὶ θὰ θεωρήσουν εὔλογο νὰ λέγουν στὸν ἑαυτό τους: ποιὸς ἄραγε μπορεῖ νὰ κάνῃ ὅλα αὐτά, ὥστε ὅλους νὰ περιποιηθῇ καὶ νὰ θρέψῃ καὶ νὰ μὴ παραβλέψῃ καθόλου κάποιον ἀπὸ αὐτούς; Ἀλλά, ἂς ἀκούσουν τὸν Παῦλο ποὺ κατηγορηματικὰ φωνάζει· «ἡ ἀγάπη τοῦ Χριστοῦ μᾶς κρατεῖ σφικτὰ ἑνωμένους, ἐφ᾽ ὅσον σχηματίσαμε τὴν πεποίθησι, ὅτι ἐὰν ἕνας [ὁ Χριστὸς] ἀπέθανε γιὰ χάρι ὅλων, ἄρα ὅλοι ἀπέθαναν [στὸ πρόσωπό Του]».

118. Ὅπως οἱ περιεκτικὲς ἐντολὲς συμπεριλαμβάνουν σ᾽ αὐτὲς καὶ ὅλες τὶς ἐπὶ μέρους ἐντολές, ἔτσι καὶ οἱ περιεκτικὲς ἀρετὲς συμπεριλαμβάνουν σὲ αὐτὲς καὶ τὶς μερικὲς ἀρετές. Διότι ἐκεῖνος, ὁ ὁποῖος πούλησε τὰ ὑπάρχοντά του καὶ τὰ διαμοίρασε στοὺς πτωχοὺς καὶ ἔγινε διὰ μιᾶς πτωχός, ἐκπλήρωσε μὲ μία [του πρᾶξι] ὅσα [προστάζουν] οἱ μερικὲς ἐντολές· ἐπειδὴ δὲν ἔχει πλέον ἀνάγκη νὰ δίνῃ σ᾽ αὐτὸν ποὺ τοῦ ζητᾶ, ἢ νὰ μὴν ἀποστραφῇ αὐτὸν ποὺ θέλει «νὰ

τοῦ[60]*. Οὕτω καὶ ὁ ἀδιαλείπτως εὐχόμενος*[61]*, ἐν τούτῳ πάντα συνέκλεισε· καὶ οὐκ ἔτι ἑπτάκις αἰνεῖν τῆς ἡμέρας τὸν Κύριον*[62]*, ἢ ἑσπέρας καὶ πρωῒ καὶ μεσημβρίας*[63] *ὑπ᾽ ἀνάγκην ἐστίν, ὡς ἤδη πάντα πεπληρωκώς, ὅσα ἂν κανονικῶς καὶ ἐν ἀφωρισμένοις καιροῖς καὶ ὥραις εὐχόμεθά τε καὶ ψάλλομεν. Οὕτω καὶ ὁ τὸν διδόντα γνῶσιν ἀνθρώποις Θεὸν ἐν ἑαυτῷ γνωστῶς κτησάμενος, πᾶσαν ἁγίαν διῆλθε Γραφὴν καὶ πᾶσαν τὴν ἐκ τῆς ἀναγνώσεως ὠφέλειαν ἐκαρπώσατο· καὶ οὐκ ἔτι βιβλίων ἀναγνώσεως δεηθήσεται· πῶς γάρ; ὁ τὸν ἐμπνεύσαντα τοῖς τὰς θείας Γραφὰς γεγραφόσι συνόμιλον κεκτημένος καὶ παρ᾽ ἐκείνου μυούμενος τὰ τῶν ἀποκεκρυμμένων μυστηρίων ἀπόρρητα; Ἀλλὰ βίβλος οὗτος τοῖς ἄλλοις θεόπνευστος ἔσται, καινά τε καὶ παλαιὰ μυστήρια φέρουσα γεγραμμένα δακτύλῳ Θεοῦ*[64] *ἐν αὐτῷ, ὡς*

δανεισθῇ ἀπὸ αὐτόν». Ἔτσι καὶ αὐτὸς ποὺ προσεύχεται ἀδιάλειπτα, μέσα σ᾽ αὐτὸ τὰ ἔχει ὅλα συμπεριλάβει· καὶ δὲν εἶναι ὑποχρεωμένος πλέον «νὰ αἰνῇ τὸν Κύριον ἑπτὰ φορὲς τὴν ἡμέρα» ἢ «τὸ ἑσπέρας, τὸ πρωῒ καὶ τὸ μεσημέρι», διότι ἔχει ἤδη ἐκπληρώσει ὅσα [θὰ ἔπρεπε] κανονικὰ καὶ στὸν καθορισμένο χρόνο καὶ ὥρα νὰ προσευχώμασθε καὶ νὰ ψάλλωμε. Ἔτσι καὶ ἐκεῖνος, ποὺ ἀπέκτησε μέσα του συνειδητὰ τὸν Θεό, ὁ Ὁποῖος δίνει τὴν γνῶσι στοὺς ἀνθρώπους, διεξῆλθε ὅλη τὴν Ἁγία Γραφὴ καὶ καρπώθηκε ὅλη τὴν ὠφέλεια ἀπὸ τὴν ἀνάγνωσί Της, καὶ δὲν ἔχει ἀνάγκη πλέον ἀπὸ τὴν ἀνάγνωσι βιβλίων· διότι πῶς [νὰ ἔχῃ αὐτὴ τὴν ἀνάγκη] ἐκεῖνος, ποὺ ἔχει ἀποκτήσει ἀχώριστο σύντροφο Αὐτόν, ὁ Ὁποῖος ἔδωσε τὴν ἔμπνευσι στοὺς συγγραφεῖς τῶν θείων Γραφῶν καὶ μυεῖται ἀπὸ Ἐκεῖνον στὰ ἀπόκρυφα καὶ ἀπόρρητα μυστήρια; Ἀλλὰ αὐτός, θὰ εἶναι [πλέον] ὁ ἴδιος βιβλίο θεόπνευστο γιὰ τοὺς ἄλλους, ποὺ θὰ περιέχῃ μέσα του, γραμμένα μὲ τὸ δάκτυλο τοῦ Θεοῦ, καινὰ καὶ παλαιὰ μυστήρια, ἀφοῦ ἐκπλη-

πάντα τελέσας καὶ καταπαύσας ἐν Θεῷ, τῇ ἀρχικῇ τελειότητι, ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ.

ριθ΄. Ἡ καθ᾽ ὕπνους ῥεῦσις ἐκ πολλῶν ὑποθέσεων εἴωθε γίνεσθαι· ἐκ γαστριμαργίας, ἐκ κενοδοξίας καὶ ἐκ φθόνου τῶν δαιμόνων. Γίνεται δὲ ἐκ πολλῆς ἀγρυπνίας, εἰς ὕπνον χαυνουμένου τοῦ σώματος, καὶ ἀπὸ δέους τοῦ μὴ τοῦτο παθεῖν. Ἢ διὰ τὴν θείαν λειτουργίαν, Ἱερέως τινὸς ὄντος, ἢ καὶ διὰ τὴν κοινωνίαν, καὶ τοῖς λογισμοῖς συνδυάζων τούτοις τῆς δειλίας ἐν τῇ κλίνῃ, τοῦ μήπως παθεῖν, κοιμηθεὶς τοῦτο πέπονθεν. Ὃ καὶ αὐτὸ φθόνου δαιμόνων ὑπάρχει. Καὶ ἄλλως δέ· ἑωρακώς τις εὔοπτον πρόσωπον ἐν τῇ ἡμέρᾳ, εἶτα ἀνιστορῶν τοῦτο κατὰ διάνοιαν, συνυπνώσει τοῖς πορνικοῖς λογισμοῖς διὰ χαυνότητα μὴ ἀπωσάμενος αὐτούς, πίπτει καθ᾽ ὕπνους, ἴσως καὶ ἐγρηγο-

ρωσε τὰ πάντα καὶ κατέπαυσε ἀπὸ ὅλα τὰ ἔργα του στὸν Θεό, στὴν πρωταρχικὴ Τελειότητα.

119. Ἡ ρεῦσι ποὺ συμβαίνει τὴν ὥρα τοῦ ὕπνου, συνήθως γίνεται ἀπὸ πολλὲς ἀφορμές· ἀπὸ τὴν γαστριμαργία, ἀπὸ τὴν κενοδοξία καὶ ἀπὸ τὸν φθόνο τῶν δαιμόνων. Γίνεται ἐπίσης [καὶ] ἀπὸ τὴν πολλὴ ἀγρυπνία, ὅταν ἀποχαυνώνεται [γιατὶ κυριεύεται] ἀπὸ τὸν ὕπνο τὸ σῶμα, καὶ ἀπὸ τὸ φόβο μήπως τὸ πάθῃ αὐτό. Ἢ ἐξ αἰτίας τῆς θείας Λειτουργίας [τὴν νύκτα τῆς παραμονῆς], ὅταν κάποιος εἶναι ἱερεύς, ἢ καὶ [τὴν παραμονὴ] τῆς [θείας] Κοινωνίας, κάνοντας κάποιους συνδυασμούς[στ΄] μὲ τοὺς λογισμοὺς τῆς δειλίας στὸ κρεββάτι του, μήπως πάθῃ αὐτό, [καὶ γι᾽ αὐτὸ] ἀφοῦ κοιμήθηκε τὸ ἔπαθε· τὸ ὁποῖο καὶ αὐτὸ [εἶναι ἀποτέλεσμα] τοῦ φθόνου τῶν δαιμόνων. Καὶ γιὰ [ἕνα] ἄλλο ἀκόμη [λόγο]· [ἐὰν] ἔχοντας κάποιος ἰδῇ ἕνα ὄμορφο πρόσωπο κατὰ [τὴν διάρκεια] τῆς ἡμέρας, [καὶ] ἐξετάζοντάς το κατόπιν μὲ τὴ διάνοιά του, κοιμηθῇ μὲ πορνικοὺς λογισμούς, τοὺς ὁποίους ἀπὸ χαυνότητα δὲν ἔδιωξε, παθαίνει [αὐτὴ] τὴν πτῶσι στὸν ὕπνο του, ἴσως καὶ ξύπνιος ξαπλω-

ρῶς κείμενος ἐν τῇ κοίτῃ. Καὶ ἄλλως δέ· εἰσὶ τινὲς ῥάθυμοι κατ᾽ ἐμέ, καθεζόμενοι καὶ περὶ ἐμπαθῶν ὁμιλοῦντες πραγμάτων, ἢ καὶ ἐμπαθῶς, ἢ καὶ οὔ· εἶτα ἐν τῇ κοίτῃ ἐρχόμενοι καὶ ταῦτα κατὰ νοῦν ἀναστρέφοντες καὶ τῇ τούτων συνδυάσει ἐναποκοιμώμενοι, καθ᾽ ὕπνους ὑφίστανται. Ἴσως δὲ καὶ κατ᾽ αὐτὴν τὴν ὁμιλίαν, τοῦ θατέρου ἀνθρώπου θάτερος τὴν βλάβην ἐδέξατο. Διὰ τοῦτο προσέχειν δεῖ ἑαυτοὺς πάντοτε καὶ τὸ τοῦ Προφήτου μελετᾶν· προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός, ὅτι ἐκ δεξιῶν μου ἐστίν, ἵνα μὴ σαλευθῶ[65]· καὶ τὰς ἀκοὰς ἀποφράττειν τοῖς τοιούτοις λόγοις. Πολλάκις καὶ τῆς εὐχῆς τινες ἀπασχολήσαντες, εἰς κινήσεις σαρκικὰς συνωθήσθησαν· καθὸ καὶ ἐν τῷ τῆς εὐχῆς κεφαλαίῳ ἐδηλώσαμεν.

ρκ΄. Ἀδελφέ, ἐν τῇ ἀρχῇ τῆς ἀποταγῆς σπούδασον

μένος στὸ κρεββάτι του. Ἀλλὰ καὶ διαφορετικά: ὑπάρχουν μερικοὶ ῥάθυμοι, κατὰ τὴν γνώμη μου, οἱ ὁποῖοι κάθονται καὶ συζητοῦν περὶ ἐμπαθῶν πραγμάτων, εἴτε μὲ ἐμπάθεια, εἴτε καὶ ὄχι· κατόπιν, ἀφοῦ ἔρχωνται στὸ κρεββάτι τους καὶ στριφογυρίζουν αὐτὰ στὸ νοῦ τους καὶ ἀποκοιμοῦνται κάνοντας συνδυασμοὺς μ᾽ αὐτά, ὑφίστανται [τὴν πτῶσι αὐτὴ] στὸν ὕπνο τους. Ἴσως ἀκόμη καὶ κατὰ τὴν [ὥρα] τῆς συνομιλίας τους, ὁ ἕνας δέχεται τὴν βλάβη [ἐξ αἰτίας] τοῦ ἄλλου ἀνθρώπου. Γιὰ αὐτὸ πρέπει πάντοτε νὰ προσέχωμε τοὺς ἑαυτούς μας καὶ νὰ μελετοῦμε [τὸν λόγο] τοῦ Προφήτου [Δαβίδ]: «Βλέπω ἐμπρός μου πάντοτε τὸν Κύριο, ὅτι εἶναι στὰ δεξιά μου γιὰ νὰ μὴν κλονισθῶ», καὶ νὰ κλείνωμε τὰ αὐτιά μας σὲ τέτοιους λόγους. Πολλὲς φορὲς καὶ ὅταν κάποιοι ἀποσπάστηκαν ἀπὸ τὴν εὐχή, ὠθήθηκαν σὲ σαρκικὲς κινήσεις, καθὼς τὸ ἐκθέσαμε στὸ κεφάλαιο περὶ προσευχῆς.

120. Ἀδελφέ, φρόντισε ἀπὸ τὴν ἀρχὴ τῆς ἀποταγῆς σου, νὰ φυτεύσῃς μέσα σου κα-

καλὰς ἀρετὰς ἐν σεαυτῷ φυτεῦσαι, ὅπως καὶ τῷ κοινῷ γένῃ χρήσιμος καὶ σὲ μεγαλύνῃ ἐπ᾽ ἐσχάτων ὁ Κύριος. Μὴ κτήσῃ παῤῥησίαν μετὰ Ἡγουμένου ποτέ, καθὰ καὶ ἄλλοτε εἴπομεν, μηδὲ ζήτει παρ᾽ αὐτοῦ τιμήν. Μὴ κτήσῃ φιλίαν μετὰ τῶν προεχόντων, μηδὲ τὰς αὐτῶν κέλλας κύκλευε· γινώσκων ὡς ἐν τούτῳ, οὐ μόνον τὸ τῆς κενοδοξίας πάθος ῥιζοῦν ἄρχεται ἐν σοί, ἀλλὰ καὶ μισητὸς παρὰ τοῦ προεστῶτος γενήσῃ· τὸ δὲ πῶς, ὁ νοῶν νοείτω. Καθέζου δὲ ἐν τῷ κελλίῳ σου, οἷον δ᾽ ἂν ἐστιν, ἐν εἰρήνῃ. Καὶ τῷ θέλοντί σοι συντυχεῖν μὴ ἀποστραφῇς, ἕνεκεν εὐλαβείας· ἀλλὰ γνώμῃ πατρικῇ τούτῳ συντυχών, οὐ βλαβήσῃ, εἰ καὶ ἐκ τῶν ἐναντίων ἐστίν. Εἰ δὲ οὐχ ὁρᾷς συμφέρον τοῦτο, τῷ σκοπῷ τοῦ ὠφελουμένου δεῖ ἐξακολουθεῖν.

ρκα΄. Δεῖ δὲ διὰ παντὸς τὸν τοῦ Θεοῦ φόβον ἔχειν καὶ καθ᾽ ἑκάστην ἑαυτὸν ἀνακρίνειν, τί μὲν ἀγαθόν, τί

λὲς ἀρετές, γιὰ νὰ γίνῃς καὶ στὸ κοινόβιο χρήσιμος, καὶ νὰ σὲ ἀνυψώσῃ στὰ τέλη [σου] ὁ Κύριος. Μὴν ἀποκτήσῃς ποτὲ θάρρος μὲ τὸν Ἡγούμενο, ὅπως καὶ ἄλλοτε εἴπαμε, μήτε νὰ ζητᾷς ἀπὸ αὐτὸν τιμές. Μὴν ἀποκτήσῃς φιλία μὲ τοὺς προϊσταμένους, οὔτε νὰ τριγυρίζῃς στὰ κελλιά τους, γνωρίζοντας ὅτι μ᾽ αὐτὸν [τὸν τρόπο], ὄχι μόνο ἀρχίζει νὰ ριζώνῃ μέσα σου τὸ πάθος τῆς κενοδοξίας, ἀλλὰ καὶ μισητὸς θὰ γίνῃς στὸν Προεστῶτα· τὸ δὲ πῶς [θὰ γίνῃ αὐτό], ὁ νοῶν νοείτω. Νὰ κάθεσαι δὲ μέσα στὸ κελλί σου, ὅποιο καὶ ἂν εἶναι αὐτό, μὲ εἰρήνη [στοὺς λογισμούς σου]. Καὶ αὐτὸν ποὺ θέλει νὰ συνομιλήσῃ μαζί σου, μὴ τὸν ἀποφύγῃς, [δῆθεν] ἀπὸ εὐλάβεια· ἀλλά, μιλώντας μαζί του μὲ διάθεσι πατρική, δὲν θὰ ὑποστῇς βλάβη, ἀκόμη καὶ ἂν εἶναι ἀπὸ αὐτοὺς ποὺ σοῦ ἐναντιώνονται. Ἐὰν δὲ [καὶ] δὲν τὸ θεωρῇς αὐτὸ συμφέρον, πρέπει [ὅμως] νὰ ὑπακούῃς στὸν σκοπὸ ἐκείνου ποὺ ὠφελεῖται.

121. Πρέπει πάντοτε νὰ ἔχῃς τὸν φόβο τοῦ Θεοῦ, καὶ κάθε μέρα νὰ ἐξετάζῃς τὸν ἑαυτό σου, τί μὲν καλό, ἀλλὰ [καὶ]

δὲ τῶν φαύλων πέπρακταί σοι. Καὶ τῶν μὲν ἀγαθῶν λήθην ποιεῖσθαι, μήπως τῷ τῆς κενοδοξίας πάθει περιπέσῃς. Ἐπὶ δὲ τοῖς ἐναντίοις, δάκρυσι κεχρῆσθαι μετ᾽ ἐξομολογήσεως καὶ προσευχῆς συντόνου. Ἔστω δὲ ἡ ἀνάκρισις οὕτω· τελεσθείσης τῆς ἡμέρας καὶ τῆς ἑσπέρας καταλαβούσης, ἐν ἑαυτῷ διαλογίζεσθαι· ἄραγε πῶς, τῇ βοηθείᾳ τοῦ Θεοῦ, τὴν ἡμέραν παρῆλθον; μὴ τινὰ κατέκρινα, ἢ ἐλοιδόρησα, ἢ ἐσκανδάλισα, ἢ εἴς τινος ὄψιν ἐμπαθῶς προσέβλεψα, ἢ τοῦ ἐπιστατοῦντος ἐν τῇ διακονίᾳ παρήκουσα καὶ αὐτῆς ἠμέλησα, ἢ ὠργίσθην τινί, ἢ ἐν τῇ συνάξει ἑστῶτός μου, τὸν νοῦν εἰς ἀνωφελῆ ἀπησχόλησα, ἢ ῥαθυμίᾳ βαρυνθείς, τῆς Ἐκκλησίας καὶ τοῦ κανόνος ἀπέστην; Ὅταν δὲ ἐν τούτοις πᾶσι σεαυτὸν ἀνεύθυνον εὕρῃς, (ὅπερ ἀδύνατον, οὐδεὶς γὰρ καθαρὸς ἀπὸ ῥύπου οὐδ᾽ ἂν μία ἡμέρα τῆς ζωῆς αὐτοῦ[66] *καὶ οὐ-*

τί ἀπὸ τὰ κακὰ ἔχει διαπραχθῆ ἀπὸ σένα. Καὶ τὰ μὲν καλὰ νὰ τὰ παραδίδῃς στὴν λήθη, μήπως πέσῃς στὸ πάθος τῆς κενοδοξίας. Γιὰ τὰ ἀντίθετα ὅμως [δηλαδὴ τὰ κακά], νὰ χύνῃς δάκρυα μὲ ἐξομολόγησι καὶ ἐντατικὴ προσευχή. Καὶ ἡ ἐξέτασι αὐτὴ νὰ γίνεται μὲ τὸν τρόπο αὐτό[ζ']· ἀφοῦ τελειώσῃ ἡ ἡμέρα καὶ φθάσῃ τὸ βράδυ, νὰ συλλογίζεσαι· ἄραγε πῶς, μὲ τὴν βοήθεια τοῦ Θεοῦ, ἐπέρασα τὴν ἡμέρα; Μήπως κάποιον κατέκρινα, ἢ περιέπαιξα ἢ ἐσκανδάλισα ἢ μήπως κοίταξα τὸ πρόσωπο κάποιου μὲ ἐμπάθεια, ἢ ἔκανα παρακοὴ στὸν ἐπιστάτη τοῦ διακονήματός μου καὶ τὸ ἐκτέλεσα μὲ ἀμέλεια, ἢ ὠργίσθηκα μὲ κάποιον, ἢ ἐνῶ στεκόμουν στὴν ἀκολουθία ἀπασχόλησα τὸν νοῦ μου μὲ ἀνώφελα [πράγματα], ἢ ἐπειδὴ μὲ κατέβαλε ἡ ῥαθυμία, ἔφυγα ἀπὸ τὴν Ἐκκλησία καὶ ἄφησα τὸν κανόνα μου; Ὅταν δὲ σὲ ὅλα αὐτὰ εὕρῃς ἀνεύθυνο τὸν ἑαυτό σου, (τὸ ὁποῖον εἶναι ἀδύνατο, διότι «κανένας δὲν εἶναι καθαρὸς ἀπὸ τὸν ῥύπο [τῆς ἁμαρτίας], οὔτε κἂν μία ἡμέρα τῆς ζωῆς του», καὶ κανένας δὲν μπορεῖ

δεὶς καυχήσεται ἁγνὴν ἔχειν τὴν καρδίαν[67]), τότε πρὸς τὸν Θεὸν μετὰ πολλῶν δακρύων βόησον· Κύριε, συγχώρησόν μοι, ὅσα ἐν ἔργῳ τε καὶ λόγῳ καὶ γνώσει καὶ ἀγνοίᾳ ἥμαρτον· πολλὰ γὰρ πταίομεν[68] καὶ οὐ γινώσκομεν.

ρκβʹ. Δεῖ δὲ καθ᾽ ἑκάστην ἐξαγορεύειν πάντα λογισμὸν πρὸς τὸν πνευματικὸν πατέρα· καὶ τὸ παρ᾽ αὐτοῦ σοι λεγόμενον, ὡς ἐκ θείου στόματος δέχεσθαι ἐν πάσῃ πληροφορίᾳ· καὶ μὴ πρὸς ἕτερόν τινα ταῦτα προφέρειν· ὡς ὅτι τὸ καὶ τὸ ἐρωτήσαντός μου τὸν πατέρα, τόδε μοι ἀπεφθέγξατο καὶ εἰ ἄρα καλῶς ἀπεφήνατο ἢ οὔ· καὶ τί ἄρα ὀφείλω πρᾶξαι πρὸς θεραπείαν· ταῦτα γὰρ τὰ ῥήματα ἀπιστίας μεστὰ πρὸς τὸν πατέρα καὶ ψυχοβλαβῆ· ὡς ἐπὶ τὸ πλεῖστον δὲ συμβαίνειν εἴωθε τοῖς ἀρχαρίοις.

ρκγʹ. Δεῖ δὲ πάντας τοὺς ἐν κοινοβίῳ ὡς ἁγίους βλέπειν καὶ μόνον ἑαυτὸν

νὰ καυχηθῇ ὅτι ἔχει «ἁγνὴ τὴν καρδία»), τότε μὲ πολλὰ δάκρυα κραύγασε πρὸς τὸν Θεό: «Κύριε συγχώρεσέ με γιὰ ὅσα μὲ ἔργο καὶ μὲ λόγο, μὲ γνῶσι καὶ μὲ ἄγνοια ἁμάρτησα· ἐπειδὴ γιὰ πολλὰ [σφάλματα] εἴμαστε ὑπαίτιοι» καὶ δὲν τὸ γνωρίζομε.

122. Πρέπει δὲ κάθε μέρα νὰ ἐξαγορεύεσαι τὸν κάθε λογισμό σου πρὸς τὸν πνευματικό σου πατέρα· καὶ αὐτό, ποὺ λέγεται σὲ σένα ἀπὸ αὐτόν, νὰ τὸ ἀποδέχεσαι σὰν ἀπὸ τὸ στόμα τοῦ Θεοῦ μὲ πλήρη βεβαιότητα. Καὶ μὴ τὰ ἀναφέρῃς αὐτὰ σὲ κάποιον ἄλλον· δηλαδή, «ὅτι ὅταν ἐρώτησα τὸν [πνευματικό μου] πατέρα αὐτὸ κι αὐτό, μοῦ εἶπε τοῦτο καὶ ἐὰν μοῦ ἀποκρίθηκε καλὰ ἢ ὄχι· καὶ τί ἄραγε [νομίζεις] ὅτι πρέπει νὰ κάνω γιὰ τὴν διόρθωσί μου». Αὐτὰ τὰ λόγια εἶναι πράγματι γεμάτα ἀπὸ ἀπιστία πρὸς τὸν [πνευματικὸ] πατέρα καὶ προκαλοῦν ψυχικὴ βλάβη· [αὐτὸ] δέ, ὡς ἐπὶ τὸ πλεῖστον, συμβαίνει συνήθως στοὺς ἀρχαρίους.

123. Ὀφείλεις δὲ ἐσύ, ὅλους τοὺς ἀδελφοὺς τοῦ κοινοβίου νὰ τοὺς βλέπῃς ὡς ἁγίους, καὶ μόνον τὸν ἑαυτό σου νὰ

ἁμαρτωλὸν καὶ ἔσχατον ἐννοούμενον· ὅτι πάντων σῳζομένων, αὐτὸς μόνος κολασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. Καὶ ἐν τῇ συνάξει δὲ ἱστάμενος ταῦτα ἐννοῶν, μὴ παύσῃ ἐν κατανύξει κλαίειν θερμῶς· μὴ ποιούμενος λόγον τῶν εἰς τοῦτο σκανδαλιζομένων ἢ καὶ σκωπτόντων. Εἰ δὲ ὁρᾷς σεαυτὸν ἐκ τούτου εἰς κενοδοξίαν ὀλισθαίνοντα, ἐξερχόμενος τῆς Ἐκκλησίας ἐν κρυπτῷ τοῦτο ποίει, αὖθις ταχέως πρὸς τὸν ἴδιον τόπον ἀποκαθιστάμενος. Τοῦτο γὰρ πρὸς τοὺς ἀρχαρίους μάλα ἐστὶ καλόν· μᾶλλον ἐν τῷ ἑξαψάλμῳ καὶ τῇ στιχολογίᾳ καὶ τῇ ἀναγνώσει καὶ τῇ θείᾳ λειτουργίᾳ. Πρόσεχε δὲ τοῦ μὴ κατακρῖναι τινά· ἀλλὰ τοῦτο θοῦ ἐν νῷ, ὅτι ὅσοι βλέπουσί με οὕτως ὀλοφυρόμενον, ἐννοοῦντες πολυαμάρτητον εἶναί με, ὑπερεύχονται τῆς ἐμῆς σωτηρίας. Καὶ πάντως τοῦτο ἀεὶ ἐννοούμενος καὶ ἀδι-

θεωρῆς ἁμαρτωλὸ καὶ τελευταῖο [ἀπὸ ὅλους], [καὶ] ὅτι, ἐνῶ ὅλοι σώζονται, ἐσὺ μόνος θὰ κολασθῆς ἐκείνη τὴν ἡμέρα. Καὶ ὅταν στέκεσαι στὴν σύναξι [τῆς ἀκολουθίας], διαλογιζόμενος αὐτά, μὴν παύσῃς νὰ κλαῖς θερμὰ μὲ κατάνυξι, χωρὶς νὰ ἐνδιαφέρεσαι γιὰ αὐτούς, ποὺ σκανδαλίζονται μ᾽ αὐτὸ ἢ καὶ σὲ περιγελοῦν. Ἐὰν ὅμως βλέπῃς τὸν ἑαυτό σου νὰ διολισθαίνῃ ἀπὸ αὐτὸ πρὸς τὴν κενοδοξία, ἀφοῦ ἔλθῃς ἔξω ἀπὸ τὴν Ἐκκλησία, κάνε αὐτό, [κλᾶψε δηλαδὴ] στὰ κρυφά· [καὶ] πάλι γρήγορα νὰ ἐπιστρέψῃς στὴν θέσι σου. Αὐτὸ πράγματι γιὰ τοὺς ἀρχαρίους εἶναι πολὺ καλό· περισσότερο [νὰ γίνεται] στὸν Ἑξάψαλμο καὶ στὴν στιχολογία [τοῦ Ψαλτηρίου] καὶ στὴν ἀνάγνωσι καὶ στὴν Θεία Λειτουργία. Πρόσεχε ἀκόμη νὰ μὴν κατακρίνῃς κανένα· ἀλλὰ αὐτὸ βάλε στὸ νοῦ σου, ὅτι «ὅσοι μὲ βλέπουν ἔτσι νὰ θρηνῶ, ἐπειδὴ ἀντιλαμβάνονται ὅτι εἶμαι πολὺ ἁμαρτωλός, προσεύχονται ἰδιαίτερα γιὰ τὴν σωτηρία μου». Καὶ ὁπωσδήποτε, ἔχοντας πάντα αὐτὸν τὸν λογισμό, καὶ κατορθώνοντάς

αλείπτως ἐκτελῶν, μεγάλως ὠφεληθήσῃ καὶ τὴν τοῦ Θεοῦ χάριν ἐπισπάσῃ καὶ τοῦ θείου μακαρισμοῦ[69] *μέτοχος γενήσῃ.*

ρκδ΄. Μὴ παραβάλῃς δὲ κελλίῳ τινός, ἐκτὸς τοῦ Ἡγουμένου, καὶ τούτου σπανίως· ἀλλ᾽ εἰ καὶ περὶ λογισμοῦ τινος αὐτὸν ἐρωτῆσαι βούλει, ἐν τῇ Ἐκκλησίᾳ τοῦτο ποίει. Ἀπὸ δὲ τῆς συνάξεως, εὐθὺς ἐν τῷ κελλίῳ ὑποχώρει· εἶθ᾽ οὕτως ἐν τῇ διακονίᾳ. Μετὰ δὲ τὰ ἀπόδειπνα, ἔξωθεν τοῦ Ἡγουμενείου βαλὼν μετάνοιαν καὶ αἰτῶν εὐχήν, πάλιν κεκυφὼς μετὰ σιωπῆς εἰς τὸ κελλίον ἀπότρεχε. Κρεῖττον γὰρ ἓν τρισάγιον μετὰ προσοχῆς εἰς τὸ καθευδῆσαι, ἢ ἀγρυπνία τεσσάρων ὡρῶν ἐν ὁμιλίαις ἀνωφελέσιν. Ὅμως ὅπου κατάνυξις καὶ πένθος πνευματικόν, ἐκεῖ καὶ ἔλλαμψις θεία· ταύτης δὲ τῇ ἐπιφοιτήσει, ἀπελήλαται ἀκηδία καὶ νόσος.

ρκε΄. Ἀγάπην δὲ ἰδικήν με-

τον ἀκατάπαυστα θὰ ὠφεληθῇς πάρα πολύ, καὶ θὰ ἑλκύσῃς τὴν Χάρι τοῦ Θεοῦ καὶ θὰ γίνῃς μέτοχος τοῦ θείου μακαρισμοῦ [«Μακάριοι οἱ πενθοῦντες»].

124. Μὴν πηγαίνῃς στὸ κελλί κανενὸς [ἀδελφοῦ], ἐκτὸς [ἀπὸ] τοῦ Ἡγουμένου καὶ σ᾽ αὐτὸ σπάνια· ἀλλὰ καὶ ἐὰν θέλῃς νὰ τὸν ρωτήσῃς γιὰ κάποιο λογισμό, αὐτὸ νὰ τὸ κάνῃς στὴν Ἐκκλησία [δηλαδὴ στὸν ναό]. Μετὰ δὲ τὴν ἀκολουθία, νὰ ἀποσύρεσαι ἀμέσως στὸ κελλί σου· κατόπιν [πάλι], ἔτσι στὸ διακόνημά σου. Ὕστερα δὲ ἀπὸ τὸ Ἀπόδειπνο, ἀφοῦ βάλῃς μετάνοια ἔξω ἀπὸ τὸ Ἡγουμενεῖο καὶ ζητήσῃς [τὴν κανονισμένη] εὐχή, τρέχε πάλι σκυφτὸς καὶ σιωπηλὸς στὸ κελλί σου. Διότι εἶναι καλλίτερο ἕνα τρισάγιο μὲ προσοχὴ πρὶν τὸν ὕπνο, παρὰ ἀγρυπνία τεσσάρων ὡρῶν μὲ ἀνώφελες συνομιλίες [μὲ τοὺς ἄλλους ἢ μὲ τοὺς λογισμούς σου]. Ὅπου ὅμως [ὑπάρχει] κατάνυξι καὶ πνευματικὸ πένθος, ἐκεῖ [ἀκολουθεῖ] καὶ ἡ θεία ἔλλαμψι· μὲ τὴν ἐπίσκεψι δὲ αὐτῆς, ἔχει ἐκδιωχθῆ ἡ ἀκηδία καὶ [κάθε] νοσηρὴ κατάστασι.

125. Ἰδιαίτερη ἀγάπη νὰ μὴν

τὰ οἱονδήποτε προσώπου μὴ κτήσῃ, μάλιστα μετὰ ἀρχαρίου· εἰ καὶ δόξει σοι βίον ἄριστον ἔχειν, μήτοι γε ὕποπτον. Καὶ γὰρ ἐκ πνευματικῆς μετεκεντρίζεταί σε εἰς ἐμπαθῆ ὡς τὰ πολλά, καὶ ἐμπίπτεις εἰς θλίψεις ἀνωφελεῖς. Τοῦτο γὰρ μάλιστα εἴωθε τοῖς ἀγωνιζομένοις συμβαίνειν· ὅμως ἡ ταπείνωσις καὶ ἡ συνεχὴς εὐχὴ τοῦτο διδάξει. Οὐ γὰρ ἄγει καιρὸς ἐν λεπτῷ περὶ τούτων λέγειν· ὁ δὲ νοῶν νοείτω.

ρκς'. Δεῖ δὲ ἔχειν σεαυτὸν ἀπὸ παντὸς ἀδελφοῦ τοῦ ἐν τῷ κοινοβίῳ ξένον· πλεῖον δὲ καὶ τῶν κατά κόσμον γνωστῶν. Πάντας δὲ ἐξίσου ἀγαπᾶν· καὶ τοὺς εὐλαβεῖς καὶ ἀγωνιζομένους, ὡς ἁγίους ὁρᾶν. Ὑπὲρ δὲ τῶν κατ᾽ ἐμὲ ῥαθύμων ἐκτενῶς προσεύχεσθαι. Ὅμως ὡς ἀνωτέρω δεδηλώκαμεν, πάντας ἁγίους ἐννοῶν, σπεῦδε διὰ πένθους τῶν παθῶν καθαρθῆναι, ὅπως ἐλλαμφθεὶς ὑπὸ τῆς χάριτος, πάντας ἐξίσου κατανοεῖν, καὶ τοῦ

ἀποκτήσῃς μὲ κανένα πρόσωπο, [καὶ] μάλιστα μὲ ἀρχάριο [μοναχό]· [ἀκόμη] καὶ ἂν σοῦ φαίνεται ὅτι ἔχει ἄριστο βίο, πολὺ περισσότερο βέβαια [ἂν ἔχῃ βίο] ὕποπτο. Καὶ διότι [αὐτὴ ἡ ἀγάπη], πολλὲς φορές, μετατρέπεται σὲ ἐμπαθῆ, καὶ [ἔτσι] πέφτεις σὲ ἀνωφελεῖς θλίψεις. Τοῦτο, βέβαια, κυρίως συνηθίζεται νὰ συμβαίνῃ στοὺς ἀγωνιστές· αὐτὸ ὅμως θὰ σοῦ τὸ διδάξῃ ἡ ταπείνωσι καὶ ἡ συνεχὴς προσευχή. Διότι δὲν μᾶς ἐπιτρέπει ὁ χρόνος νὰ ὁμιλοῦμε λεπτομερῶς γι᾽ αὐτά· ἐκεῖνος ὅμως ποὺ ἔχει νοῦ, ἂς καταλάβῃ.

126. Ἐσὺ ὅμως πρέπει νὰ ἔχῃς τὸν ἑαυτό σου ξένο πρὸς κάθε ἀδελφὸ τοῦ κοινοβίου καὶ ἀκόμη περισσότερο πρὸς τοὺς γνωστοὺς [ποὺ εἶχες] στὸν κόσμο. Ὅλους νὰ τοὺς ἀγαπᾷς ἐξ ἴσου καὶ τοὺς εὐλαβεῖς καὶ ἀγωνιστὲς νὰ τοὺς βλέπῃς ὡς ἁγίους. Ἀλλὰ γιὰ τοὺς ῥαθύμους σὰν ἐμένα, νὰ προσεύχεσαι ἐκτενῶς. Ὅμως, ὅπως πιὸ πάνω ἔχομε ἀναφέρει, θεωρῶντας ὅλους ὡς ἁγίους, σπεῦδε μὲ τὸ πένθος νὰ καθαρθῆς ἀπὸ τὰ πάθη, ὥστε, ἀφοῦ φωτισθῇς ἀπὸ τὴν Χάρι, νὰ τοὺς θεωρῇς ὅλους ἴσους,

μακαρισμοῦ τῶν καθαρῶν τῇ καρδίᾳ[37] *ἐπιτεύξῃ.*

ρκζ'. Ταύτην δὲ ἥγου, ἀδελφέ, λέγεσθαι ἀναχώρησιν τελείαν κόσμου, τὴν παντελῆ τοῦ ἰδίου θελήματος ἀπονέκρωσιν· ἔπειτα τὴν τῶν γονέων, οἰκείων τε καὶ φίλων ἀπροσπάθειαν καὶ ἀπάρνησιν.

ρκη'. Εἶθ' οὕτως καὶ τὸ τῶν προσόντων πάντων γυμνωθῆναι, διανείμαντα τοῖς πένησι, κατὰ τὸν εἰπόντα· πώλησόν σου τὰ ὑπάρχοντα καὶ δὸς πτωχοῖς[38]*· λήθην τε ποιῆσαι πάντων ὧν σχετικῶς ἠγάπας προσώπων, εἴτε σωματικῶς, εἴτε πνευματικῶς.*

ρκθ'. Ἐξαγόρευσίν τε τῶν τῆς καρδίας κρυπτῶν ἁπάντων τῶν ἀπὸ βρέφους καὶ μέχρις αὐτῆς τῆς ὥρας παρὰ σοῦ πραχθέντων, πρὸς τὸν πνευματικὸν πατέρα, ἢ πρὸς τὸν Ἡγούμενον, ὡς πρὸς αὐτὸν τὸν Θεὸν τὸν ἐτάζοντα καρδίας καὶ νεφρούς· εἰδὼς ὡς Ἰωάννης ἐβάπτιζε βάπτι-

καὶ θὰ ἐπιτύχῃς τὸν Μακαρισμὸ «τῶν καθαρῶν τῇ καρδίᾳ».

127. Νὰ φρονῇς ὅμως, ἀδελφέ, ὅτι αὐτὴ ὀνομάζεται τελεία ἀναχώρησι ἀπὸ τὸν κόσμο, ἡ ὁλοκληρωτικὴ ἀπονέκρωσι τοῦ ἰδίου θελήματος· ἔπειτα, ἡ ἀποδέσμευσι ἀπὸ τὴν προσκόλλησι στοὺς γονεῖς καὶ συγγενεῖς καὶ φίλους καὶ ἡ ἀπάρνησι [αὐτῶν].

128. Ἀκόμη καὶ τὸ νὰ ἀπογυμνωθῇς ἀπὸ ὅλα σου τὰ ὑπάρχοντα, ἀφοῦ τὰ ἐμοίρασες στοὺς πτωχούς, σύμφωνα μὲ Ἐκεῖνον ποὺ εἶπε: «πώλησε τὰ ὑπάρχοντά σου καὶ δῶσε τα στοὺς πτωχούς»· καὶ νὰ λησμονήσῃς ὅλα τὰ πρόσωπα, μὲ τὰ ὁποῖα εἶχες ἀγαπητικὴ σχέσι, εἴτε σαρκικὴ εἴτε πνευματική.

129. [Ἐπίσης] καὶ ἡ ἐξομολόγησι, ὅλων τῶν κρυφῶν τῆς καρδίας σου, τὰ ὁποῖα διεπράχθησαν ἀπὸ σένα [ἀπὸ τότε ποὺ ἦσουν] βρέφος μέχρι αὐτὴν τὴν ὥρα, πρὸς τὸν Πνευματικό σου Πατέρα ἢ πρὸς τὸν Ἡγούμενο, ὅπως [θὰ τὰ ἔλεγες] στὸν Ἴδιο τὸν Θεό, «ὁ Ὁποῖος ἐξετάζει καρδίας καὶ νεφρούς», γνωρίζοντας ὅτι ὁ Ἰωάννης [ὁ Πρόδρομος] ἐβάπτιζε μὲ βάπτισμα μετανοίας

σμα μετανοίας καὶ πάντες ἤρχοντο πρὸς αὐτὸν ἐξομολογούμενοι τὰς ἁμαρτίας αὐτῶν[39]. Καὶ γὰρ ἐκ τούτου μεγάλη χαρὰ τῇ ψυχῇ καὶ κουφισμὸς τῷ συνειδότι προσγίνεται, κατὰ τὸν Προφητικὸν λόγον· λέγε σὺ πρῶτον τὰς ἁμαρτίας σου, ἵνα δικαιωθῇς[40].

ρλ΄. Θέσθαι δὲ τῷ λογισμῷ τοιαύτην πληροφορίαν, μετὰ τὴν εἰς τὸ κοινόβιον εἴσοδον, τεθνάναι πάντας γονεῖς τε καὶ φίλους· καὶ μόνον ἡγεῖσθαι Πατέρα τε καὶ Μητέρα τὸν Θεὸν καὶ τὸν προεστῶτα· καὶ μήποτε χάριν σωματικῆς χρείας παρ᾽ αὐτῶν τι αἰτήσασθαι. Εἰ δὲ καὶ ἐκ προνοίας παρ᾽ αὐτῶν τί σοι ἀποσταλῇ, δέξαι καὶ ὑπέρευξαι τῆς αὐτῶν κηδεμονίας, παράσχου δὲ τὸ σταλὲν εἰς τὸ ξενοδοχεῖον ἢ εἰς τὸ νοσοκομεῖον· καὶ τοῦτο ποίησον ἐν ταπεινώσει. Οὐ γὰρ τῶν τελείων ἐστί, ἀλλὰ τῶν ἐλαχίστων.

ρλα΄. Ποιεῖν δὲ πᾶν πρᾶγμα, ὅπερ ἐστὶ καλόν, μετὰ τα-

καὶ ὅλοι πήγαιναν πρὸς αὐτόν, καὶ ἐξομολογοῦντο τὶς ἁμαρτίες τους». Καὶ ὄντως ἀπὸ αὐτό, [τὴν εἰλικρινῆ δηλαδὴ ἐξομολόγησι], ἐπέρχεται μεγάλη χαρὰ στὴν ψυχὴ καὶ ἀνακούφισι στὴν συνείδησι, σύμφωνα μὲ τὸν Προφητικὸ Λόγο [τοῦ Ἠσαΐου]: «λέγε ἐσὺ πρῶτα τὶς ἁμαρτίες σου, γιὰ νὰ δικαιωθῇς».

130. Ἀσφάλισε [τὸν ἑαυτό σου] μὲ τὸν λογισμό, [ὅτι] μετὰ τὴν εἴσοδό σου στὸ Κοινόβιο ἀπέθαναν [γιὰ σένα] ὅλοι καὶ γονεῖς καὶ φίλοι. Καὶ νὰ θεωρῇς Πατέρα καὶ Μητέρα μόνον τὸν Θεὸ καὶ τὸν Γέροντά σου. Καὶ ποτὲ νὰ μὴ ζητήσῃς τίποτε ἀπὸ αὐτούς, γιὰ ἱκανοποίησι σωματικῆς σου ἀνάγκης. Ἐὰν δὲ καὶ λόγῳ τῆς προνοητικῆς φροντίδας τους γιὰ σένα σοῦ σταλῇ κάτι ἀπὸ αὐτούς, δέξου το καὶ προσευχήσου πολὺ γι᾽ αὐτοὺς ποὺ σὲ φροντίζουν, δῶσε ὅμως αὐτὸ ποὺ σοῦ ἔστειλαν στὸν ξενῶνα ἢ στὸ νοσοκομεῖο [τῆς Μονῆς]· καὶ αὐτὸ νὰ τὸ κάνῃς μὲ ταπείνωσι. Διότι αὐτὸ δὲν εἶναι [ἔργο] τῶν τελείων, ἀλλὰ τῶν ἐλαχίστων.

131. Νὰ κάνῃς κάθε πρᾶγμα, τὸ ὁποῖο εἶναι καλό, μὲ ταπεί-

πεινώσεως, ἐννοούμενον τὸν εἰπόντα· ὅταν πάντα ποιήσητε, λέγετε ὅτι ἀχρεῖοι δοῦλοί ἐσμεν· ὃ ὠφείλομεν ποιῆσαι, πεποιήκαμεν[1].

ρλβ'. Φυλάττειν δὲ καὶ τοῦ μήποτε κοινωνίαν δέξασθαι, ἔχοντός σου κατά τινος, μέχρι καὶ προσβολῆς λογισμοῦ· ἕως ὅτου διά μετανοίας τὴν καταλλαγὴν ἐργάσῃ. Πλὴν καὶ τοῦτο ἀπὸ τῆς εὐχῆς μαθήσῃ.

ρλγ'. Ἕτοιμον δὲ εἶναι καθ' ἑκάστην ἡμέραν πρὸς ὑποδοχὴν πάσης θλίψεως· ἐννοούμενον ἀπαλλαγὴν ταύτας τῶν πολλῶν ὀφλημάτων εἶναι, καὶ εὐχαριστεῖν τῷ Ἁγίῳ Θεῷ. Ἐκ γὰρ τούτων κτᾶταί τις παῤῥησίαν ἀκαταίσχυντον, κατὰ τὸν μέγαν Ἀπόστολον· ἡ γὰρ θλῖψις, ὑπομονὴν κατεργάζεται· ἡ δὲ ὑπομονή, δοκιμήν· ἡ δὲ δοκιμή, ἐλπίδα· ἡ δὲ ἐλπὶς οὐ καταισχύνει[2]. *Καὶ γὰρ ἃ ὀφθαλμὸς οὐκ εἶδε καὶ οὖς οὐκ ἤκουσε καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέ-*

νωσι, ἔχοντας στὸν νοῦ σου Αὐτὸν ποὺ εἶπε: «ὅταν ὅλα τὰ κάνετε, νὰ λέτε, ὅτι εἴμαστε ἄχρηστοι δοῦλοι· ἔχομε πράξει ἐκεῖνο, ποὺ ὀφείλαμε νὰ πράξωμε».

132. Καὶ νὰ φυλάγεσαι, ὥστε ποτὲ νὰ μὴ δεχθῇς τὴν [θεία] Κοινωνία, ὅταν ἔχῃς [κάτι] ἐναντίον κάποιου, ἔστω καὶ προσβολὴ λογισμοῦ [ἐναντίον του]· ἕως ὅτου μὲ τὴν μετάνοια κατεργασθῇς τὴν συνδιαλλαγή. Ἀλλὰ καὶ τοῦτο θὰ τὸ μάθῃς μὲ τὴν προσευχή.

133. Νὰ εἶσαι πάλι ἕτοιμος κάθε μέρα νὰ δεχθῇς κάθε θλῖψι· σκεπτόμενος, ὅτι αὐτὲς εἶναι ἡ ἀπαλλαγὴ ἀπὸ τὰ πολλά σου χρέη, [δηλαδὴ τὶς ἁμαρτίες σου] καὶ νὰ εὐχαριστῇς τὸν Ἅγιο Θεό. Ἐπειδὴ ἀπὸ αὐτὲς ἀποκτᾶ κανεὶς παρρησία ἀξιέπαινη, συμφώνως πρὸς τὸν Μέγα Ἀπόστολο, [ποὺ λέγει]: «ἡ θλῖψι ὁδηγεῖ στὴν ὑπομονή, ἡ δὲ ὑπομονὴ στὴν γνήσια [ἀρετή], ἡ δὲ γνήσια [ἀρετὴ] στὴν ἐλπίδα· ἡ δὲ ἐλπίδα δὲν ντροπιάζει [ὅποιον τὴν ἔχει]». Καὶ πράγματι, «ἐκεῖνα ποὺ ὀφθαλμὸς δὲν εἶδε καὶ αὐτὶ δὲν ἄκουσε, καὶ καρδία ἀνθρώπου

βη[3], ταῦτά ἐστι κατὰ τὴν ἀψευδῆ ἐπαγγελίαν τοῖς διὰ θλίψεων τὴν ὑπομονήν, συνεργούσης τῆς χάριτος, ἐπιδεικνυμένοις. Ἄνευ γὰρ χάριτος οὐ δύναταί τι κατορθωθῆναι.

ρλδ΄. Μὴ κεκτῆσθαι δέ τι τῶν ὑλικῶν ἐν τῷ κελλίῳ, μέχρι καὶ ῥαφίδος· ἐκτὸς ψιάθου, κωδίου καὶ παλλίου, καὶ ὧν περιβέβλησαι· εἰ δυνατὸν μηδὲ ὑποπόδιον. Ἔστι γὰρ καὶ περὶ τούτων τις λόγος· ὅμως ὁ νοῶν νοείτω.

ρλε΄. Μὴ δ' αὖ πάλιν ἀπαιτεῖν σε τὸν Ἡγούμενον τι τῶν χρειωδῶν, ἐκτὸς τῶν τετυπωμένων· καὶ ταῦτα ὅτε αὐτὸς καλέσας παρέξῃ· μηδὲ ὅλως τῷ ὑποβάλλοντι πειθόμενος λογισμῷ, ἀντικαταλλάξαι τι τῶν παρεχομένων. Ἀλλ' οἷα δ' ἄν εἰσιν, ὡς ἐκ Θεοῦ μετ' εὐχαριστίας λαμβάνειν, καὶ μετ' αὐτῶν διοικεῖσθαι· μὴ ἐξεῖναι δὲ ἐξαγοράζειν ἕτερον. Ῥυπουμένου δὲ τοῦ ἱματίου, δὶς τοῦ χρόνου δεῖ τοῦτο

δὲν διανοήθηκε», αὐτὰ εἶναι [ποὺ θὰ ἀπολαύσουν], ἐκεῖνοι οἱ ὁποῖοι, σύμφωνα μὲ τὴν ἀδιάψευστη ὑπόσχεσι [τοῦ Κυρίου], ἐπέδειξαν ὑπομονὴ στὶς θλίψεις, μὲ τὴν συνεργία τῆς [θείας] Χάριτος. Διότι χωρὶς τὴν [Θεία] Χάρι τίποτε δὲν εἶναι δυνατὸ νὰ κατορθωθῇ.

134. Νὰ μὴν ἀποκτήσῃς τίποτε ὑλικὸ στὸ κελλί σου, οὔτε καὶ μία βελόνα· ἐκτὸς ἀπὸ τὴν ψάθα, τὴν προβειά, τὸ ράσο καὶ αὐτὰ ποὺ φορᾶς· ἐὰν εἶναι δυνατὸν οὔτε σκαμνὶ [γιὰ τὰ πόδια σου]. Διότι καὶ γι' αὐτὰ ὑπάρχει κάποιος λόγος· ὅμως ὁ νοῶν νοείτω.

135. Οὔτε πάλι νὰ ἀπαιτῇς ἀπὸ τὸν Ἡγούμενο κάτι ἀπὸ ὅσα σοῦ χρειάζονται, ἐκτὸς ἀπὸ τὰ κανονισμένα ἀπὸ τὸ Τυπικὸ [τῆς Μονῆς]. Καὶ αὐτά, ὅταν αὐτὸς σὲ καλέσῃ [καὶ] σοῦ τὰ δώσῃ· οὔτε νὰ πείθεσαι καθόλου στὸν λογισμό σου, [ὅταν σοῦ ὑποβάλλῃ] νὰ ἀλλάξῃς κάτι ἀπὸ ἐκεῖνα ποὺ [σοῦ] δίνονται. Ἀλλά, ὁποιαδήποτε καὶ ἂν εἶναι, νὰ τὰ παίρνῃς μὲ εὐχαριστία σὰν ἀπὸ τὸν Ἴδιο τὸν Θεό, καὶ μὲ αὐτὰ νὰ οἰκονομῆσαι· οὔτε νὰ ἐξέρχεσαι γιὰ νὰ ἀγοράσῃς κάτι ἄλλο. Ὅταν δὲ λερώνεται τὸ ροῦχο σου, δύο φορὲς τὸ χρόνο πρέπει νὰ τὸ

πλύνειν· αἰτοῦντα σχήματι πτωχοῦ καὶ ξένου μετὰ πάσης ταπεινώσεως, ἑτέρου ἀδελφοῦ περιβόλαιον, μέχρις ὅτου τὸ ἴδιον, πλυθέν, ὑπὸ τοῦ ἡλίου ξηρανθῇ. Εἶθ' οὕτως πάλιν μετ' εὐχαριστίας ἀποδιδόναι· ὡσαύτως καὶ παλλίον καὶ εἴ τι ἕτερον.

ρλς. Κοπιᾶν δὲ κατὰ δύναμιν ἐν τῇ διακονίᾳ· ἐν δὲ τῷ κελλίῳ καρτερεῖν ἐν τῇ εὐχῇ μετὰ κατανύξεως καὶ προσοχῆς καὶ συνεχῶν δακρύων· καὶ μὴ τιθέναι ἐν τῇ διανοίᾳ, ὅτι σήμερον, ὑπερεκπερισσοῦ ἐκκεκοπιακῶς, ὑφέλω τι τῆς εὐχῆς ἕνεκα τοῦ σωματικοῦ κόπου. Λέγω σοι γάρ, ὅτι ὅσον ἐάν τις ἑαυτὸν βιάσηται ἐν τῇ διακονίᾳ, στερηθεὶς τῆς εὐχῆς, μέγα τι ἀπωλελωκέναι οἰέσθω. Καὶ γὰρ οὕτως ἔχει.

ρλζ'. Πρὸ πάντων δὲ ἀπαντᾶν εἰς τὰς ἐκκλησιαστικὰς συνάξεις, καὶ ὕστατον ὑποχωρεῖν, ἐκτὸς ἀνάγκης μεγάλης· μᾶλλον δὲ ἐν τῷ ὄρθρῳ καὶ τῇ λειτουργίᾳ.

πλένῃς· ζητῶντας μὲ σχῆμα [καὶ συμπεριφορὰ] πτωχοῦ καὶ ξένου, μὲ πολλὴ ταπείνωσι, ἀπὸ ἄλλο ἀδελφὸ ἔνδυμα [δηλαδὴ ἕνα ζωστικό], μέχρις ὅτου τὸ δικό σου, ἀφοῦ θὰ πλυθῇ, στεγνώσῃ ἀπὸ τὸν ἥλιο. Ἔπειτα, μ' αὐτὸ πάλι τὸν τρόπο νὰ τὸ ἐπιστρέψῃς, εὐχαριστῶντας [τὸν ἀδελφό]. Τὸ ἴδιο [νὰ κάνῃς] καὶ μὲ τὸ ράσο καὶ μὲ ὅ,τι ἄλλο.

136. Νὰ κοπιάζῃς ἀκόμη ὅσο μπορεῖς στὸ διακόνημά σου· ἀλλὰ στὸ κελλί [σου] νὰ ἐπιμένῃς στὴν προσευχὴ μὲ κατάνυξι καὶ προσοχὴ καὶ μὲ ἀδιάκοπα δάκρυα· καὶ νὰ μὴν κάνῃς τὸν λογισμό, ὅτι σήμερα, ἀφοῦ ἔχω κοπιάσει τόσο πολύ, ἂς ἀφαιρέσω κάτι ἀπὸ τὴν προσευχή, λόγῳ τοῦ σωματικοῦ κόπου. Διότι σοῦ λέγω, ὅτι ὅσο καὶ ἂν κάποιος βιάσῃ τὸν ἑαυτό του στὴν διακονία, ἂν [ὅμως] στερηθῇ τὴν εὐχή, νὰ θεωρῇς ὅτι ἔχει χάσει κάτι πολὺ μεγάλο. Καί, πράγματι, ἔτσι εἶναι.

137. Νὰ πηγαίνῃς πρὶν ἀπὸ ὅλους στὶς Ἐκκλησιαστικὲς συνάξεις καὶ νὰ φεύγῃς τελευταῖος, ἐκτὸς ἐὰν [ὑπάρχῃ] μεγάλη ἀνάγκη· καὶ κυρίως στὸν Ὄρθρο καὶ στὴν [θεία] Λειτουργία.

ρλη΄. Ὑποταγὴν δὲ πᾶσαν κεκτῆσθαι εἰς τὸν κατὰ σὲ Ἡγούμενον, ὑφ᾽ οὗ καὶ ἀπεκάρης· καὶ ἀδιακρίτως τὰ παρ᾽ αὐτοῦ προσταττόμενα ἐκπληροῦν μέχρι θανάτου, εἰ καὶ ἀδύνατά σοι δοκεῖ. Ἐν τούτῳ γὰρ μιμῇ τὸν ὑπακούσαντα μέχρι θανάτου, θανάτου δὲ Σταυροῦ[4]*. Οὐ μόνον δὲ τὸν Ἡγούμενον ἀλλὰ καὶ πᾶσαν τὴν ἀδελφότητα καὶ τὸν τὰς διακονίας ἐγκεχειρισμένον οὐ χρὴ παρακοῦσαι ἔν τινι· ἀλλ᾽ εἰ καὶ ὑπὲρ δύναμιν ᾖ τὸ ἐπιταττόμενον, βαλὼν μετάνοιαν, αἴτησαι συγχώρησιν. Εἰ δὲ πρὸς τοῦτο ἀνανεύει, τῶν βιαστῶν ἐστιν ἡ Βασιλεία τῶν Οὐρανῶν καὶ βιασταὶ ἁρπάζουσιν αὐτὴν*[5] *λογιζόμενον, ἑαυτὸν βιάζεσθαι.*

ρλθ΄. Τὸ μετὰ συντετριμμένης καρδίας προσκυλινδεῖσθαι τοῖς ποσὶ πάσης τῆς ἀδελφότητος , ὡς ἀφανὴς καὶ ἄγνωστος καὶ ὅλως μὴ ὤν· καὶ γὰρ οὕτως

138. [Πρέπει] δὲ ἀκόμη νὰ ἔχῃς ἀποκτήσει τελεία ὑποταγὴ στὸν Ἡγούμενό σου, ἀπὸ τὸν ὁποῖο καὶ ἐκάρης [μοναχός]· καὶ ἀδιάκριτα νὰ ἐκπληρώνῃς ὅσα σὲ προστάζει μέχρι θανάτου, [ἀκόμη] καὶ ἂν σοῦ φαίνωνται ἀδύνατα. Διότι μὲ αὐτὸ μιμεῖσαι Ἐκεῖνον, ὁ Ὁποῖος ὑπήκουσε μέχρι θανάτου, «θανάτου δὲ σταυρικοῦ». Ὄχι, ὅμως, μόνον τὸν Ἡγούμενο, ἀλλὰ καὶ ὅλη τὴν Ἀδελφότητα καὶ ἐκεῖνον, στὸν ὁποῖο ἔχει ἀνατεθῇ νὰ διευθετῇ τὶς διακονίες, δὲν πρέπει [ποτὲ] νὰ τὸν παρακούσῃς σὲ τίποτε. Ἀλλὰ καὶ ἂν αὐτὸ ποὺ σὲ προστάζῃ εἶναι πάνω ἀπὸ τὶς δυνάμεις σου , ἀφοῦ βάλῃς μετάνοια, ζήτησε συγχώρησι [γιὰ τὴν ἀδυναμία σου]. Ἂν ὅμως σ᾽ αὐτὸ νεύσῃ ἀρνητικά, [ἐσὺ] σκεπτόμενος, ὅτι «ἡ Βασιλεία τῶν οὐρανῶν ἀνήκει σ᾽ αὐτοὺς ποὺ βιάζουν τὸν ἑαυτό τους, καὶ αὐτοὶ ποὺ μεταχειρίζονται αὐτὴν τὴν βία τὴν ἁρπάζουν», νὰ βιάζῃς τὸν ἑαυτό σου [νὰ τὴν ἐκτελέσῃς].

139. [Νὰ ἐπιδιώκῃς] νὰ προσπίπτῃς ἕως ἐδάφους, μετὰ συντετριμμένης καρδίας ἐνώπιον τῶν ποδῶν πάσης τῆς Ἀδελφότητος, ὡς ἀφανὴς καὶ ἄγνωστος καὶ ἐντελῶς ἀνύπαρκτος. Καὶ τολμῶ νὰ εἰπῶ,

ἐν βίῳ ἀναστρεφόμενος, θαῤῥῶ εἰπεῖν διορατικὸς γενόμενος, πολλὰ προλέγει, τῆς χάριτος συνεργούσης. Ὁ τοιοῦτος καὶ ὑπὲρ ἑτέρων ἐλαττωμάτων θρηνεῖ· ἀπερίσπαστος ἐξ ὑλικῶν προσπαθείας μένων, τοῦ πνευματικοῦ καὶ θείου ἔρωτος μὴ ἐῶντος αὐτὸν ἐν τούτοις ὀλισθῆσαι· οὐ θαυμαστὸν δὲ τὸ προλέγειν· πολλάκις δὲ συμβαίνει καὶ ἐκ δαιμόνων προσγίνεσθαι· ὅμως ὁ νοῶν νοήσει. Πλὴν ἐὰν ἄρξηταί τις δέχεσθαι ἐξαγορεύσεις, ἴσως καὶ τούτων στερεῖται, ἀπασχολούμενος ἐν τῷ τοὺς ἑτέρων λογισμοὺς ἀνακρίνειν. Ἐὰν δὲ πάλιν ἐκ πολλῆς ταπεινώσεως τούτων παύσηται, ἤγουν τοῦ λέγειν καὶ ἀκούειν, πάλιν ἀποκαθίσταται, εἰς τὴν προτέραν ἀποκατάστασιν. Τὴν δὲ τῶν τοιούτων εἴδησιν, μόνος ὁ Θεὸς ἐπίσταται. Ἐγὼ γὰρ φόβῳ συνεχόμενος, περὶ τοιούτων οὐ τολμῶ φθέγξασθαι.

ρμʹ. Ἔχειν δὲ τὸν νοῦν

ὅτι ὅποιος στὴν ζωή του συμπεριφέρεται μὲ αὐτὸ τὸν τρόπο, ἀφοῦ γίνῃ διορατικός, θὰ προλέγῃ πολλά, μὲ τὴν συνεργία [βέβαια] τῆς [θείας] Χάριτος. Αὐτὸς ὁ ἄνθρωπος θρηνεῖ καὶ γιὰ τὶς ἐλλείψεις τῶν ἄλλων, μένοντας ἀπερίσπαστος ἀπὸ τὴν προσκόλλησι στὰ ὑλικά, καθὼς δὲν τὸν ἀφήνει ὁ πνευματικὸς καὶ θεῖος ἔρωτας νὰ διολισθήσῃ πρὸς αὐτά· καὶ δὲν εἶναι θαυμαστὸ τὸ νὰ προλέγῃ [κανείς]· συμβαίνει δὲ πολλὲς φορὲς νὰ προέρχεται [αὐτὸ] καὶ ἀπὸ τοὺς δαίμονες· ὅμως ἐκεῖνος ποὺ ἔχει νοῦ, θὰ [τὸ] κατανοήσῃ. Πλὴν [ὅμως], ἐὰν ἀρχίσῃ κάποιος νὰ δέχεται ἐξομολογήσεις, ἴσως αὐτὰ νὰ [τὰ] στερηθῇ, ἐπειδὴ [πλέον] ἀπασχολεῖται στὸ νὰ ἐξετάζῃ τοὺς λογισμοὺς τῶν ἄλλων. Ἐὰν ὅμως ἀπὸ μεγάλη ταπείνωσι παύσῃ [αὐτὸ τὸ ἔργο], δηλαδὴ τὸ νὰ ὁμιλῇ [νουθετώντας] καὶ νὰ ἀκούῃ, πάλι ἐπανέρχεται στὴν προηγούμενη κατάστασι. Ἀληθῶς περὶ τῶν τοιούτων καταστάσεων μόνον ὁ Θεὸς γνωρίζει. Ἐγώ, ἐπειδὴ κατέχομαι ἀπὸ φόβο, δὲν τολμῶ νὰ ὁμιλῶ γιὰ αὐτά.

140. [Πρέπει] νὰ ἔχῃς πάντο-

πάντοτε πρὸς τὸν Θεόν, ἔν τε ὕπνῳ καὶ ἐγρηγόρσει, ἑστιάσει καὶ ὁμιλίᾳ, ἐργοχείρῳ τε καὶ πάσῃ ἄλλῃ πράξει κατὰ τὸ προφητικὸν λόγιον· προωρώμην τὸν Κύριον ἐνώπιόν μου διὰ παντός[6]*. Ἡγοῦ δὲ ἑαυτὸν ἁμαρτωλότερον παντὸς ἀνθρώπου. Χρονιζούσης γὰρ ταύτης τῆς μνήμης, πέφυκεν ἐγγίνεσθαι τῇ διανοίᾳ ἔλλαμψις δίκην ἀκτῖνος. Καὶ ὅσον ταύτην ἐπιζητεῖς, πολλῇ προσοχῇ καὶ ἀπερισπάστῳ διανοίᾳ, κόπῳ τε πολλῷ καὶ δάκρυσι, τηλαυγέστερον φαίνεται. Φαινομένη δέ, ἀγαπᾶται· ἀγαπωμένη δέ, καθαίρει· καθαίρουσα δέ, θεοειδῆ ἀπεργάζεται, φωτίζουσα καὶ διδάσκουσα διακρίνειν τὸ καλὸν ἀπὸ τοῦ χείρονος. Πλήν, ἀδελφέ, πολλοῦ δεῖ κόπου, σὺν Θεῷ, τοῦ τελείως ταύτην εἰσοικισθῆναι τῇ σῇ ψυχῇ καὶ ταύτῃ καταυγάσαι, ὥσπερ ἡ σελήνη, τὸν τῆς νυκτὸς ζόφον. Προσέχειν*

τε τὸν νοῦ σου στὸν Θεό, καὶ τὴν ὥρα τοῦ ὕπνου, καὶ ὅταν δὲν κοιμᾶσαι, καὶ στὸ φαγητὸ καὶ στὴν συναναστροφή [σου μὲ ἄλλους] καὶ στὸ ἐργόχειρο καὶ σὲ κάθε ἄλλη σου πρᾶξι, σύμφωνα μὲ τὸν λόγο τοῦ Προφήτου: «ἔβλεπα πάντοτε ἐμπρός μου τὸν Κύριο». Νὰ θεωρῇς δὲ τὸν ἑαυτό σου πιὸ ἁμαρτωλὸ ἀπὸ κάθε ἄλλο ἄνθρωπο. Διότι ὅταν παραμένῃ γιὰ ἀρκετὸ καιρὸ αὐτὸς ὁ λογισμός, συμβαίνει νὰ ἐπέρχεται στὴν διάνοια ἔλλαμψι, ὡς ἀκτῖνα [φωτός]. Καὶ ὅσο περισσότερο τὴν ἐπιζητεῖς, μὲ πολλὴ προσοχὴ καὶ ἀπερίσπαστη διάνοια, καὶ μὲ πολὺ κόπο καὶ δάκρυα, [τόσο] φαίνεται λαμπρότερη. Ὅταν δὲ ἐμφανίζεται, ἀγαπᾶται, [ἀπὸ τὴν ψυχή]· καὶ μὲ τὸ νὰ ἀγαπᾶται καθαίρει [τὴν ψυχὴ ἀπὸ τὰ πάθη]· ὅταν δὲ τὴν καθαίρῃ, τὴν κάνει θεοειδῆ, φωτίζοντας καὶ διδάσκοντάς [την] νὰ διακρίνῃ τὸ καλὸ ἀπὸ τὸ κακό. Ὅμως, ἀδελφέ, ἀπαιτεῖται πολὺς κόπος, μὲ τὴ βοήθεια τοῦ Θεοῦ, ἕως ὅτου αὐτὴ ὁλοκληρωτικὰ κατοικήσῃ μέσα στὴν ψυχή σου καὶ τὴν καταυγάσῃ, ὅπως ἡ σελήνη τὸ σκοτάδι τῆς νύκτας. Ἀκόμη πρέπει νὰ προσέχῃς καὶ τὶς προσβολὲς

δὲ δεῖ καὶ τὰς προσβολὰς τῶν λογισμῶν, κενοδοξίας τε καὶ οἰήσεως, καὶ τοῦ μὴ κατακρίνειν τινὰ ὁρῶντα ἀπρεπές τι πράττοντα. Οἱ γὰρ δαίμονες, βλέποντες τὴν ψυχὴν ἀπὸ τῶν παθῶν καὶ τῶν πειρασμῶν διὰ τῆς ἐνοικήσεως τῆς χάριτος καὶ τῆς εἰρηνικῆς καταστάσεως ἐλευθερωθεῖσαν, προβάλλουσι τὰ τοιαῦτα· ὅμως ἡ βοήθεια ἐκ Θεοῦ. Γενέσθω δὲ σοὶ καὶ τὸ πένθος διηνεκὲς καὶ κόρος τῶν δακρύων μὴ ᾖ. Πρόσεχε δὲ μὴ ἐκπαθεῖν τι ἐκ πολλῆς χαρᾶς καὶ κατανύξεως· μὴ δὲ ἐξ ἰδίου κόπου καὶ οὐκ ἐκ τῆς τοῦ Θεοῦ χάριτος ταῦτα λογίσασθαι, καὶ ἀφαιρεθῶσιν ἐκ σοῦ, καὶ πολλὰ ζητήσεις ἐν τῇ εὐχῇ καὶ οὐχ εὑρήσεις, καὶ γνώσῃ οἷον δῶρον ἀπώλεσας. Ἀλλὰ μηδέποτε, Κύριε, στερηθείημεν τῆς σῆς χάριτος. Πλήν, ἀδελφέ, ἐὰν καὶ συμβῇ τοῦτο, ἐπίρριψον ἐπὶ Θεὸν τὴν ἀσθένειάν σου καί, ἀναστάς, ἐκτείνας τὰς χεῖρας, εὖξαι

τῶν λογισμῶν, τῆς κενοδοξίας καὶ τῆς ὑψηλοφροσύνης, καὶ νὰ μὴν κατακρίνῃς κάποιον, ὅταν τὸν βλέπῃς νὰ κάνῃ κάτι ἀπρεπές. Διότι οἱ δαίμονες, ὅταν βλέπουν τὴν ψυχὴ νὰ ἔχῃ ἐλευθερωθῆ ἀπὸ τὰ πάθη καὶ τοὺς πειρασμούς, μὲ τὴν ἐνοίκησι τῆς Χάριτος καὶ τὴν [συνεχῆ] εἰρηνικὴ κατάστασι, [τότε] τῆς ἐμφανίζουν αὐτά· ὅμως ἡ βοήθεια [ἔρχεται] ἀπὸ τὸν Θεό. Ἂς σοῦ γίνῃ δὲ τὸ πένθος παντοτινό, καὶ [ποτὲ] νὰ μὴ χορτάσῃς τὰ δάκρυα. Πρόσεχε ὅμως νὰ μὴν πάθῃς κάτι [κακὸ λόγῳ ὑπερηφανείας] ἀπὸ τὴν πολλὴ χαρὰ καὶ τὴν κατάνυξι· οὔτε καὶ νὰ θεωρήσῃς ὅτι αὐτὰ [προῆλθαν] ἀπὸ τὸ δικό σου κόπο καὶ ὄχι ἀπὸ τὴν Χάρι τοῦ Θεοῦ· καὶ [ἔτσι] σοῦ ἀφαιρεθοῦν καὶ θὰ τὰ ζητήσῃς πολὺ στὴν προσευχή σου καὶ δὲν θὰ τὰ εὕρῃς, καὶ [τότε] θὰ γνωρίσῃς ποιὸ δῶρο ἔχασες. Ἀλλὰ εἴθε, Κύριε, ποτὲ νὰ μὴ στερηθοῦμε τὴν Χάρι σου. Ὅμως ἀδελφέ, [ἀκόμη] καὶ ἂν [σοῦ] συμβῇ αὐτό, ἀνάθεσε [μὲ ἐμπιστοσύνη] στὸν Θεὸ τὴν ἀσθένειά σου καί, ἀφοῦ σηκωθῇς [καὶ] ἁπλώσῃς τὰ χέρια σου, προσευχήσου λέγοντας αὐτά· Κύριε ἐλέησέ με

λέγων οὕτω· Κύριε, ἐλέησόν με τὸν ἁμαρτωλὸν καὶ ἀσθενῆ καὶ ταλαίπωρον, καὶ κατάπεμψον ἐπ᾽ ἐμὲ τὴν χάριν σου, μὴ ἐῶν πειρασθῆναί με ὑπὲρ ὃ δύναμαι[7]*. Ἴδε, Κύριε, αἱ πολλαὶ ἁμαρτίαι μου εἰς οἵαν ἀθυμίαν καὶ λογισμούς με ἤγαγον. Ἐγώ, Κύριε, εἰ καὶ θελήσω ἐκ δαιμόνων καὶ οἰήσεως τὴν στέρησιν τῆς σῆς παρακλήσεως λογίσασθαι, οὐ δύναμαι. Οἶδα γὰρ πρὸς τούτους αὐτοὺς ἀντιπαρατάσσεσθαι, τοὺς τὸ σὸν θέλημα θερμῶς ἐκτελοῦντας. Ἐγὼ δὲ τὸ αὐτῶν θέλημα καθ᾽ ἑκάστην ἐκπληρῶν, πῶς ὑπ᾽ αὐτῶν πειρασθήσομαι; πειράζομαι δὲ πάντως ὑπὸ τῶν ἰδίων ἁμαρτιῶν. Καὶ νῦν, Κύριέ μου, Κύριε, εἰ θέλημα σὸν καὶ ἐμοὶ συμφέρον, εἰσελθέτω πάλιν ἡ χάρις σου εἰς τὸν δοῦλόν σου, ὅπως, βλέπων ταύτην, χαίρω ἐν κατανύξει καὶ κλαυθμῷ, φωτιζόμενος ἐκ τῆς ταύτης ἀειφώτου ἐλλάμψεως· φυλαττόμενος ἀπὸ ῥυπαρῶν λογισμῶν καὶ παντὸς πονηροῦ πρά-*

